Lt Gr

Toronto University Library

Presented by

The Revd H H. Halford-Adcock M.A.

through the Committee formed in
The Old Country
to aid in replacing the loss caused by
The disastrous Fire of February the 14th 1890

B.

ORATORES ATTICI

EX RECENSIONE

IMMANUELIS BEKKERI.

TOMUS IV.

DEMOSTHENES.

PARS SECUNDA.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCCXXIII.

ORATORES

ATTICI

RECENSIONE

IMMANUELIS BEKKERI

TOMUS IV.

DEMOSTHENIS

PARS SECUNDA

OXONII

DEMOSTHENES.

EX RECENSIONE

IMMANUELIS BEKKERI.

PARS SECUNDA.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCXXIII.

8992

Κ.

ΠΕΡΙ ΤΗΣ ΑΤΕΛΕΙΑΣ ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ.

ΤΠΟΘΕΣΙΣ.

Ἡ τῶν Ἀθηναίων πόλις ἄλλοις τε ἐτίμα τοὺς εὐεργέτας καὶ ἀτελείᾳ λειτουργιῶν. πολλῶν οὖν λαμβανόντων αὐτὴν στάνις ἐδόκει τῶν λειτουργησόντων εἶναι. διὰ τοῦτο Λεπτίνης νόμον εἰσήνεγκεν εἶναι μηδένα ἀτελῆ, [a] μήτε τὸ λοιπὸν ἐξὸν εἶναι τῷ δήμῳ δοῦναι, τὸν δὲ ἀτέλειαν αἰτήσαντα πάσχειν τὰ [b] ἔσχατα. τοῦτον ἐγράψαντο τὸν νόμον πρότερον μὲν ἄλλοι, μεθ' ὧν καὶ Βάθιππος, καὶ οὐκ ἐπεξῆλθεν, ἢ χρήματα λαβὼν ἢ νόσῳ περιπεσών, νῦν δὲ Φορμίων καὶ Κτήσιππος ὁ Χαβρίου παῖς καὶ τινὲς μετ' αὐτῶν, οἷς συνήγορος Δημοσθένης γίνεται. ὁ μὲν οὖν Λεπτίνης πλέον ἰσχύει τῷ συμφέροντι (τὴν γὰρ χρείαν προῖσχεται), ὁ δὲ Δημοσθένης τῷ τε ἐνδέξῳ καὶ τῷ δικαίῳ, [c] τῷ δικαίῳ 452
μέν, ὅτι δίκαιόν ἐστι τοὺς εἰ ποιήσαντας ἀντευποιεῖσθαι καὶ τοὺς ὀρθῶς [d] ἄν τι λαβόντας τῶν δεδόντων μὴ ἀφαιρεῖσθαι, τῷ δὲ ἐνδέξῳ, διότι τάχα μὲν καὶ ἄλλοις [e] αἰσχρὸν, ἃ δεδώκασιν, ἀφαιρεῖσθαι, Ἀθηναίοις δὲ οὐχ ἥκιστα, οἷς ἀντ' ἄλλου γοαρίσματος τὸ μεγαλόψυχον προσεῖναι δικεῖ. ἐπιδεικνύει δὲ ὅτι καὶ παρανόμως εἰσήνεγκε τὸν νόμον· [f] λέγει γὰρ νόμον τὸν κελεύοντα ἀναιρεῖν πρῶτον τὸν ἐναντίον νόμον, καὶ τότε αὐτὸν τιθέναι νόμον, ἵνα μὴ ἀλλήλοις ἐναντίοι νόμοι εὑρίσκωνται.

[g] ΑΛΛΩΣ.

Ὁ πρὸς Λεπτίνην λόγος ἐπιγραφὴν ἔχει τοιαύτην, ἐπειδήπερ παρελθόντος τοῦ χρόνου, ἐν ᾧ ὑπεύθυνος ἦν κρίσει καὶ τιμωρίᾳ [h] γράψαν τις νόμον, ἐφαίνετο Λεπτίνης ἀκίνδυνος· ὅθεν πρὸς αὐτόν, ἀλλ' οὐ κατ' αὐτοῦ ὁ λόγος. ἡ δὲ ὑπόθεσις οὕτως ἔχει. σύνηθες ἦν τῇ πόλει τῶν Ἀθηναίων τιμᾶν τοὺς εὐεργέτας μάλιστα πολλαῖς καὶ διαφόροις τιμαῖς καὶ δὴ καὶ ἀτελείᾳ. πολλῶν δὲ εἰλη-

[a] μήτε] Immo μηδέ.
[b] ἔσχατα] κατὰ γρ. F. Y.
[c] καὶ ante τῷ δικαίῳ μὲν omisi cum Y.
[d] ἄν τι λαβόντας] ἀντιλαβόντας F. t. v.
[e] αἰσχρὸν] αἴσχιον F. Y. t. v.
[f] λέγει γὰρ Y. vulg. λέγειν γὰρ ἐχρῆν.
[g] Alterum argumentum mei omnes om.
[h] γράψαν Taylorus, γράψας F. A. Wolfius: vulg. γράφειν.

φότων καὶ ἀστῶν καὶ ξένων, ἐπέλειψαν οἱ [i] λειτουργήσοντες, καὶ διὰ τοῦτο σχεδὸν τῶν λειτουργιῶν περισταμένων εἰς τοὺς ἀπόρους, Λεπτίνης τῶν πολιτευομένων ἀνὴρ οὐκ ἀδόκιμος ἔγραψε νόμον αὐτοῖς ῥήμασιν οὕτως ἔχοντα, "ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, μηδένα ἀτελῆ εἶναι πλὴν τῶν ἀφ' "Ἁρμοδίου καὶ Ἀριστογείτονος καὶ τῶν ἐννέα ἀρχόντων, μηδὲ τὸ λοιπὸν ἐξ- "εῖναι τῷ δήμῳ αἱτηθέντι διδόναι· εἰ δέ τις ἁλῷ αἰτῶν, ἄτιμον αὐτὸν εἶναι 453 "καὶ γένος καὶ οἰκίαν, καὶ ὑποκεῖσθαι γραφαῖς καὶ ἐνδείξεσιν· εἰ δὲ καὶ ἐν "τούτοις ἁλῷ, ἔνοχον εἶναι τοῖς αὐτοῖς οἷσπερ οἱ δικάζοντες, ὅταν ὀφείλοντες "τῷ δημοσίῳ δικάζωσι." τοῦ νόμου οὖν οὕτως ἔχοντος ἐγράψατο μὲν τὸ πρότερον Βάθιππος Λεπτίνην, ὃς ἀπέθανε πρὶν εἰσελθεῖν τὴν γραφήν. κἄτα διετρίβη χρόνος, καὶ γέγονε Λεπτίνης ἀνεύθυνος· νόμος γὰρ ἦν τὸν γράψαντα νόμον ἢ ψήφισμα μετὰ ἐνιαυτὸν μὴ εἶναι ὑπεύθυνον. ὅμως ἐπειδὴ καὶ οὕτω κατὰ [k] τῶν νόμων ἐξῆν ποιεῖσθαι τὰς κατηγορίας, κἂν οἱ γράψαντες ἔξω κινδύνων ὦσι, μετὰ τὸν ἐνιαυτὸν ἐπέστη κατήγορος Ἀφεψίων υἱὸς Βαθίππου, ᾧ συνηγόρει Φορμίων ὁ ῥήτωρ, καὶ Κτήσιππος ὁ υἱὸς Χαβρίου, ᾧ συνηγόρει Δημοσθένης. τούτων οὖν κατηγόρων ἐπιστάντων κατὰ τοῦ νόμου πεποίηνται τὴν γραφήν. ἡ δὲ στάσις πραγματικὴ ἔγγραφος. κεφάλαια δὲ τοῦ λόγου τὸ νόμιμον, τὸ συμφέρον, τὸ δίκαιον.

Ἀναγκαῖον δὲ εἰπεῖν τὰς δικαιολογίας ἑκατέρων. καὶ ὁ μὲν Λεπτίνης ἰσχυρίζεται τῷ συμφέροντι διὰ τὸ περιποιεῖν λειτουργούς, καὶ ὅτι ἀσύμφορον ἡμῖν γίνεται, ἐὰν οἱ πένητες μόνοι λειτουργῶσιν· ἀπορήσουσι γὰρ τῷ χρόνῳ, καὶ οὐχ ἕξετε τοὺς λειτουργοῦντας· ἀλλὰ καὶ τῷ δικαίῳ, ὅτι δεινόν ἐστι τοὺς μὲν ἀδεῶς πλουτεῖν, τοὺς δὲ λειτουργοῦντας ἀεὶ πένεσθαι. ὁ δὲ κατήγορος ἰσχυρίζεται τῷ νομίμῳ καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι. καὶ ἔστι τὸ νόμιμον 454 διπλοῦν, περί τε τὸ πρόσωπον καὶ τὸ πρᾶγμα. καὶ περὶ μὲν τὸ πρόσωπον, ἀφ' ὧν αὐτὸν ἐχρῆν ποιῆσαι, οὐκ ἐποίησε· παρέβη γὰρ τὸν θεσμόν. θεσμὸς δέ ἐστι νόμος παρακελευόμενος πῶς δεῖ νομοθετεῖν. ἔδει γὰρ αὐτὸν γράψαντα τιθέναι ἔμπροσθεν τῶν ἐπωνύμων καὶ ἐν νομοθέταις κυρῶσαι. τοῦτο οὐκ ἐποίησε. περὶ δὲ τὸ πρᾶγμα, ὅτι παρέβη ὁ νόμος οὗτος παλαιὸν νόμον τὸν λέγοντα τὰς τοῦ δήμου δωρεὰς εἶναι βεβαίας· ὑπεναντίος οὖν τῶν νόμων οὗτός ἐστιν, ὅτι κελεύοντων ἐκείνων, ὅσας ὁ δῆμος δέδωκε δωρεάς, κυρίας εἶναι, οὗτος ἀφαιρεῖσθαι τὰς δεδομένας βιάζεται. τῷ δὲ δικαίῳ ἰσχυρίζεται, ὅτι οὐ δεῖ τοὺς εὐεργετας ἀποστερεῖν δωρεῶν. τῷ δὲ συμφέροντι τριχῶς ἰσχυρίζεται, πρῶτον μέν, ὅτι ἀσύμφορον ὑμῖν γενήσεται, [l] ἐὰν τοὺς εὐεργέτας ἀφαιρῆσθε τὴν δωρεάν· οὐκέτι γὰρ ὁ Λεύκων πέμψει τὸν σῖτον ὑμῖν ἐκ τοῦ Βοσπόρου. δεύτερον δέ, ὅτι ἀσύμφορον ὑμῖν ἔσται· οὐκέτι γὰρ εὐεργετήσει τις τὴν πόλιν, στερουμένους τῆς δωρεᾶς ὁρῶν τοὺς ἄλλους. τρίτον δέ, ὅτι ἀδοξήσετε. δόξετε γὰρ ἀγνώμονες εἶναι.

[i] λειτουργήσοντες H. Wolfius : vulg. τὸν νόμον. vulg. λειτουργήσαντες.

[k] τῶν νόμων F. A. Wolfius : vulg. ἑαυτοὺς—ἀφαιρεῖσθαι.

[l] ἐὰν τοὺς—ἀφαιρῆσθε H. Wolfius : vulg. ἑαυτοὺς—ἀφαιρεῖσθαι.

Ἔστι δὲ ὁ λόγος οὗτος δευτερολογία· ὁ Ἀφνεὶων γὰρ ὡς πρεσβύτερος ἔλαβε τὴν πρωτολογίαν. οἰκεῖν ὁ Λεπτίνης προηγουμένως τῷ συμφέροντι χρῆται, φάσκων ἐν σπάνει καθεστάναι τὴν πόλιν τῶν λειτουργούντων, δευτέρῳ δὲ τῷ δικαίῳ, ὅπερ ἀπὸ τῆς ἰσότητος θεωρεῖται· πάντ γάρ, φησί, δεινόν ἐστι τινὰς μὲν πλουτεῖν ἀτελείας ἐπειλημμένους, τὴν πόλιν δὲ μηδὲ τῶν λειτουργούντων εὐπορεῖν. παραβάλλεται δὲ ὁ ῥήτωρ τῷ μὲν δοκεῖν τὴν κατηγορίαν τοῦ νόμου, συνυπιδίεται δὲ καὶ κατασκευάζει καὶ τὴν σύστασιν τοῦ εἰκείου νόμου. ἐν γὰρ τῷ νομίμῳ κεφαλαίῳ καθίστησιν ἀνταναγινώσκων καὶ ἀντιτιθεὶς καὶ ἀντεξετάζων ἀμφοτέρους τοὺς νόμους, καὶ τὸ διάφορον ὅσον δεινός. ἵνα δὲ μὴ ἐξαίφνης μηδὲ ἀναρμόστως παρέχηται τῶν νόμων τὴν σύστασιν, ἐκ πολλοῦ παρεσκεύασε. καὶ ἡ πρώτη γε ἀντίθεσις τοῦ λόγου τῷ μὲν δοκεῖν ἔστι παρὰ Λεπτίνου, τῇ δ' ἀληθείᾳ πρὸς σύστασιν τοῦ εἰκείου συμφέροντος ἐξείρηται, ἵνα φαίνηται ὁ ἀντίδικος τὸν Δημοσθένους εἰσάγων νόμον. τί γὰρ ὁ Δημοσθένους βούλεται νόμος; τὰς δωρεάς, ὅσας ὁ δῆμος ἔδωκε, κυρίας εἶναι, τοὺς δὲ ἔχοντας κρίνεσθαι, ἤν, εἰ μὲν ἄξιοι, ἔχωσιν, εἰ δὲ ἀναξίως ἔχειν δοκεῖεν, ἐλεγχθέντες ἀφαιρεθῶσιν. οἰκεῖν αὐτὸς ὁ Λεπτίνης τὸν Δημοσθένους νόμον κεκύρωκεν. ἔστι γὰρ αἰτιᾶται κατ' ἀρχὰς εὐθὺς ὅτι πολλοὶ τῶν εἰληφότων εἰσὶν ἀναξίοι· οἰκεῖν ἔχει τὸν Δημοσθένους νόμον τοὺς ἀναξίους ἐκκρίνοντα. καὶ διὰ τοῦτο πάντων κατέσπαρται· ὁ γὰρ πολὺς περὶ αὐτοῦ λόγος ἐθίζει τοὺς δικαστὰς πρὸς τὴν τοῦ νόμου μετὰ μικρὸν ἀνάγνωσιν. ἰδὼν δὲ ὅτι Λεπτίνης ἐκεῖνον ἔχει τὸν ἰσχυρότατον λόγον, ὡς ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, μηδένα ἀτελῆ εἶναι, οὐ ταύτην ἔθηκε προηγουμένην ἀντίθεσιν, ἀλλὰ τὴν λυσιτελοῦσαν αὐτῷ καὶ τὴν μέλλουσαν εἰσφέρειν τὸν παρ' αὐτοῦ νόμον. ὅταν γὰρ λέγῃ "καὶ τούτῳ "πλείστῳ χρήσεται τῷ λόγῳ," σοφίζεται τοὺς ἀκούοντας· οὐ γὰρ τῷ περὶ τῶν ἀναξίων πολλῷ χρήσεται λόγῳ, ἀλλὰ τῷ δηλονότι σπανίζειν τὴν πόλιν τῶν λειτουργούντων, καὶ τῷ συμφέρειν μετατιθέναι τὰς λειτουργίας ἀπὸ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους.

Ἔστι δὲ τὸ μὲν εἶδος τοῦ λόγου δικανικόν, εἴ γε κρίσις ἐστὶν ἐπὶ τὸν νόμον, ἡ δέ γε ὕλη πᾶσά ἐστι διπλῆ, καὶ ταύτης ἡ μέν ἐστι δικανική, ἡ δὲ συμβουλευτική. εὕροις δ' ἂν οὐδὲ πανηγυρικῆς ἰδέας ἀμοιροῦντα τὸν λόγον, ἐν οἷς πειρᾶται σεμνύνειν ἕκαστον τῶν εὐεργετῶν· καὶ γὰρ ἐνταῦθα εὑρήσεις ἄξια τῶν ἀνδρῶν ἐγκώμια, καὶ λόγους εὐφήμως ἁρμόττοντας ταῖς ἐκείνων πράξεσιν, οἷον ὡς ὅταν ἐμπομπεύῃ τοῖς Κόνωνος καὶ Χαβρίου κατορθώμασι καὶ τοῖς Ἐπιεικρέους καὶ τῶν ἐκ Θάσου καὶ Κορίνθου καὶ Λευκάδος. ἰτέον δὲ ἐπὶ τὴν μεταχείρισιν τοῦ λόγου.

ΑΝΔΡΕΣ δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν 457
[m] συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ

[m] συμφέρειν τῇ πόλει] τῇ πόλει συμφέρειν k.

παιδὸς [n]εἵνεκα τοῦ Χαβρίου ὡμολόγησά τούτοις, ὡς ἂν
οἷός τε ὦ, [o]συνερεῖν. ἔστι δ' οὐκ ἄδηλον ὦ ἄνδρες Ἀθηναῖοι
τοῦθ', ὅτι Λεπτίνης, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ,
δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δ' ἀναξίους τινὰς
ἀνθρώπους [p]εὑρομένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουρ-
2γίας, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. ἐγὼ δ',
ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δω-
ρεὰν τῶν [q]ἀδίκων ἐστίν, ἐάσω· καὶ γὰρ εἴρηται τρόπον
τινὰ καὶ ὑφ' ὑμῶν ἴσως γιγνώσκεται· ἀλλ' [r]ἐκεῖνο ἂν
ἐροίμην ἡδέως αὐτόν, τίνος [s]εἵνεκ', εἰ τὰ μάλιστα μή τι-
νες ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τῶν αὐτῶν [t]ἠξίωσεν ὑμᾶς
τε καὶ τούτους. ἐν μὲν γὰρ τῷ γράψαι μηδένʼ εἶναι
ἀτελῆ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ
προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς τὸ
δοῦναι ὑμῖν ἐξεῖναι. οὐ γὰρ ἐκεῖνό γʼ ἔνεστιν εἰπεῖν,
ὡς τὸν αὐτὸν τρόπον, [u]ὅνπερ τοὺς ἔχοντας ἀφείλετο τὴν
δωρεὰν ἀναξίους [x]νομίζων, οὕτω καὶ τὸν δῆμον ἀνάξιον
[y]ἡγεῖτο κύριον εἶναι τοῦ δοῦναι [z]τὰ ἑαυτοῦ, ἐάν τῳ βού-
3ληται. ἀλλὰ νὴ Δί' [a]ἐκεῖνό γʼ ἂν ἴσως εἴποι πρὸς ταῦ-
τα, ὅτι διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον, διὰ τοῦθ' 458
οὕτως [b]ἔθηκε τὸν νόμον. τί οὖν κωλύει πάντα [c]ἀφῃρῆσθαι
καὶ ὅλως τὴν πολιτείαν ὑμᾶς κατὰ τοῦτον τὸν λόγον; οὐ
γὰρ ἔστιν ἐφ' [d]ὅτου τοῦτο οὐ πεπόνθατε τῶν πάντων,
ἀλλὰ καὶ ψηφίσματα πολλὰ πολλάκις ἐξαπατηθέντες

[n] εἵνεκα] ἕνεκα k.
[o] συνερεῖν] συναίρειν S.
[p] εὑρομένους] εὑραμένους k. r.
[q] ἀδίκων] ἀδικούντων F. t. v.
[r] ἐκεῖνο] ἐκεῖνα O. ἐκεῖνα S. Y. s.
[s] εἵνεκ'] ἕνεκ' k.
[t] ἠξίωσεν post τούτους ponit r.
[u] ὅνπερ om. r.
[x] νομίζων] ἐνόμιζεν S. Y. O. k. r. s. v. et γρ F.
[y] ἡγεῖτο] ἡγεῖτο τὸ Y. O. r. s.
[z] τὰ ἑαυτοῦ om. S. et pr. k.
[a] ἐκεῖνο] ἐκεῖνό γʼ k.
[b] ἔθηκε S. t. ἔθηκε F. vulg. ἔθηκα.
[c] ἀφῃρῆσθαι om. s.
[d] ὅτου S. ceteri ὅτῳ.

κεχειροτονήκατε, καὶ συμμάχους ἤδη τινὰς ἥττους ἀντὶ κρειττόνων ἐπείσθητε ἑλέσθαι, καὶ ὅλως [c]ἐν οἷμαι πολλοῖς εἷς πράττετε καὶ τοιοῦτό τι συμβαίνειν ἀνάγκη. 4 ἆρ' οὖν θησόμεθα νόμον διὰ ταῦτα μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῇ βουλῇ μηδὲ τῷ δήμῳ μήτε προβουλεύειν μήτε χειροτονεῖν μηδέν; ἐγὼ μὲν οὐκ [f]οἶμαι· οὐ γὰρ ἐσμεν ἀφαιρεθῆναι δίκαιοι περὶ ὧν ἂν ἐξαπατηθῶμεν, ἀλλὰ διδαχθῆναι [g]ὅπως τοῦτο μὴ πεισόμεθα, καὶ θέσθαι νόμον οὐχ ὃς [h]ἀφαιρήσεται [i]τὸ κυρίους ἡμᾶς [k]εἶναι, ἀλλὰ δι' οὗ τὸν ἐξαπατῶντα τιμωρησόμεθα.

5 Εἰ τοίνυν τις ἐάσας ταῦτα αὐτὸ καθ' αὑτὸ ἐξετάσειε, πότερόν [l]ποτε λυσιτελέστερόν ἐστι κυρίους μὲν ὑμᾶς εἶναι τῆς δωρεᾶς, ἐξαπατηθέντας δέ ποτε καὶ φαύλῳ τινὶ δοῦναι, ἢ διὰ [m]τὸ παντελῶς ἀκύρους γενέσθαι μηδ' ἂν ἄξιόν τινα εἰδῆτε ἐξεῖναι τιμῆσαι, εὕροιτ' ἂν μᾶλλον ἐκεῖνο λυσιτελοῦν. διὰ τί; [n]ὅτι ἐκ μὲν τοῦ [o]πλείονας ἢ [p]προσῆκε τιμᾶν πολλοὺς εὖ ποιεῖν προκαλεῖσθ' ὑμᾶς, ἐκ δὲ τοῦ μηδενὶ [q]μηδὲν, μηδ' ἂν [r]ἄξιος ᾖ, διδόναι πάντας [s]ἀπείρ- 6 ξετε τοῦ φιλοτιμεῖσθαι. πρὸς δὲ τούτῳ [t]καὶ δι' ἐκεῖνο, ὅτι οἱ μὲν ἀνάξιόν τινα τιμήσαντες εὐηθείας τινὰ δόξαν [u]ἔχοιεν ἄν, οἱ δὲ τοὺς ἀγαθόν τι ποιοῦντας [x]ἑαυτοὺς μὴ τοῖς ὁμοίοις ἀμειβόμενοι κακίας. ὅσῳ δὴ κρεῖττον εὐήθη δοκεῖν ἢ πονηρὸν εἶναι, [y]τοσούτῳ λῦσαι τὸν νόμον κάλλιον ἢ θέσθαι. 459

[c] ἐν οἷμαι πολλοῖς εἷς πράττετε] πολλοῖς ἐνοίμαι οἷς πράττητε r.
[f] οἶμαι] vulg. ὤμαι.
[g] ὅπως] πῶς S. Y. O. r. s.
[h] ἀφαιρήσεται] ἀφαιρεθήσεται O.
[i] τὸ om. F.
[k] εἶναι] εἶναι τῆς δωρεᾶς F. Y. O. r. s. t. v.
[l] ποτε] τι S.
[m] τὸ] τοῦ S. Y. O. s.
[n] ὅτι om. pr. k.
[o] πλείονας] πλείους k. r.
[p] προσῆκε] προσήκει F. προσήκει S. Y. O. k. r. s.
[q] μηδὲν om. F. S. Y. O. r. s. t. v.
[r] ἄξιος] ἄξιον t. v.
[s] ἀπείρξετε] ἐπείρξετε s.
[t] καὶ om. pr. S.
[u] ἔχοιεν ἄν] ἂν ἔχοιεν r.
[x] ἑαυτοὺς] αὐτοὺς F. Y. O. s. et correctus S.
[y] τοσούτῳ] τοσοῦτον s.

7 Οὐ τοίνυν ἔμοιγε οὐδ' ἐκεῖνο εὔλογον ὦ ἄνδρες Ἀθηναῖοι σκοπουμένῳ φαίνεται, καταμεμφόμενόν [z]τινας ἐπὶ ταῖς ὑπαρχούσαις δωρεαῖς τοὺς χρησίμους ὄντας τῶν τιμῶν ἀποστερεῖν. εἰ γὰρ ὑπαρχουσῶν τούτων φαῦλοι καὶ ἀνάξιοί τινες κατὰ τὸν [a]τούτου λόγον εἰσί, τί χρὴ προσδοκᾶν ἔσεσθαι τότε, ὅταν παντελῶς [b]πλέον [c]μέλλῃ μηδὲν εἶναι τοῖς χρηστοῖς οὖσιν;

8 [d]Ἔτι τοίνυν ὑμᾶς κἀκεῖνο ἐνθυμεῖσθαι δεῖ, ὅτι ἐκ τῶν νῦν ὑπαρχόντων νόμων καὶ πάλαι κυρίων, οὓς οὐδ' αὐτὸς οὗτος ἀντείποι [d]ἂν μὴ οὐχὶ καλῶς ἔχειν, ἐνιαυτὸν διαλιπὼν ἕκαστος λειτουργεῖ, ὥστε [e]τὸν ἥμισύ ἐστ' ἀτελὴς τοῦ χρόνου. εἶθ' [f]ἧς [g]πᾶσι μέτεστι τὸ ἥμισυ καὶ τοῖς μηδ' ὁτιοῦν ἀγαθὸν πεποιηκόσιν ὑμᾶς, ταύτης τοὺς εὖ ποιήσαντας, [h]ὃ προστεθείκαμεν [i]αὐτοῖς, τοῦτ' ἀφελώμεθα; μηδαμῶς· οὔτε γὰρ ἄλλως καλὸν οὔτε ὑμῖν πρέπον. πῶς γὰρ οὐκ αἰσχρόν, ὦ [k]ἄνδρες Ἀθηναῖοι, κατὰ μὲν τὴν ἀγορὰν [l]ἀψευδεῖν νόμον γεγράφθαι, [m]ἐφ' οἷς οὐδέν ἐστι δημοσίᾳ βλάβος εἴ τις [n]ψεύσεται, ἐν δὲ τῷ κοινῷ μὴ χρῆσθαι τῷ νόμῳ τούτῳ τὴν πόλιν τὴν αὐτὴν ἐπιτάξασαν τοῖς ἰδιώταις, ἀλλὰ τοὺς ἀγαθόν τι πεποιηκότας ἐξαπατῆσαι, καὶ ταῦτ' οὐ μικρὰν ζημίαν ὀφλήσειν μέλλουσαν; οὐ γὰρ εἰ μὴ χρήματ' ἀπόλλυτε μόνον σκεπτέον, ἀλλ' εἰ καὶ δόξαν χρηστήν, περὶ ἧς μᾶλλον σπουδάζετε ἢ περὶ χρημάτων, καὶ οὐ μόνον ὑμεῖς ἀλλὰ καὶ οἱ πρόγονοι. τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστά

[z] τινας] τοὺς S. Y. O. r. s.
[a] τούτου] τούτων S. Y. O. k. r. s. t.
[b] πλέον] μηδὲ πλέον S.
[c] μέλλῃ om. O.
[d] ἂν post οὐδ' ponit r.
[e] τὸν ἥμισύν] τὸν ἥμισυ O. τὸ ἥμισυ k. r.
[f] ἧς] οἷς t.
[g] πᾶσι] ἅπασι k.
[h] ὃ—τοῦθ'] ἃ—ταῦθ' S.
[i] αὐτοῖς] αὐτοὶ k. r.
[k] ἄνδρες om. k.
[l] ἀψευδεῖν] ἀψευδεῖν F. ἀψευδῆ k. r. et γρ. S.
[m] ἐφ'] ἐν k.
[n] ψεύσεται] ψεύδεται S.

ποτε κτησάμενοι πάνθ' ὑπὲρ φιλοτιμίας [o]ἀνήλωσαν, ὑπὲρ [p]δὲ δόξης οὐδένα πώποτε κίνδυνον ἐξέστησαν, ἀλλὰ καὶ τὰς ἰδίας οὐσίας προσαναλίσκοντες διετέλουν. νῦν τοίνυν οὗτος ὁ νόμος ταύτην ἀντὶ καλῆς αἰσχρὰν τῇ πόλει περιάπτει, καὶ οὔτε τῶν προγόνων οὔθ' ὑμῶν ἀξίαν. τρία γὰρ τὰ μέγιστα ὀνείδη κτᾶται, φθονερούς, ἀπίστους ἀχαρίστους εἶναι δοκεῖν.

11 Ὅτι τοίνυν οὐδ' ἐστὶν ὅλως ὦ ἄνδρες Ἀθηναῖοι τοῦ [q]ὑμετέρου κύριον ποιῆσαι τοιοῦτον νόμον, καὶ τοῦτο πειράσομαι δεῖξαι διὰ βραχέων, ἕν τι τῶν πρότερον πεπραγμένων τῇ πόλει διεξελθών. λέγονται χρήμαθ' οἱ τριάκοντα δανείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς [r]ἐν
12 Πειραιεῖ. [s]ἐπειδὴ δ' ἡ πόλις εἰς ἣν [t]ἦλθε καὶ τὰ πράγματ' ἐκεῖνα κατέστη, πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι τὰ χρήματα [u]ταῦτ' ἀπῄτουν. λόγων δὲ γιγνομένων, καὶ τῶν μὲν τοὺς δανεισαμένους ἀποδοῦναι κελευόντων, τοὺς ἐξ [x]ἄστεος, τῶν δὲ τοῦτο πρῶτον ὑπάρξαι τῆς ὁμονοίας σημεῖον ἀξιούντων, κοινῇ διαλῦσαι τὰ χρήματα, φασὶ τὸν δῆμον ἑλέσθαι συνεισενεγκεῖν αὐτὸν καὶ μετασχεῖν τῆς δαπάνης, ὥστε μὴ λῦσαι τῶν [y]ὡμολογημένων
13 μηδέν. πῶς οὖν [z]οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τότε μὲν τοῖς ἠδικηκόσιν ὑμᾶς ὑπὲρ τοῦ [a]μὴ [b]ψεύσασθαι τὰ [c]χρήματα εἰσφέρειν ἠθελήσατε, νῦν δ' ἔχον [d]ὑμῖν ἄνευ δαπάνης τὰ δίκαια πεῖσαι τοῖς εὐεργέταις, λύ-

[o] ἀνήλωσαν] ἀνῆλωσαν F. ἀνάλωσαν t.
[p] δὲ om. k.
[q] ἡμετέρου] ἡμετέρου s.
[r] ἐν] ἐμ S.
[s] ἐπειδὴ] ἐπεὶ k.
[t] ἦλθε] συνῆλθε k.
[u] ταῦτ' om. k.
[x] ἄστεος] ἄστεως S.
[y] ὡμολογημένων] ὡμολογησαμένων O. ὡμωμοσμένων k. r.
[z] οὐ om. O.
[a] μὴ om. pr. t.
[b] ψεύσασθαι] ψεύδεσθαι k.
[c] χρήματα] χρήματα ταῦτα F. O. t. v.
[d] ὑμῖν] ὑμῶν r.

σασι τὸν νόμον, [e]ψεύδεσθαι μᾶλλον αἱρήσεσθε; [f]ἐγὼ μὲν οὐκ ἀξιῶ.

14 Τὸ μὲν τοίνυν τῆς πόλεως ἦθος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπ' ἄλλων πολλῶν καὶ ἐφ' ὧν εἶπον ἴδοι τις ἂν τοιοῦτον, 461
ἀψευδὲς καὶ χρηστόν, οὐ τὸ λυσιτελέστατον πρὸς ἀργύριον σκοποῦν, ἀλλὰ τί καὶ καλὸν πρᾶξαι· τὸ δὲ τοῦ [g]θέντος τὸν νόμον, τὰ μὲν ἄλλα ἔγωγε οὐκ οἶδα οὐδὲ λέγω [h]φλαῦρον οὐδὲν οὐδὲ σύνοιδα, ἐκ δὲ τοῦ [i]νόμου σκο- 5
15 πῶν εὑρίσκω πολὺ τούτου κεχωρισμένον. φημὶ τοίνυν ἐγὼ κάλλιον εἶναι τοῦτον ὑμῖν ἀκολουθῆσαι περὶ τοῦ λῦσαι τὸν νόμον, ἢ ὑμᾶς τούτῳ περὶ τοῦ [k]θέσθαι, καὶ λυσιτελέστερον εἶναι καὶ ὑμῖν καὶ τούτῳ τὴν πόλιν πεπεικέναι Λεπτίνην ὅμοιον αὐτῇ γενέσθαι [l]δοκεῖν, ἢ αὐτὴν ὑπὸ τού- 10
του πεπεῖσθαι ὁμοίαν εἶναι τούτῳ· οὐδὲ γὰρ εἰ πάνυ χρηστός ἐσθ', ὡς ἐμοῦ γ' ἕνεκα ἔστω, βελτίων ἐστὶ [m]τῆς πόλεως τὸ ἦθος.

16 Νομίζω τοίνυν ὑμᾶς ὦ ἄνδρες [n]δικασταὶ ἄμεινον ἂν περὶ τοῦ [o]παρόντος βουλεύσασθαι, εἰ κἀκεῖνο μάθοιτε, ὅτι 15
ᾧ μόνῳ μείζους εἰσὶν αἱ παρὰ [p]τῶν δήμων δωρεαὶ τῶν παρὰ τῶν ἄλλων πολιτειῶν διδομένων, καὶ τοῦτο [q]ἀναιρεῖται νῦν τῷ νόμῳ. τῇ μὲν γὰρ χρείᾳ τῇ τῶν εὑρισκομένων τὰς δωρεὰς οἱ τύραννοι καὶ οἱ τὰς ὀλιγαρχίας ἔχοντες [r]μάλιστα δύνανται τιμᾶν· πλούσιον γάρ, ὃν ἂν 20
17 βούλωνται, παραχρῆμ' ἐποίησαν· τῇ δὲ τιμῇ [s]καὶ τῇ

[e] ψεύδεσθαι] ψεύσασθαι k. r.
[f] ἐγὼ μὲν] ἐγὼ μὲν τοίνυν s.
[g] θέντος] δοθέντος r.
[h] φλαῦρον] φαῦλον s.
[i] νόμου] νόμου τούτου k. r. v. et γρ. F.
[k] θέσθαι] θέσθαι δοκεῖν F. k.
[l] δοκεῖν post γενέσθαι om. k.
[m] τῆς πόλεως τὸ ἦθος] τοῦ τῆς πόλεως ἦθους k.
[n] δικασταί om. k.
[o] παρόντος] παντὸς t. παρόντος νόμου r. νόμου k.
[p] τῶν δήμων] τοῦ δήμου k.
[q] ἀναιρεῖται] ἀφαιρεῖται S.
[r] μάλιστα om. t.
[s] καὶ τῇ βεβαιότητι om. Y.O.s.

βεβαιότητι τὰς παρὰ [t]τῶν δήμων δωρεὰς εὑρήσετε οὔσας βελτίους. τό τε γὰρ μὴ μετ' αἰσχύνης ὡς κελακεύοντα λαμβάνειν, ἀλλ' ἐν ἰσηγορίᾳ δοκοῦντα ἀξίων τινος εἶναι τιμᾶσθαι τῶν καλῶν ἐστι, τό τε ὑπὸ τῶν ὁμοίων ἐκόντων θαυμάζεσθαι τοῦ παρὰ τοῦ δεσπότου λαμβάνειν ὁτιοῦν κρεῖττον εἶναι δοκεῖ. παρὰ μὲν [u]γὰρ ἐκείνοις μείζων ἐστὶν ὁ τοῦ μέλλοντος φόβος τῆς παρούσης χάριτος, παρὰ δ' ὑμῖν ἀδεῶς, ἃ ἂν [x]λάβῃ τις, ἔχειν [y]ὑπῆρχε τὸν [z]γοῦν ἄλλον χρόνον. ὁ τοίνυν τὴν πίστιν ἀφαιρῶν τῶν δωρεῶν νόμος οὗτος, ᾧ μόνῳ κρείττους [a]εἰσὶν αἱ παρ' ὑμῶν δωρεαί, [b]τοῦτ' ἀφαιρεῖται. καίτοι τῶν ἁπασῶν [c]ἡσάντινος πολιτείας τὸ κομιζεσθαι τοὺς εὖνους τοῖς καθεστῶσι χάριν ἂν [d]ἀφέλῃς, οὐ μικρὰν φυλακὴν [e]αὐτῶν ταύτην ἀφῃρηκὼς [f]ἔσει.

Τάχα τοίνυν ἴσως ἐκεῖνο λέγειν ἂν ἐπιχειρήσειε Λεπτίνης, ἀπάγων ὑμᾶς ἀπὸ τούτων, ὡς αἱ λειτουργίαι νῦν μὲν εἰς πέντας ἀνθρώπους ἔρχονται, ἐκ δὲ τοῦ νόμου τούτου λειτουργήσουσιν οἱ πλουσιώτατοι. ἔστι δὲ τοῦτο οὑτωσὶ μὲν ἀκοῦσαι λόγον τιν' ἔχον· εἰ δέ τις αὐτὸ ἀκριβῶς ἐξετάσειε, ψεῦδος ἂν [g]ὂν φανείη. εἰσὶ γὰρ δήπου παρ' [h]ἡμῖν αἵ τε τῶν [i]μετοίκων λειτουργίαι καὶ αἱ πολιτικαί, ὧν ἑκατέρων ἐστὶ τοῖς [k]εὑρημένοις ἡ ἀτέλεια, ἣν οὗτος ἀφαιρεῖται. τῶν γὰρ εἰς τὸν πόλεμον καὶ τὴν σωτηρίαν τῆς πόλεως [l]εἰσφορῶν καὶ τριηραρχιῶν ὀρθῶς καὶ

[t] τῶν δήμων] τοῦ δήμου k.
[u] γὰρ post μὲν om. v.
[x] λάβῃ] λάβοι r. λαμβάνῃ s.
[y] ὑπῆρχε S. vulg. ὑπῆρξεν.
[z] γοῦν om. k.
[a] εἰσὶ] εἶναι s.
[b] τοῦτ'] ταῦτ' k.
[c] ἡσάντινος S. Y. O. r. s. ἥστινος ἂν k. vulg. ἡστινοσοῦν.
[d] ἀφέλῃς] ἐξέλῃς S. Y. O. k. r. s.
[e] αὐτῶν ταύτην] ταύτην αὐτῶν k.
[f] ἔσει O. vulg. ἔσῃ.
[g] ὂν om. F. S.
[h] ἡμῖν] ἐμῖν r.
[i] μετοίκων] μετοικίων correctus r.
[k] εὑρημένοις] εὑρῆμένοις F. εὑρεμένοις t. v.
[l] εἰσφορῶν] πασῶν εἰσφορῶν r. s.

δικαίως οὐδείς ἐστ' ἀτελὴς ἐκ τῶν παλαιῶν νόμων, οὐδὲ οὓς οὗτος ἔγραψε, [m]τοὺς ἀφ' Ἁρμοδίου [n]καὶ Ἀριστο-
21 γείτονος. σκεψώμεθα δὴ τίνας ἡμῖν εἰσποιεῖ χορηγοὺς εἰς ἐκείνας τὰς λειτουργίας, καὶ πόσους, ἐὰν μὴ [o]τούτῳ προσέχωμεν, ἀφήσει. οἱ μὲν τοίνυν πλουσιώτατοι τριηραρχοῦντες ἀεὶ τῶν χορηγιῶν ἀτελεῖς ὑπάρχουσιν, οἱ δ' ἐλάττω [p]τῶν ἱκανῶν κεκτημένοι, τὴν ἀναγκαίαν ἀτέλειαν ἔχοντες, ἔξω τοῦ τέλους εἰσὶ τούτου· οὐκοῦν τούτων μὲν οὐδετέρων οὐδεὶς διὰ τὸν νόμον ἡμῖν προσέσται χορηγός.
22 ἀλλὰ νὴ Δία εἰς τὰς τῶν μετοίκων λειτουργίας εἰσποιεῖ πολλούς. ἀλλ' ἐὰν δείξῃ [q]πέντε, ἐγὼ λήρειν ὁμολογῶ. 463
θήσω τοίνυν ἐγὼ μὴ τοιοῦτον εἶναι [r]τοῦτο, ἀλλὰ [s]καὶ τῶν μετοίκων πλείονας ἢ τοσούτους, ἐὰν ὁ νόμος τεθῇ, τοὺς [t]ἀεὶ λειτουργοῦντας ἔσεσθαι, καὶ τῶν πολιτῶν μηδένα ἐκ τριηραρχίας ὑπάρξειν ἀτελῆ. σκεψώμεθα δὴ τί τοῦτ' 5
[u]ἔσται τῇ πόλει, ἐὰν ἅπαντες οὗτοι λειτουργῶσι· φανήσεται γάρ, οὐδὲ πολλοῦ δεῖ, τῆς γενησομένης [x]ἄξιον αἰ-
23 σχύνης. [y]ὁρᾶτε δ' οὐτωσί. εἰσὶ τῶν ξένων ἀτελεῖς, δέκα θήσω· καὶ μὰ τοὺς θεούς, ὅπερ εἶπον ἀρτίως, οὐκ οἶομαι πέντε εἶναι. καὶ μὴν τῶν γε πολιτῶν οὐκ εἰσὶ πέντε ἢ 10
ἕξ. οὐκοῦν [z]ἀμφοτέρων ἑκκαίδεκα. ποιήσωμεν αὐτοὺς εἴκοσιν, εἰ δὲ βούλεσθε, τριάκοντα. πόσοι δῆποτ' εἰσὶν οἱ κατ' ἐνιαυτὸν τὰς [a]ἐγκυκλίους λειτουργίας [b]λειτουργοῦντες, χορηγοὶ καὶ γυμνασίαρχοι καὶ ἑστιάτορες; ἑξήκοντα 15

[m] τοὺς] τῶν r.
[n] καὶ Ἀριστογείτονος om. pr. S. k.
[o] τούτῳ om. s.
[p] τῶν ante ἱκανῶν om. pr. O.
[q] πέντε] πέντε μόνον k. s.
[r] τοῦτο] τοῦτον Y. O. r.
[s] καὶ om. k.
[t] ἀεὶ om. S. k.
[u] ἔσται om. pr. S.
[x] ἄξιον αἰσχύνης] αἰσχύνης ἄξιον k.
[y] ὁρᾶτε] ὅρα Y. O. s. et pr. S.
[z] ἀμφοτέρων—ποιήσωμεν] ἀμφότερα—ποιήσομεν t.
[a] ἐγκυκλίους] ἐγκύκλους Y. O.
[b] λειτουργοῦντες] λειτουργοῦντες ὑμῖν F. t. v.

24 ἴσως ἢ μικρῷ πλείους σύμπαντες οὗτοι. ἵνα οὖν τριάκοντ' ἄνθρωποι [c] ἢ πλείους παρὰ πάντα τὸν χρόνον λειτουργήσωσιν ἡμῖν, τοὺς ἅπαντας ἀπίστως πρὸς ἡμᾶς αὐτοὺς διαθῶμεν; ἀλλ' ἴσμεν ἐκεῖνο δῆπου, ὅτι λειτουργήσουσι μέν, [d] ἅπερ ἡ πόλις ἦ, πολλοί, καὶ [e] οὐκ ἐπιλείψουσιν, εὖ δὲ ποιεῖν ἡμᾶς οὐδεὶς ἐθελήσει, τοὺς πρότερον ποιήσαντας ἐὰν ἠδικημένους [f] ἴδῃ. εἶεν. εἰ δὲ δὴ τὰ μάλιστα [g] ἐπίλειπον οἱ χορηγεῖν οἷοί τε, πρὸς Διὸς [h] πότερον κρεῖττον ἦν εἰς συντέλειαν ἀγαγεῖν τὰς χορηγίας ὥσπερ τὰς τριηραρχίας, ἢ τοὺς εὐεργέτας ἀφελέσθαι τὰ δοθέντα; ἐγὼ μὲν ἐκεῖνο οἶμαι. νῦν μέν γε τὸν χρόνον, ὃν [i] ἂν τούτων ἕκαστος λειτουργῇ, δίδωσι τὴν ἀνάπαυσιν αὐτοῖς μόνον, μετὰ ταῦτα δὲ οὐδὲν ἔλαττον ἕκαστος αὐτῶν [k] ἀναλώσει· τότε δ' ἂν μικρᾶς συντελείας ἀπὸ τῶν ὑπαρχόντων ἑκάστῳ γιγνομένης οὐδὲν ἔπασχε δεινὸν οὐδείς, οὐδ' εἰ πάνυ μικρὰ κεκτημένος ἦν. 464

26 Οὕτω τοίνυν τινές, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἔχουσιν ἀλογίστως, ὥστ' ἐπιχειροῦσι λέγειν πρὸς μὲν ταῦτ' οὐδέν, ἄλλα δὲ [l] τοιαδί, ὡς ἄρα δεινόν, εἰ ἐν κοινῷ μὲν [m] μηδ' ὁτιοῦν [n] ὑπάρχει τῇ πόλει, ἰδίᾳ δὲ τινες [o] πλουτήσουσιν ἀτελείας ἐπειλημμένοι. ἔστι δὲ ταῦθ' [p] ἅμ' ἀμφότερα οὐχὶ δίκαιον λέγειν. εἰ μὲν γάρ τις [q] ἔχει πολλὰ μηδὲν ὑμᾶς ἀδικῶν, οὐχὶ δεῖ δῆπου [r] τούτῳ βασκαίνειν· εἰ δ' ὑφῃρημένον φήσουσιν [s] ἢ [t] τινα ἄλλον οὐχ ὃν προσήκει

[c] ἢ om. pr. k.
[d] ἅπερ] ἅπερ Y. O. s.
[e] οὐκ om. r.
[f] ἴδῃ] εἰδῇ S.
[g] ἐπίλειπον S. ceteri ἐπέλειπον.
[h] πότερον] πρότερον s.
[i] ἂν supra versum F.
[k] ἀναλώσει] ἀναλώσειν Y. O. s.
[l] τοιαδί] τοιάδε k.
[m] μηδ'] μηδ' F.
[n] ὑπάρχει] ὑπάρχειν r. ὑπάρξει F. ὑπάρξει t. v.
[o] πλουτήσουσιν] πλουτίσουσιν r.
[p] ἅμ' om. S. Y. O. s.
[q] ἔχει] ἔχοι k.
[r] τούτῳ] τοῦτο S.
[s] ἢ om. S. Y. O. r. s. v. καὶ rec. k.
[t] τινα om. k.

[u] τρόπον, εἰσὶ νόμοι καθ' οὓς προσήκει κολάζειν. [x] ὅτε δὲ τοῦτο μὴ ποιοῦσιν, οὐδὲ τὸν λόγον αὐτοῖς [y] τοῦτον λεκτέον.
27 καὶ μὴν περὶ τοῦ γε μὴ εἶναι χρήματα κοινὰ τῇ πόλει ἐκεῖνο ὑμᾶς δεῖ σκοπεῖν, ὅτι οὐδὲν ἔσεσθ' εὐπορώτεροι, [z] τὰς ἀτελείας ἐὰν ἀφέλησθε· οὐ γὰρ κοινωνεῖ ταῖς δημοσίαις προσόδοις καὶ περιουσίαις ταῦτα τἀναλώματ'
28 οὐδέν. χωρὶς δὲ τούτων νυνὶ τῇ πόλει [a] δυοῖν ἀγαθοῖν ὄντοιν, [b] πλούτου καὶ τοῦ πρὸς [c] ἅπαντας πιστεύεσθαι, [d] μεῖζόν ἐστι τὸ τῆς πίστεως ὑπάρχον [e] ἡμῖν. εἰ δέ τις οἴεται δεῖν, ὅτι χρήματ' οὐκ ἔχομεν, μηδὲ δόξαν [f] ἔχειν ἡμᾶς χρηστήν, οὐ καλῶς φρονεῖ. ἐγὼ μὲν γὰρ εὔχομαι τοῖς θεοῖς μάλιστα μὲν ἡμῖν καὶ χρήματα πολλὰ γενέσθαι, εἰ δὲ μή, τό γε πιστοῖς [g] εἶναι καὶ βεβαίοις δοκεῖν [h] διαμένειν.
29 Φέρε δὴ καὶ τὰς εὐπορίας, ἃς ἀναπαυομένους τινὰς [i] εὑπορήσειν οὗτοι φήσουσιν, εἰς [k] δέον ὑμῖν γιγνομένας [l] δείξω. ἴστε γὰρ δήπου τοῦθ', ὅτι τῶν τριηραρχιῶν οὐδείς ἐστ' ἀτελὴς οὐδὲ τῶν εἰσφορῶν τῶν εἰς τὸν πόλεμον. οὐκ-
465 οὖν ὁ πολλὰ κεκτημένος οὗτος, ὅστις ἂν ᾖ, πολλὰ εἰς
30 ταῦτα συντελεῖ· πᾶσα ἀνάγκη. καὶ μὴν ὅτι δεῖ τὴν εὐπορίαν εἰς ταῦθ' ὑπάρχειν πλείστην τῇ πόλει, πάντες ἂν
5 ὁμολογήσειαν· παρὰ μὲν γὰρ τὰς ἐπὶ τῶν χορηγιῶν δαπάνας [m] μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις

[u] τρόπον] τρόπον κεκτῆσθαι F.t.v.
[x] ὅτε—ποιοῦσιν] ὅτε—ποιῶσιν k.
[y] τοῦτον] τοῦτο r. s. om. t.
[z] τὰς] τῆς t.
[a] δυοῖν] δυεῖν k.
[b] πλούτου καὶ S.Y.O.k.r.s. vulg. πλούτου τε καί.
[c] ἅπαντας] ἅπαντα Y. et pr. S.
[d] μεῖζον] κρεῖττον k. r. om. pr. S. Y
[e] ἡμῖν om. k. et pr. S.
[f] ἔχειν ἡμᾶς] ἡμᾶς ἔχειν k. ἔχειν ὑμᾶς Y. O. r.
[g] εἶναι post δοκεῖν ponit k.
[h] διαμένειν] διαμεῖναι S. Y. O. εἶναι k. r. s. διαμένειν F.
[i] εὑπορήσειν] εὑρήσειν v.
[k] δέον] μέσον t. v.
[l] δείξω] ἐπιδείξω k. r.
[m] μικρὸν post μέρος ponit S. om. Y. O. s.

[n] ἡμῶν, παρὰ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία [o] πάσῃ τῇ πόλει. ὥσθ' ὅσον ἐνθάδ' ἀφίετε, ἐκεῖ κομιζεσθε, καὶ δίδοτε ἐν [p] τιμῆς μέρει ταῦτα, ἃ καὶ μὴ λαβοῦσιν ἔστιν ἔχειν 31 [q] τοῖς τοῦ τριπαρχεῖν ἄξια κεκτημένοις. ἀλλὰ μὴν ὅτι τῶν τριπαρχιῶν οὐδεὶς ἐστ' ἀτελής, οἶομαι [r] μὲν ὑμᾶς εἰδέναι πάντας, ὅμως δὲ καὶ τὸν νόμον ὑμῖν [s] αὐτὸν [t] ἀναγνώσεται. Λαβὲ [u] τὸν περὶ τῶν τριπαρχιῶν νόμον, καὶ λέγε [x] τοῦτο αὐτό.

ΝΟΜΟΣ.

Ἀτελῆ γ' δὲ μηδέν' εἶναι τριπαρχίας πλὴν τῶν ἐννέα ἀρχόντων.

32 Ὁρᾶθ' [z] ὡς σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα εἶναι τριπαρχίας ἀτελῆ διεῖρηκεν ὁ νόμος πλὴν τῶν ἐννέα ἀρχόντων. οὐκοῦν οἱ μὲν ἐλάττω κεκτημένοι [a] τοῦ τριπαρχίας ἄξια ἔχειν ἐν ταῖς εἰσφοραῖς συντελοῦσιν εἰς τὸν πόλεμον, οἱ δ' ἐφικνούμενοι τοῦ τριπαρχεῖν [b] εἰς ἀμφότερα ὑμῖν 33 ὑπάρξουσι χρήσιμοι, καὶ τριπαρχεῖν καὶ εἰσφέρειν. τίνα οὖν ῥᾳστώνην τοῖς πολλοῖς [c] ὁ σὸς [d] ὦ Λεπτίνη [e] ποιεῖ νόμος, εἰ μιᾶς ἢ [f] δυοῖν φυλαῖν ἕνα χορηγὸν [g] καθιστησιν, ὃς ἀνθ' ἑνὸς ἄλλου ταῦθ' [h] ἅπαξ ποιήσας ἀπαλλαξεται; ἐγὼ μὲν οὐχ ὁρῶ. τῆς δέ γ' αἰσχύνης ὅλην ἀναπιμπλησι 466 τὴν πόλιν καὶ τῆς ἀπιστίας. οὔκουν ὅτε πολλῷ μείζονα

[n] ἡμῶν] ἡμῶν ἐστι F. k. t. v. ἡμῶν ἐστι k.
[o] πάσῃ post πόλει ponunt Y. O. r. s. om. k.
[p] τιμῆς μέρει] μέρει τιμῆς s.
[q] τοῖς τοῦ] τοὺς pr. S.
[r] μὲν] μὲν καὶ r.
[s] αὐτὸν om. k.
[t] ἀναγνώσεται] ἀναγνώσομαι correctus t.
[u] τὸν] τῶν Y.
[x] τοῦτο αὐτό S. k. ceteri τοῦτον αὐτοῖς.
[y] δὲ om. k.
[z] ὡς om. k. qui hæc ὁρᾶτε—ἀρχόντων in margine habet rec.
[a] τοῦ τριπαρχίας] τοῦ λειτουργίας Y. O. τοῦ τριπαρχίας λειτουργίας r.
[b] εἰς ἀμφότερα—τριπαρχεῖν om. pr. Y.
[c] ὁ σὸς post Λεπτίνη ponit r.
[d] ὦ om. k.
[e] ποιεῖ] ποήσει F. t. v.
[f] δυοῖν] δυεῖν k. r.
[g] καθίστησιν] καθίστασιν O.
[h] ἅπαξ ποιήσας] ποιήσας ἅπαξ r.

[i] βλάψει τῶν ὠφελειῶν ὧν ἔχει, προσήκει λελύσθαι παρὰ τοῖσδε αὐτόν; ἔγωγ' ἂν φαίην.

34 [v] Ἔτι δ', ὦ [k] ἄνδρες [l] δικασταί, διὰ τὸ γεγράφθαι ἐν τῷ νόμῳ διαῤῥήδην αὐτοῦ μηδένα μήτε τῶν πολιτῶν μήτε τῶν ἰσοτελῶν μήτε τῶν ξένων εἶναι ἀτελῆ, μὴ [m] διηρῆσθαι δὲ ὅτου ἀτελῆ, χορηγίας ἢ τίνος ἄλλου τέλους, ἀλλ' ἁπλῶς ἀτελῆ μηδένα πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, καὶ ἐν μὲν τῷ μηδένα πάντας [n] περιλαμβάνειν τοὺς ἄλλους, ἐν δὲ τῷ τῶν ξένων μὴ διορίζειν τῶν οἰκούντων Ἀθήνῃσιν, ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα Βοσπόρου καὶ τοὺς παῖδας αὐτοῦ [o] τὴν δωρεὰν ἣν ὑμεῖς 35 ἔδοτ' [p] αὐτοῖς. [q] ἔστι γὰρ γένει μὲν [r] δήπου ὁ Λεύκων ξένος, τῇ δὲ παρ' [s] ὑμῶν ποιήσει πολίτης· κατ' [t] οὐδέτερον δ' αὐτῷ τὴν ἀτέλειαν ἔστ' ἔχειν ἐκ τούτου τοῦ νόμου. καίτοι τῶν μὲν ἄλλων εὐεργετῶν χρόνον τινὰ ἕκαστος ἡμῖν χρήσιμον ἑαυτὸν παρέσχεν, οὗτος δ', ἂν σκοπῆτε, φανήσεται συνεχῶς [u] ἡμᾶς εὖ ποιῶν, καὶ ταῦθ' ὧν μά- 36 λισθ' [x] ἡμῶν ἡ πόλις δεῖται. ἴστε γὰρ δήπου τοῦθ', ὅτι πλείστῳ τῶν [y] πάντων ἀνθρώπων ἡμεῖς ἐπεισάκτῳ σίτῳ χρώμεθα. πρὸς τοίνυν ἅπαντα τὸν ἐκ τῶν ἄλλων [z] ἐμπορίων ἀφικνούμενον ὁ ἐκ τοῦ Πόντου σῖτος εἰσπλέων ἐστίν. εἰκότως· οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον σῖτον ἔχειν πλεῖστον τοῦτο γίγνεται, ἀλλὰ [a] καὶ διὰ τὸ κύριον ὄντα τὸν Λεύκωνα [b] αὐτοῦ τοῖς ἄγουσι [c] [τὸν σῖτον]

[i] βλάψει] βλάπτει t. v.
[k] ἄνδρες om. k.
[l] δικασταί] ἀθηναῖοι correctus S.
[m] διηρῆσθαι] διειρῆσθαι F. S. Y. O. v. et pr. t. δ' εἰρῆσθαι s.
[n] περιλαμβάνειν F. k. t. et correctus S. περιλαμβάνει ceteri.
[o] τὴν om. s.
[p] αὐτοῖς] αὐτοὺς O. s.
[q] ἔστ.] ἔστι μὲν S.
[r] δήπου post Λεύκων ponit k.
[s] ὑμῶν] ἡμῶν s.
[t] οὐδέτερον] οὐδετέρου t.
[u] ἡμᾶς] ὑμᾶς r.
[x] ἡμῶν ἡ πόλις] ἡ πόλις ἡμῶν k.
[y] πάντων] ἁπάντων F. t. v.
[z] ἐμπορίων] ἐμποριῶν r. s.
[a] καὶ post ἀλλὰ om. S. Y. O. r. s.
[b] αὐτοῦ om. Y. O. r. s.
[c] τὸν σῖτον om. F. S. k. αὖ τὸν σῖτον Y. O. r. s.

Ἀθήναζε ἀτέλειαν δεδωκέναι, καὶ κηρύττειν πρώτους γεμιζεσθαι τοὺς ὡς [d] ἡμᾶς πλέοντας. ἔχων γὰρ [e] ἐκεῖνος ἑαυτῷ καὶ τοῖς παισὶ τὴν ἀτέλειαν ἅπασι δεδωκεν ὑμῖν.
37 τοῦτο δ' ἡλίκον ἐστί, θεωρήσατε. ἐκεῖνος πράττεται τοὺς 467
παρ' [f] αὐτοῦ σῖτον ἐξάγοντας τριακοστήν. αἱ τοίνυν παρ' ἐκείνου δεῦρ' ἀφικνούμεναι σίτου [g] μυριάδες περὶ τετταράκοντά εἰσι· καὶ τοῦτ' ἐκ τῆς παρὰ τοῖς σιτοφύλαξιν 5
ἀπογραφῆς ἂν τις ἴδοι. οὐκοῦν παρὰ μὲν τὰς τριάκοντα μυριάδας μυρίους δίδωσι μεδίμνους ἡμῖν, παρὰ δὲ τὰς
38 δέκα ὡσπερανεὶ τρισχιλίους. [h] τοσούτου τοίνυν δεῖ ταύτην ἀποστερῆσαι τὴν δωρεὰν τὴν πόλιν, ὥστε προσκατασκευάσας ἐμπορίον [i] Θευδοσίαν, ὃ φασιν οἱ πλέοντες οὐδ' 10
ὀτιοῦν χεῖρον εἶναι τοῦ Βοσπόρου, κἀνταῦθ' [k] ἔδωκε τὴν ἀτέλειαν ἡμῖν. καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν, ὅσ' [l] εὐεργέτηκεν ὑμᾶς οὗτος [m] ὁ ἀνὴρ καὶ αὐτὸς καὶ οἱ πρόγονοι· ἀλλὰ προπέρυσι σιτοδείας παρὰ πᾶσιν 15
ἀνθρώποις γενομένης οὐ μόνον [n] ὑμῖν ἱκανὸν σῖτον ἀπέστειλεν, ἀλλὰ [o] τοσούτου ὥστε πεντεκαίδεκα ἀργυρίου
39 ταλαντα, ἃ Καλλισθένης διώκησε, προσπεριγενέσθαι. τί οὖν οἴεσθε ὦ ἄνδρες Ἀθηναῖοι τοῦτον τὸν τοιοῦτον περὶ ὑμᾶς γεγενημένον, ἐὰν ἀκούσῃ νόμῳ τὴν ἀτέλειαν [p] ὑμᾶς 20
ἀφῃρημένους αὐτὸν καὶ μηδ' ἂν μεταδοξῇ ποτε ψηφισαμένους ἐξεῖναι δοῦναι; ἆρ' ἀγνοεῖτε ὅτι ὁ αὐτὸς νόμος οὗτος ἐκείνου τ' ἀφαιρήσεται τὴν ἀτέλειαν, κύριος ἂν γενηθ-
40 ται, καὶ ὑμῶν τοὺς παρ' ἐκείνου σιτηγοῦντας; οὐ γὰρ 25

[d] ἡμᾶς] ἡμᾶς F. S. Y. O. r. t. v.
[e] ἐκεῖνος] ἐκεῖνος Y. O. s.
[f] αὐτοῦ] ἑαυτοῦ k.
[g] μυριάδες] μυριάδας O.
[h] τοσούτου] τοσοῦτον Y. O. r. s.
[i] Θευδοσίαν] θευδασίαν S. Y. O. s. t. v. ψευδοσίαν r.
[k] ἔδωκε] δέδωκε F. t. v.
[l] εὐεργέτηκεν] εὐεργέτηκεν F.
[m] ὁ recepi ex r.
[n] ἡμῖν] ἡμῖν k.
[o] τοσούτου H. Wolfius: libri τοσοῦτον.
[p] ὑμᾶς ἀφῃρημένους] ὑμᾶς ἀφαιρουμένους k.

δήπου τοῦτό γε ὑπείληφεν οὐδείς, ὡς ἐκεῖνος [q] ὑπομενεῖ ἑαυτῷ μὲν ἀκύρους εἶναι τὰς παρ' ὑμῶν δωρεάς, ὑμῖν δὲ μένειν τὰς [r] παρ' ἑαυτοῦ. οὐκοῦν πρὸς πολλοῖς οἷς [s] ἂν [t] ὁ νόμος βλάψειν ὑμᾶς φαίνεται, καὶ προσαφαιρεῖταί τι τῶν ὑπαρχόντων ἤδη. εἶθ' ὑμεῖς ἔτι σκοπεῖτε εἰ χρὴ 458
τοῦτον ἐξαλεῖψαι, καὶ οὐ πάλαι βεβούλευσθε; Ἀνάγνωθι λαβὼν αὐτοῖς τὰ [u] ψηφίσματα τὰ περὶ τοῦ Λεύκωνος.

[x] ΨΗΦΙΣΜΑΤΑ.

41 Ὡς μὲν εἰκότως καὶ δικαίως τετύχηκε τῆς ἀτελείας παρ' [y] ὑμῶν ὁ Λεύκων, ἀκηκόατ' ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί. τούτων δ' ἁπάντων στήλας ἀντιγράφους [z] ἐστήσαθ' [a] ὑμεῖς κἀκεῖνος, τὴν μὲν ἐν Βοσπόρῳ, τὴν δ' ἐν Πειραιεῖ, τὴν δ' ἐφ' Ἱερῷ. σκοπεῖτε [b] δὴ πρὸς [c] ὅσης κακίας ὑπερβολὴν ὑμᾶς ὁ νόμος προάγει, ὃς ἀπι-
42 στότερον τὸν [d] δῆμον καθίστησιν ἑνὸς ἀνδρός. μὴ γὰρ οἴεσθ' ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι ταύτας ἢ τούτων [e] πάντων ὧν ἔχετε ἢ δεδώκατε συνθήκας, αἷς ὁ μὲν Λεύκων ἐμμένων [f] φανεῖται καὶ ποιεῖν ἀεί τι προθυμούμενος ὑμᾶς εὖ, ὑμεῖς δ' ἑστῶσας ἀκύρους [g] πεποιηκότες, ὃ πολὺ δεινότερον τοῦ [h] καθελεῖν· αὗται γὰρ οὕτως τοῖς βουλομένοις κατὰ τῆς πόλεως βλασφημεῖν τεκμήριον ὡς
43 ἀληθῆ λέγουσιν ἑστήξουσιν. φέρε, ἐὰν δὲ δὴ πέμψας ὡς

[q] ὑπομενεῖ] ὑπομένει r.
[r] παρ' ἑαυτοῦ] παρ' ἑαυτῶι F. παρ' αὐτῷ k. παρ' ἑαυτῷ S. Y. O. k. s. t. παρ' ἑαυτῷ δωρεάς r.
[s] ἂν om. k.
[t] ὁ νόμος ante φαίνεται ponit k.
[u] ψηφίσματα τὰ] ψηφίσματα αὐτὰ τὰ F. s. t. v. ψηφίσματα k.
[x] ΨΗΦΙΣΜΑΤΑ] ψήφισμα O.
[y] ὑμῶν] ἡμῶν s.
[z] ἐστήσαθ'] ἐστήσασθ' F. k. t.
[a] ὑμεῖς] ὑμεῖς τε F. t. v.
[b] δὴ] δὲ r.
[c] ὅσης] οὔσης s.
[d] δῆμον] νόμον r.
[e] πάντων] ἀπάντων F. t. v.
[f] φανεῖται] φαίνεται F.
[g] πεποιηκότες] ἔσεσθε πεποιηκότες F. t. v.
[h] καθελεῖν] καθελεῖν ἐστίν F. k. r. t. v.

[i] ἡμᾶς ὁ Λεύκων ἐρωτᾷ, τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν [k] αὐτὸν ἀφήρησθε, τί πρὸς θεῶν ἐροῦμεν ἢ τί γράψει ποτε [l] ὁ τὸ ψήφισμα ὑπὲρ [m] ἡμῶν γράφων; ὅτι νὴ Δί' ἦσαν [n] τῶν εὑρημένων τινὲς ἀνάξιοι. εἰ-
44 ἐὰν οὖν εἴπῃ πρὸς ταῦτα ἐκεῖνος "καὶ γὰρ Ἀθηναίων τινές [o] εἰσιν ἴσως φαῦλοι, καὶ οὐ διὰ ταῦτ' ἐγὼ τοὺς χρηστοὺς ἀφειλόμην, ἀλλὰ τὸν δῆμον νομίζων χρηστὸν πάντας ἔχειν ἐῶ," οὐ [p] δικαιότερ' ἡμῶν ἐρεῖ; ἐμοὶ γοῦν δοκεῖ. παρὰ πᾶσι [q] γὰρ ἀνθρώποις μᾶλλόν ἐστιν ἔθος 469
διὰ τοὺς εὐεργέτας καὶ ἄλλους τινὰς εὖ ποιεῖν τῶν [r] μὴ χρηστῶν, ἢ διὰ τοὺς φαύλους τοὺς [s] ὁμολογουμένως ἀξί-
45 ους χάριτος τὰ δοθέντ' ἀφαιρεῖσθαι. καὶ μὴν οὐδ' ὅπως οὐκ ἀντιδώσει τῷ Λεύκωνι τις, ἐὰν βούληται, δύναμαι σκοπούμενος εὑρεῖν. χρήματα μὲν γάρ ἐστιν ἀεὶ παρ' ὑμῖν αὐτοῦ, κατὰ δὲ τὸν νόμον τοῦτον, ἐάν τις ἐπ' αὐτὰ ἔλθῃ, ἢ στερήσεται τούτων ἢ λειτουργεῖν [t] ἀναγκασθήσεται. ἔστι δ' οὐ τὸ τῆς δαπάνης μέγιστον ἐκείνῳ, ἀλλ'
10 ὅτι τὴν δωρεὰν ὑμᾶς αὐτὸν ἀφῃρῆσθαι νομιεῖ.

46 Οὐ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ Λεύκων ἀδικηθῇ [u] μόνον δεῖ σκοπεῖν, ᾧ [x] εἵνεκα ἡ περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας, ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν
15 γέγονεν αὐτῷ τὸ παρ' [y] ὑμῶν λαβεῖν τότε τὴν ἀτέλειαν. τίς οὖν οὗτός ἐστιν; [z] Ἐπικέρδης ὁ [a] Κυρηναῖος, ὃς, εἴπερ

[i] ἡμᾶς] ὑμᾶς O. v.
[k] αὐτὸν] αὐτῶν s.
[l] ὃ] ὅτε pr. S. ὃς γε Y. O. r. s.
[m] ἡμῶν] ὑμῶν Y. O. t. v.
[n] τῶν εὑρημένων τινὲς] τινες τῶν εὑρημένων F. k. r. v.
[o] εἰσὶν ἴσως φαῦλοι] ἴσως φαῦλοι Y. O. n. ἴσως εἰσὶ φαῦλοι k. ἴσως φαῦλοί εἰσιν r.
[p] δικαιότερ'] δικαιότερον v.
[q] γὰρ om. O.
[r] μὴ om. pr. k.
[s] ὁμολογουμένως] ὁμολογουμένους F.
[t] ἀναγκασθήσεται] ἀναγκασθήσεται ταύτην S.
[u] μόνον δεῖ] δεῖ μόνον r.
[x] εἵνεκα F. S. Y. O. r. ceteri ἕνεκα.
[y] ὑμῶν] ἡμῶν s.
[z] Ἐπικέρδης] ἐπικέρδες t.
[a] Κυρηναῖος] κερκυραῖος s. t. v.

τις ἄλλος τῶν εἰληφότων, δικαίως ἠξιώθη ταύτης τῆς τιμῆς, [b] οὐ τῷ μεγάλα ἢ θαυμάσια ἡλίκα δοῦναι, ἀλλὰ τῷ παρὰ τοιοῦτον καιρὸν ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔρ-
47 γον ἦν εὑρεῖν ἐθέλοντά τινα ὧν εὐεργέτητο μεμνῆσθαι. οὗτος γὰρ ἀνήρ, ὡς τὸ ψήφισμα τοῦτο δηλοῖ [c] τὸ τότε αὐτῷ γραφέν, τοῖς ἁλοῦσι τότ' ἐν Σικελίᾳ τῶν πολιτῶν, ἐν τοιαύτῃ συμφορᾷ καθεστηκόσιν, ἔδωκε μνᾶς ἑκατὸν καὶ τοῦ μὴ τῷ λιμῷ πάντας αὐτοὺς ἀποθανεῖν αἰτιώτα-
25 τος ἐγένετο. καὶ μετὰ ταῦτα δοθείσης ἀτελείας αὐτῷ διὰ ταῦτα παρ' ὑμῶν, ὁρῶν ἐν τῷ πολέμῳ [d] τῷ πρὸ τῶν τριάκοντα μικρὸν σπανίζοντα τὸν δῆμον χρημάτων, τά-
48 λαντον [e] ἔδωκεν [f] αὐτὸς ἐπαγγειλάμενος. σκέψασθε δὴ 470
πρὸς Διὸς καὶ θεῶν, ἄνδρες Ἀθηναῖοι, πῶς [g] ἂν ἄνθρωπος μᾶλλον φανερὸς γένοιτο εὔνους ὢν [h] ὑμῖν, ἢ πῶς ἧττον ἄξιος ἀδικηθῆναι, ἢ πρῶτον μὲν εἰ παρὼν τῷ τῆς πόλεως ἀτυχήματι μᾶλλον ἔλοιτο τοὺς [i] ἀτυχοῦντας καὶ τὴν
5 παρὰ τούτων χάριν, ἥτις ποτ' ἔμελλεν ἔσεσθαι, ἢ τοὺς [k] ἐν ἐκείνῳ τῷ χρόνῳ κεκρατηκότας καὶ παρ' οἷς ἦν, δεύτερον δ', ἑτέραν χρείαν ἰδών, εἰ φαίνοιτο διδοὺς καὶ μὴ [l] ὅπως ἰδίᾳ τὰ ὄντα [m] σώσει προνοούμενος, ἀλλ' ὅπως
10 49 τῶν [n] ὑμετέρων μηδὲν ἐνδεῶς ἕξει τὸ [o] καθ' αὑτόν. τοῦτον [p] μέντοι τὸν τῷ μὲν ἔργῳ παρὰ τοὺς μεγίστους καιροὺς οὑτωσὶ κοινὰ τὰ ὄντα τῷ δήμῳ κεκτημένον, τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ τὴν ἀτέλειαν ἔχοντα οὐχὶ τὴν ἀτέλειαν

[b] οὐ τῷ] οὕτω r.
[c] τὸ ante τότε om. r.
[d] τῷ post πολέμῳ om. S. Y. O. r. s.
[e] ἔδωκεν] ἐπέδωκεν s. t.
[f] αὐτὸς] αὐτοῖς S. r.
[g] ἄν et μᾶλλον om. S. Y. O. s.
[h] ὑμῖν] ἡμῖν k.
[i] ἀτυχοῦντας] δυσ εὐτυχοῦντας O.
[k] ἐν om. O.
[l] ὅπως] πως S. Y. O.
[m] σώσει] σώσῃ S. Y. O. k. r. s. t. σώσῃι F.
[n] ὑμετέρων] ἡμετέρων k.
[o] καθ' αὑτόν] κατ' αὐτόν k.
[p] μέντοι τὸν] μὲν τοίνυν k. μέντοι τοίνυν r.

ἀφαιρήσεσθε (οὐδὲ γὰρ οὕτω χρώμενος φαίνεται) [q] ἀλλὰ 15
τὸ πιστεύειν ὑμῖν, οὗ τί γένοιτ' ἂν αἴσχιον; τὸ τοίνυν
ψήφισμα ὑμῖν αὐτὸ ἀναγνώσεται τὸ τότε ψηφισθὲν τῷ
50 ἀνδρί. καὶ θεωρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ψηφίσματ'
ἄκυρα ποιεῖ ὁ νόμος, [r] καὶ ὅσους ἀνθρώπους ἀδικεῖ, καὶ ἐν 20
ὁποίοις καιροῖς χρησίμους ὑμῖν παρασχόντας ἑαυτούς· εὑ-
ρήσετε γὰρ τούτους, οὓς ἥκιστα προσῆκεν, ἀδικοῦντα. Λέγε.

[s] ΨΗΦΙΣΜΑ.

51 Τὰς μὲν εὐεργεσίας, ἀνδ' ὧν εὕρετο τὴν ἀτέλειαν ὁ 25
Ἐπικέρδης, ἀκηκόατ' ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δι-
κασταί. σκοπεῖτε δὲ μὴ τοῦτο, εἰ μνᾶς ἑκατὸν καὶ πά-
λιν τάλαντον ἔδωκεν (οὐδὲ γὰρ τοὺς λαβόντας ἔγωγ'
ἡγοῦμαι τὸ πλῆθος τῶν χρημάτων θαυμάσαι), ἀλλὰ τὴν
προθυμίαν καὶ τὸ αὐτὸν ἐπαγγειλάμενον ποιεῖν καὶ τοὺς 471
52 καιροὺς ἐν οἷς. πάντες μὲν γάρ εἰσιν ἴσως ἄξιοι χάριν
ἀνταπολαμβάνειν οἱ προϋπάρχοντες τῷ ποιεῖν [t] εὖ, μά-
λιστα δ' οἱ παρὰ τὰς χρείας, ὧν εἷς οὗτος ἀνὴρ ὢν φαί-
νεται. εἶτ' οὐκ [u] αἰσχυνόμεθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς 5
[x] τοῦ [y] τοιούτου παῖδας [z] εἰ μηδεμίαν ποιησάμενοι τούτων
μηδενὸς μνείαν ἀφῃρημένοι φανούμεθα τὴν δωρεάν, μηδὲν
53 ἔχοντες ἐγκαλέσαι; οὐ γὰρ εἰ ἕτεροι μὲν ἦσαν οἱ τότε
σωθέντες ὑπ' αὐτοῦ καὶ δόντες τὴν ἀτέλειαν, ἕτεροι δ' 10
[a] ὑμεῖς οἱ νῦν ἀφαιρούμενοι, [b] ἀπολύει τοῦτο [c] τὴν αἰσχύ-
την, ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ τὸ δεινόν ἐστιν. εἰ γὰρ οἱ
μὲν [d] εἰδότες καὶ [e] παθόντες ἄξια τούτων ἐνόμιζον εὖ πά-

[q] ἀλλὰ τὰ] ἀλλὰ τοῦ s.
[r] καὶ ante ὅσους om. k.
[s] ΨΗΦΙΣΜΑ] ψηφίσματα t.
[t] εὖ] ὑμᾶς εὖ F. v.
[u] αἰσχυνόμεθ'] αἰσχυνούμεθ' Y. O. s.
[x] τοῦ om. Y. O. r. s.
[y] τοιούτου] τοιούτους O. r.
[z] εἰ om. pr. v.
[a] ὑμεῖς] ἡμεῖς k.
[b] ἀπολύει] ἀπολύσει r.
[c] τὴν αἰσχύνην] τὴν αἰσχύνην F.
[d] εἰδότες] εἰδόντες s.
[e] παθόντες] παθόντες F. παρόντες k.

σχειν, ἡμεῖς δ' οἱ λόγῳ ταῦτ' [f]ἀκούοντες ὡς ἀναξίων
54 ἀφαιρησόμεθα, πῶς οὐχ ὑπέρδεινον ποιήσομεν; [g]αὐτὸς 15
τοίνυν ἐστί μοι λόγος οὗτος καὶ περὶ τῶν τοὺς τετρακο-
σίους καταλυσάντων, καὶ περὶ τῶν ὅτ' [h]ἔφευγεν ὁ δῆμος
χρησίμους αὐτοὺς παρασχόντων· πάντας γὰρ αὐτοὺς
ἡγοῦμαι δεινότατ' ἂν παθεῖν, εἴ τι τῶν τότε ψηφισθέντων
αὐτοῖς λυθείη.

55 Εἰ τοίνυν τις ὑμῶν ἐκεῖνο πέπεισται, πολὺ τοῦ δεηθῆ- 20
ναί τινος τοιούτου νῦν ἀπέχειν τὴν πόλιν, ταῦτα μὲν εὐ-
χέσθω τοῖς θεοῖς, κἀγὼ συνεύχομαι, λογιζέσθω δὲ πρῶ-
τον μὲν ὅτι [i]περὶ νόμου μέλλει φέρειν τὴν ψῆφον, ᾧ μὴ
λυθέντι [k]δεήσει χρῆσθαι, δεύτερον δ' ὅτι βλάπτουσιν οἱ 25
πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις.
56 οὐ γὰρ ἂν μετέπιπτε τὰ πράγματ' ἐπ' ἀμφότερ', εἰ μὴ
τοὺς μὲν ἐν κινδύνῳ καθεστηκότας καὶ πράξεις χρησταὶ
καὶ νόμοι καὶ ἄνδρες χρηστοὶ καὶ πάντα ἐξητασμέν' ἐπὶ
τὸ βέλτιον προῆγε, τοὺς δ' ἐν [l]ἁπάσῃ καθεστάναι δο- 30
κοῦντας εὐδαιμονίᾳ πάντα ταῦτ' ἀμελούμενα ὑπέρρει 472
57 κατὰ μικρόν. τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι κτῶνται
μὲν τἀγαθὰ τῷ καλῶς βουλεύεσθαι καὶ μηδενὸς κατα-
φρονεῖν, φυλάττειν δ' οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις. ὃ 5
μὴ [m]πάθητε νῦν ὑμεῖς, μηδ' οἴεσθε νόμον τοιοῦτον [n]θέσθαι
δεῖν, ὃς καλῶς τε πράττουσαν τὴν πόλιν [o]ὑμῶν πονηρᾶς
[p]δόξης ἀναπλήσει, ἐάν τέ τι συμβῇ [q]ποτέ, ἔρημον τῶν
[r]ἐθελησόντων ἀγαθόν τι ποιεῖν [s]αὐτὴν καταστήσει.

[f] ἀκούοντες] ἀκούσαντες s.
[g] αὐτὸς Y. ὁ αὐτὸς S. O. v. vulg. αὐτὸς.
[h] ἔφευγεν] ἐφεύγομεν r.
[i] περὶ—φέρειν] περὶ τοῦ—πρῶτον φέρειν r. περὶ—λυθέντι in margine k.
[k] δεήσει] δεήσοι k.
[l] ἁπάσῃ] πάσῃ s.
[m] πάθητε] πάθοιτε r.
[n] θέσθαι δεῖν] δεῖν θέσθαι k.
[o] ὑμῶν k. ceteri ἡμῶν.
[p] δόξης] τε δόξης k.
[q] ποτὲ] ποτὲ ἀλλοιότερον γρ. S.
[r] ἐθελησόντων] ἐθελησάντων k.
[s] αὐτὴν om. k.

58 Οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς καὶ παρασχόντας χρησίμους αὑτοὺς ἐπὶ τηλικούτων καὶ τοιούτων καιρῶν, [t] οἷον μικρῷ πρότερον Φορμίων [u] διεξεληλυθε κἀγὼ νῦν εἴρηκα, ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι, ἀλλὰ καὶ πολλοὺς ἄλλους, οἳ πόλεις ὅλας, τὰς ἑαυτῶν πατρίδας, συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου παρέσχον, καὶ λέγοντες ἃ [x] συμφέρει τῇ πόλει τῇ [y] ὑμετέρᾳ καὶ πράττοντες· ὧν ἔνιοι διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν στέρονται τῆς πατρίδος.

59 ὧν ἐπέρχεταί μοι πρώτους ἐξετάσαι τοὺς ἐκ Κορίνθου [z] φυγόντας. ἀναγκάζομαι [a] δὲ λέγειν πρὸς ὑμᾶς ταῦτα, ἃ παρ' ὑμῶν τῶν πρεσβυτέρων [b] αὐτὸς ἀκήκοα. τὰ μὲν οὖν ἄλλα ὅσα χρησίμους [c] ἡμῖν ἑαυτοὺς ἐκεῖνοι παρέσχον, ἐάσω· ἀλλ' οὗ ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένετο ἡ ἐν Κορίνθῳ, τῶν ἐν τῇ πόλει βουλευσαμένων μετὰ τὴν μάχην [d] μὴ δεχεσθαι τῷ τείχει τοὺς στρατιώτας ἀλλὰ πρὸς Λακεδαιμονίους ἐπιχηρυκεύεσθαι, ἐρώντες ἠτυχηκυῖαν τὴν πόλιν καὶ τῆς παρόδου κρατοῦντας Λακεδαιμονίους, οὐχὶ προὔδωκαν οὐδ' ἐβουλεύσαντο ἰδίᾳ περὶ τῆς αὐτῶν σωτηρίας, ἀλλὰ [e] πλησίον ὄντων μεθ' ὅπλων ἁπάντων Πελοποννησίων ἀνέῳξαν τὰς πύλας ἡμῖν βιαζομένοις τῶν πολλῶν, καὶ μᾶλλον εἵλοντο μεθ' [f] ὑμῶν τῶν τότε [g] στρατευσαμένων, εἴ τι [h] δέοι, πάσχειν ἢ χωρὶς [i] ὑμῶν ἀκινδύνως σεσῶσθαι, καὶ [k] εἰσέφρουν τὸ στράτευμα, καὶ

[t] οἷον] οἷόν k.
[u] διεξεληλυθε] διεξελθεῖν S.
[x] συμφέρει] Malim συμφέρει.
[y] ὑμετέρᾳ] ἡμετέρᾳ O. k. r.
[z] φυγόντας] φεύγοντας F. r.
[a] δὲ om. s.
[b] αὐτὸς om. k.
[c] ἡμῖν] ὑμῶν F.
[d] μὴ δέχεσθαι ante μετὰ ponit r.
[e] πλησίον] πλησίων O. r.
[f] ὑμῶν] ἡμῶν k.
[g] στρατευσαμένων] στρατευομένων k. r.
[h] δέοι] δέῃ r.
[i] ὑμῶν] ἡμῶν k. r.
[k] εἰσέφρουν] εἰσῆγον F. εἰσεφοίτων r.

61 διέσωσαν καὶ [l] ὑμᾶς καὶ τοὺς συμμάχους. ἐπειδὴ [m] δὲ πρὸς Λακεδαιμονίους εἰρήνη μετὰ ταῦτ' [n] ἐγένετο, ἡ ἐπὶ [o] Ἀνταλκίδου, ἀντὶ τῶν ἔργων τούτων ὑπὸ Λακεδαιμονίων ἐξέπεσον. ὑποδεξάμενοι δ' ὑμεῖς αὐτοὺς ἐποιήσατε ἔργον ἀνθρώπων καλῶν κἀγαθῶν· ἐψηφίσασθε γὰρ αὐτοῖς ἅπανθ' ὧν ἐδέοντο. εἶτα ταῦτα νῦν εἰ χρὴ κύρια εἶναι σκοποῦμεν; ἀλλ' ὁ λόγος πρῶτον [p] αἰσχρὸς τοῖς σκοπουμένοις, εἴ τις ἀκούσειεν ὡς Ἀθηναῖοι σκοποῦσιν εἰ χρὴ τοὺς εὐεργέτας ἐᾶν τὰ δοθέντα ἔχειν· πάλαι γὰρ ἐσκέφθαι ταῦτα καὶ ἐγνῶσθαι [q] προσῆκεν. Ἀνάγνωθι [r] δέ μοι καὶ τοῦτο τὸ ψήφισμα αὐτοῖς.

ΨΗΦΙΣΜΑ.

62 [d] Ἃ μὲν ἐψηφίσασθε τοῖς φεύγουσι δι' [s] ὑμᾶς Κορινθίων, ταῦτ' ἐστίν, ὦ [t] ἄνδρες δικασταί. [u] ὁρᾶτε δ', εἴ τις ἐκείνους τοὺς καιροὺς [x] ἰδών, ἢ παρὼν ἤ τινος εἰδότος [y] διεξιόντος ἀκούσας, [z] ἀκούσαι τοῦ νόμου τούτου τὰς τότε δωρεὰς [a] δοθείσας ἀφαιρουμένου, [b] ὅσην ἂν κακίαν τῶν θεμένων τὸν νόμον καταγνοίη, οἳ παρὰ μὲν τὰς χρείας οὕτω φιλάνθρωποι καὶ πάντα ποιοῦντες, ἐπειδὴ δ' ἐπράξαμεν πάνθ' ὅσ' ἂν εὐξαίμεθ', οὕτως ἀχάριστοι καὶ κακοὶ [c] φανησόμεθα, ὥστε τούς [d] τ' ἔχοντας ἀφῃρήμεθα καὶ τὸ
63 λοιπὸν μηδενὶ δοῦναι ταῦτ' ἐξεῖναι [e] νόμον τεθείκαμεν. νὴ Δί' ἀνάξιοι γάρ τινες τῶν εὑρημένων ταῦτ' ἦσαν· τουτὶ 474

[l] ὑμᾶς] ἡμᾶς k.
[m] δὲ] δ' ἡ k. r.
[n] ἐγένετο] ἐγίνετο r.
[o] Ἀνταλκίδου] ἀντιαλκιδου S.
[p] αἰσχρὸς] αἰσχρῶς s.
[q] προσῆκεν] προσήκει pr. S.
[r] δέ μοι om. S. k.
[s] ὑμᾶς] ἡμᾶς O.
[t] ἄνδρες δικασταί] ἀθηναῖοι k.
[u] ὁρᾶτε] ὅρα pr. S.
[x] ἰδών] εἰδώς k. r.
[y] διεξιόντος] καὶ διεξιόντος F. Y. O. r. s. t. v.
[z] ἀκούσαι F. S. Y. t. v. ἀκοῦσαι s. t. om. k. r.
[a] δοθείσας ἀφαιρ.] ἀφαιρ. δοθείσας k.
[b] ὅσην] πόσην F. k. r. t.
[c] φανησόμεθα om. S. k.
[d] τ' om. O.
[e] νόμον supra versum F.

[f] γὰρ παρὰ πάντ' ἔσται τὸν λόγον αὐτοῖς. ἔπειτ' ἐκεῖν' ἀγνοεῖν φήσομεν, ὅτι τὴν ἀξίαν, ὅταν διδῶμεν, δεῖ σκοπεῖν, οὐ μετὰ ταῦθ' ὕστερον χρόνῳ [g] παμπληθεῖ. τὸ μὲν γὰρ ἐξ ἀρχῆς τι [h] μὴ δοῦναι γνώμῃ χρησαμένων [i] ἔργον ἀνθρώπων ἐστί, τὸ δὲ τοὺς ἔχοντας ἀφαιρεῖσθαι φθονούν-
64 των· τοῦτο δ' οὐχὶ [k] δεῖ δοκεῖν ὑμᾶς πεπονθέναι. καὶ μὴν οὐδ' ἐκεῖν' ὀκνήσω περὶ τῆς ἀξίας αὐτῆς πρὸς ὑμᾶς εἰπεῖν. ἐγὼ γὰρ οὐ τὸν αὐτὸν τρόπον νομίζω πόλει τὸν ἄξιον ἐξεταστέον εἶναι καὶ ἰδιώτῃ. οὐδὲ γὰρ περὶ τῶν αὐτῶν ἡ σκέψις. ἰδίᾳ μὲν γὰρ ἕκαστος [l] ἡμῶν σκοπεῖ τίς ἄξιός ἐστιν ἑκάστου κηδεστὴς ἢ τῶν τοιούτων τι γίγνεσθαι, ταῦτα δὲ καὶ νόμοις τισὶ καὶ δόξαις διώρισται·
65 κοινῇ δ' ἡ πόλις καὶ ὁ δῆμος ὅστις ἂν αὐτὸν εὖ ποιῇ καὶ [m] σώζῃ, τοῦτο δ' οὐ γένει καὶ δόξῃ [[n] κρινόμενον] ἴδοι τις ἂν ἀλλ' ἔργῳ. ὅταν μὲν οὖν εὖ πάσχειν δέῃ, τὸν βουλόμενον εὖ ποιεῖν ἡμᾶς ἐάσομεν, ἐπειδὰν [o] δὲ πάθωμεν, τότε τὴν ἀξίαν τοῦ ποιήσαντος [p] σκεψόμεθα; οὐκ ἄρ' ὀρθῶς βουλευσόμεθα.

66 Ἀλλὰ νὴ Δί' οὗτοι μόνοι [q] τοῦτο πείσονται, καὶ περὶ τούτων [r] μόνων [s] ποιοῦμαι λόγον [t] τοσοῦτον. πολλοῦ γε καὶ δέω. ἀλλὰ πάντας μὲν οὐδ' ἂν [u] ἐγχειρήσαιμι ἐξετάζειν, ὅσοι πεποιηκότες ὑμᾶς εὖ διὰ τὸν νόμον, εἰ μὴ λυθήσεται, τὰ δοθέντ' ἀφαιρεθήσονται· ἓν δὲ ἢ δύο δείξας ἔτι ψηφίσματα ἀπαλλάττομαι τοῦ περὶ τούτων λέγειν.
67 τοῦτο μὲν τοίνυν Θασίους τοὺς μετ' Ἐκφάντου, πῶς οὐκ

[f] γὰρ post τουτὶ om. s.
[g] παμπληθεῖ] παμπληρεῖ O.
[h] μὴ] οἱ S.
[i] ἔργον ἀνθρ.] ἀνθρ. ἔργων r.
[k] δεῖ om. s.
[l] ἡμῶν] ἐμῶν v.
[m] σώζῃ] σώζοι k.
[n] κρινόμενον om. S. Y. O. k. r. s.
[o] δὲ] δ' εἶ F. t. v.
[p] σκεψόμεθα] σκεψώμεθα k. v.
[q] τοῦτο πείσονται] ποιήσονται r.
[r] μόνων] μόνον t.
[s] ποιοῦμαι ante μόνων ponit r.
[t] τοσοῦτον ante ποιοῦμαι ponit t. ante λόγον F. k. v.
[u] ἐγχειρήσαιμι] ἐγχειρήσαιμεν r.

ἀδικησετε, ἐὰν [v] ἀφαιρῆσθε τὴν ἀτέλειαν, [x] οἳ [y] παραδόντες ὑμῖν Θάσον καὶ [z] τὴν Λακεδαιμονίων φρουρὰν μεθ' ὅπλων ἐκβαλόντες καὶ Θρασύβουλον εἰσαγαγόντες καὶ παρασχόντες [a] φίλην [b] ὑμῖν τὴν ἑαυτῶν πατρίδα αἴτιοι τοῦ γενέσθαι σύμμαχον τὸν περὶ Θρᾴκην τόπον ὑμῖν ἐγέ-
68 νοντο; τοῦτο δ' Ἀρχέβιον καὶ Ἡρακλείδην, οἳ Βυζάντιον παραδόντες Θρασυβούλῳ κυρίους [c] ὑμᾶς ἐποίησαν τοῦ Ἑλλησπόντου, ὥστε τὴν δεκάτην ἀποδόσθαι καὶ χρημάτων εὐπορήσαντας [d] Λακεδαιμονίους ἀναγκάσαι τοιαύτην, οἵαν ὑμῖν ἐδόκει, ποιήσασθαι τὴν εἰρήνην; ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ ταῦτ' ἐκπεσόντων ἐψηφίσασθε, ἅπερ οἶμαι φεύγουσιν εὐεργέταις δι' ὑμᾶς προσῆκε, [e] προξενίαν, εὐεργεσίαν, ἀτέλειαν ἁπάντων. εἶτα τοὺς δι' ὑμᾶς φεύγοντας καὶ δικαίως τι παρ' ὑμῶν εὑρομένους [f] ἐάσωμεν
69 ἀφαιρεθῆναι [g] τὰ δοθέντα, μηδὲν ἔχοντες ἐγκαλέσαι; ἀλλ' αἰσχρὸν ἂν εἴη. μάθοιτε δὲ τοῦτο [h] μάλιστ' [i] ἂν ἐκείνως, εἰ λογίσαισθε πρὸς ὑμᾶς αὐτούς, εἴ τινες [k] νυνὶ τῶν ἐχόντων Πύδναν ἢ Ποτίδαιαν ἤ τι τῶν ἄλλων χωρίων, ἃ Φιλίππῳ μέν ἐστιν ὑπήκοα ὑμῖν δ' ἐχθρά, τὸν αὐτὸν τρόπον ὄνπερ ἡ Θάσος ἦν τότε καὶ τὸ Βυζάντιον Λακεδαιμονίοις μὲν [l] οἰκεῖα ὑμῖν δ' ἀλλότρια, παραδώσειν ταῦτ' [m] ἐπαγγείλαιντο, ἂν αὐτοῖς τὰς αὐτὰς δῶτε δωρεὰς ἅσπερ Ἐκ-
70 φάντῳ τῷ Θασίῳ καὶ Ἀρχεβίῳ τῷ Βυζαντίῳ, καί τινες τούτων ἀντιλέγοιεν αὐτοῖς ταῦτα λέγοντες, ὡς δεινὸν εἴ

[v] ἀφαιρῆσθε] ἀφέλησθε F. t. v.
[x] οἳ] ἢ s.
[y] παραδόντες] παραδοθέντες r.
[z] τὴν ante Λακεδ. om. O.
[a] φίλην post ὑμῖν ponit r.
[b] ὑμῖν] ἡμῖν k.
[c] ὑμᾶς] ἡμᾶς r.
[d] Λακεδ.] καὶ λακεδ. v.
[e] προξενίαν] ὑποδοχὴν ἢ προστασίαν προξενίαν s.
[f] ἐάσωμεν] ἐάσομεν F. k. t. v.
[g] τὰ δοθέντα] ταῦτα S.
[h] μάλιστ'] κάλλιστ' r.
[i] ἂν ἐκείνως, εἰ λογίσαισθε] , ἂν ἐκεινωσὶ λογίσησθε k.
[k] νυνὶ τῶν] νῦν τῶν k. τῶν νυνὶ F. t. v.
[l] οἰκεῖα] οἰκεῖον t.
[m] ἐπαγγείλαιντο] ἐπηγγείλαντο k.

τινες [n] μόνοι τῶν ἄλλων μετοίκων μὴ χορηγοῖεν, πῶς ποτ' ἂν ἔχοιτε πρὸς τοὺς ταῦτα λέγοντας; [o] ἢ δῆλον ὅτι φωνὴν οὐκ ἂν ἀνάσχοισθε ὡς συκοφαντούντων. οὐκοῦν αἰσχρόν, εἰ μέλλοντες μὲν εὖ πάσχειν συκοφάντην ἂν τὸν ταῦτα λέγοντα [p] ἡγοῖσθε, ἐπὶ τῷ δ' ἀφελέσθαι τὰς τῶν προτέρων εὐεργετῶν δωρεὰς ταῦτα λεγόντων ἀκούσεσθε.

71 φέρε δὴ κἀκεῖνο ἐξετάσωμεν. οἱ προδόντες τὴν [q] Πύδναν 476
καὶ τἄλλα χωρία τῷ Φιλίππῳ τῷ ποτ' ἐπαρθέντες ἡμᾶς [r] ἠδίκουν; ἢ πᾶσι πρόδηλον τοῦτο, ὅτι ταῖς παρ' ἐκείνου δωρεαῖς, ἃς διὰ ταῦτα ἔσεσθαι [s] σφίσιν ἡγοῦντο; πότερον οὖν μᾶλλον ἔδει σε ὦ Λεπτίνη τοὺς ἐχθρούς, εἰ δύνασαι, πεῖσαι τοὺς ἐπὶ τοῖς πρὸς [t] ἡμᾶς ἀδικήμασι γιγνομένους [u] ἐκείνων εὐεργέτας μὴ τιμᾶν, ἢ θεῖναι νόμον ἡμῖν ὃς τῶν [x] τοῖς ἡμετέροις εὐεργέταις ὑπαρχουσῶν δωρεῶν ἀφαιρεῖταί τι; ἐγὼ μὲν ἐκεῖνο οἶομαι. Ἀλλ' ἵνα μὴ πόρρω τοῦ παρόντος γένωμαι, [y] λαβὲ τὰ ψηφίσματα ἃ τοῖς Θασίοις καὶ Βυζαντίοις ἐγράφη. λέγε.

ΨΗΦΙΣΜΑΤΑ.

72 Ἠκούσατε μὲν τῶν ψηφισμάτων, ὦ ἄνδρες [z] δικασταί, τούτων δ' ἴσως ἔνιοι τῶν ἀνδρῶν οὐκέτ' εἰσίν. ἀλλὰ [a] τὰ ἔργα τὰ πραχθέντ' [b] ἔστιν, ἐπειδήπερ ἅπαξ ἐπράχθη. προσήκει τοίνυν τὰς στήλας ταύτας κυρίας εἶναι τὸν πάντα χρόνον, ἵν', ἕως μὲν ἂν τινες ζῶσι, μηδεὶς ὑφ' ὑμῶν ἀδικῶνται, ἐπειδὰν δὲ τελευτήσωσιν, [c] ἐκεῖναι τοῦ τῆς

[n] μόνοι om. k. μετοίκων om. t.
[o] ἢ r.k. vulg. ἦ.
[p] ἡγοῖσθε] ἡγεῖσθε k. t. v.
[q] Πύδναν] πύδναν καὶ ποτίδαιαν F. r.
[r] ἠδίκουν] ἠδίκησε s.
[s] σφίσιν] φησιν S.
[t] ἡμᾶς] ὑμᾶς t.
[u] ἐκείνων] ἐκεῖνον r.
[x] τοῖς—τι] ἡμετέρων εὐεργετῶν τὰς ὑπαρχούσας δωρεὰς ἀφαιρήσεται k. et γρ. S. ἀφαιρήσεταί etium r.
[y] λαβὲ k.r. vulg. λάβε.
[z] δικασταί om. k.
[a] τὰ] τάγ' k.
[b] ἔστιν] εἰσὶν k.
[c] , ἐκεῖναι] ἐκεῖναι, k.

πόλεως ἤθους μνημεῖον ὧσι, καὶ παραδείγματα ἐστῶσι τοῖς βουλομένοις τι ποιεῖν [d] ὑμᾶς ἀγαθόν, [e] ὅτι τοὺς εὖ
73 ποιήσαντας ἡ πόλις ἀντευπεποίηκεν. καὶ μὴν μηδ' [f] ἐκεῖνο ὑμᾶς ὦ ἄνδρες [g] Ἀθηναῖοι λανθανέτω, ὅτι τῶν αἰσχίστων ἐστὶ πάντας ἀνθρώπους ἰδεῖν καὶ ἀκοῦσαι τὰς μὲν συμφοράς, αἷς δι' [h] ὑμᾶς ἐχρήσαντο οἱ ἄνδρες οὗτοι, πάντα [i] τὸν χρόνον κυρίας αὐτοῖς γεγενημένας, τὰς δὲ δωρεάς, ἃς ἀντὶ τούτων ἔλαβον παρ' ὑμῶν, καὶ δὴ λελυ-
74 μένας. πολὺ γὰρ μᾶλλον ἥρμοττε τὰ δοθέντα ἐῶντας τῶν ἀτυχημάτων ἀφαιρεῖν, ἢ τούτων μενόντων τὰς δωρεὰς ἀφαιρεῖσθαι. φέρε γὰρ πρὸς Διός, τίς ἔστιν ὅστις εὖ 477
ποιεῖν ὑμᾶς [k] βουλήσεται μέλλων, ἂν [l] μὲν ἀποτύχῃ, παραχρῆμα δίκην δώσειν τοῖς ἐχθροῖς, ἂν δὲ [m] κατορθώσῃ, τὰς χάριτας παρ' ὑμῶν ἀπίστους ἕξειν;
75 Πάνυ τοίνυν ἀχθοίμην ἄν, ὦ ἄνδρες δικασταί, εἰ τοῦτο μόνον [n] δόξαιμι δίκαιον κατηγορεῖν τοῦ νόμου, ὅτι πολλοὺς ξένους εὐεργέτας ἀφαιρεῖται τὴν ἀτέλειαν, τῶν δὲ πολιτῶν μηδὲν ἄξιον [o] δοκοίην ἔχειν δεῖξαι τῶν εὑρημένων ταύτην τὴν τιμήν. [p] καὶ γὰρ τἆλλα ἀγαθὰ εὐξαίμην ἂν ἔγωγε παρ' ἡμῖν εἶναι πλεῖστα, καὶ ἄνδρας ἀρίστους καὶ [q] πλείστους εὐεργέτας τῆς πόλεως [r] πολίτας εἶναι.
76 πρῶτον μὲν τοίνυν Κόνωνα σκοπεῖτε, εἰ ἄρ' ἄξιον καταμεμψαμένους ἢ τὸν ἄνδρα ἢ τὰ πεπραγμένα [s] αὐτῷ ἄκυρόν τι ποιῆσαι τῶν ἐκείνῳ δοθέντων. οὗτος [t] γάρ, ὡς ὑμῶν

[d] ὑμᾶς ante τι ponit k.
[e] ὅτι τοὺς] ὡς τοὺς k. ὅσους S.
[f] ἐκεῖνο] ἐκεῖνό γε F. t. v.
[g] Ἀθηναῖοι] δικασταί correctus S.
[h] ὑμᾶς] ἡμᾶς k.
[i] τὸν ante πάντα ponit r. om. s.
[k] βουλήσεται] εὖ βουλήσεται s.
[l] μὲν om. k. ante ἂν ponit s.
[m] κατορθώσῃ] κατορθώσειν s.
[n] δόξαιμι] δείξαιμι s. v.
[o] δοκοίην post δεῖξαι ponit k.
[p] καὶ γὰρ] καὶ γὰρ καὶ F. k. t. v.
[q] πλείστους] πιστους S.
[r] πολίτας] πολιτείας s.
[s] αὐτῷ om. S. Y. O. k. r. s.
[t] γάρ] γὰρ ἀνὴρ F. k. s. t. v.

τινῶν ἔστιν ἀκοῦσαι τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν ὄντων, μετὰ τὴν τοῦ δήμου κάθοδον τὴν ἐκ [u] Πειραιῶς ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης καὶ ναῶν οὐδεμίαν κεκτημένης, στρατηγῶν βασιλεῖ, [x] παρ' [y] ὑμῶν οὐδ' ἡντινοῦν ἀφορμὴν λαβών, κατεναυμάχησε Λακεδαιμονίους, καὶ [z] πρότερον τοῖς ἄλλοις ἐπιτάττοντας εἴθισεν ἀκούειν ὑμῶν, καὶ τοὺς ἁρμοστὰς ἐξήλασεν ἐκ τῶν νήσων, καὶ μετὰ ταῦτα δεῦρ' ἐλθὼν ἀνέστησε τὰ [a] τείχη, καὶ πρῶτος πάλιν περὶ τῆς ἡγεμονίας ἐποίησε τῇ πόλει τὸν λόγον πρὸς Λακεδαιμο-
77 νίους εἶναι. καὶ γάρ τοι μόνῳ [b] τῶν πάντων αὐτῷ τοῦτ' ἐν τῇ στηλῇ γέγραπται· ἐπειδὴ Κόνων, φησίν, ἠλευθέρωσε τοὺς Ἀθηναίων συμμάχους. ἔστι δὲ τοῦτο τὸ γράμμα ὦ ἄνδρες δικασταὶ ἐκείνῳ μὲν φιλοτιμία πρὸς ὑμᾶς αὐτούς, ὑμῖν δὲ πρὸς [c] πάντας τοὺς Ἕλληνας· ὅτου γὰρ ἄν 478
τις παρ' [d] ἡμῶν ἀγαθοῦ τοῖς ἄλλοις αἴτιος γένηται, τούτου
78 τὴν δόξαν τὸ τῆς πόλεως ὄνομα καρπῶται. διόπερ οὐ μόνον αὐτῷ τὴν ἀτέλειαν ἔδωκαν οἱ τότε, ἀλλὰ καὶ χαλκῆν εἰκόνα ὥσπερ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔστησαν πρώτου· ἡγοῦντο γὰρ οὐ μικρὰν τυραννίδα καὶ τοῦτον, τὴν Λακεδαιμονίων ἀρχὴν καταλύσαντα, πεπαυκέναι. ἵν' οὖν μᾶλλον οἷς λέγω προσέχητε, τὰ ψηφίσματ' ὑμῖν αὐτ'
[e] ἀναγνώσεται τὰ τότε ψηφισθέντα τῷ Κόνωνι. [f] Λέγε.

ΨΗΦΙΣΜΑΤΑ.

79 Οὐ τοίνυν [g] ὑφ' ὑμῶν μόνον ὁ Κόνων ὦ ἄνδρες Ἀθηναῖοι [h] τότ' [i] ἐτιμήθη, πράξας ἃ διεξῆλθον ἐγώ, ἀλλὰ καὶ

[u] Πειραιῶς] τοῦ πειραιῶς F. t. v.
[x] παρ' om. pr. S. καὶ rec. S.
[y] ὑμῶν] ἡμῶν k.
[z] πρότερον] vulg. τοὺς πρότερον.
[a] τείχη] χεῖλη s.
[b] τῶν om. k.
[c] πάντας] ἅπαντας F. t. v.
[d] ἡμῶν] ὑμῶν v.
[e] ἀναγνώσεται] ἀνάγνωτε O.
[f] Λέγε om. v.
[g] ὑφ' ὑμῶν μόνον] μόνον ὑφ' ἡμῶν k. ὑφ' ὑμῶν μόνων F. ὑφ' ὑμῶν μόνων v.
[h] τότ' om. k.
[i] ἐτιμήθη] ἐτετιμήθη F. S. Y. r. t. v.

ὑπ' ἄλλων πολλῶν, οἱ δικαίως ὧν [k] εὐεργέτητο χάριν ἤοντο δεῖν ἀποδιδόναι. οὐκοῦν αἰσχρόν, ὦ ἄνδρες Ἀθη- 15
ναῖοι, εἰ αἱ μὲν παρὰ τοῖς ἄλλοις δωρεαὶ βέβαιοι μένουσιν αὐτῷ, τῆς δὲ παρ' [l] ὑμῶν μόνης [m] τοῦτ' ἀφαιρεθήσε-
80 ται. καὶ μὴν οὐδ' ἐκεῖνο καλόν, ζῶντα μὲν [n] αὐτὸν οὕτω τιμᾶν ὥστε τοσούτων ὅσων ἀκηκόατε ἀξιοῦν, ἐπειδὴ [o] δὲ
[p] τετελεύτηκε, μηδεμίαν ποιησαμένους [q] τούτων [r] μνείαν 20
ἀφελέσθαι τι τῶν δοθέντων τότε. πολλὰ μὲν γάρ ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι τῶν ὑπ' ἐκείνου πραχθέντων ἄξια ἐπαίνου, δι' ἃ πάντα προσήκει μὴ λύειν τὰς ἐπὶ τούτοις δοθείσας δωρεάς, κάλλιστον δὲ [s] πάντων ἡ τῶν τειχῶν ἀνά-
81 στασις. [t] γνοίη δ' ἄν τις, εἰ παραθείη πῶς [u] Θεμιστο- 25
κλῆς ὁ τῶν καθ' ἑαυτὸν [x] ἁπάντων ἀνδρῶν ἐνδοξότατος ταὐτὸ τοῦτ' ἐποίησεν. λέγεται τοίνυν ἐκεῖνος τειχίζειν εἰπὼν [y] τοῖς πολίταις, κἂν ἀφικνῆταί τις ἐκ Λακεδαίμονος, κατέχειν κελεύσας, οἴχεσθαι πρεσβεύων αὐτὸς ὡς 479
τοὺς Λακεδαιμονίους, λόγων [z] δὲ γιγνομένων ἐκεῖ, καί τινων ἀπαγγελλόντων ὡς Ἀθηναῖοι τειχίζουσιν, ἀρνεῖσθαι καὶ πρέσβεις πέμπειν [a] τοὺς σκεψομένους κελεύειν, ἐπειδὴ δ' οὐχ ἥκον οὗτοι, πέμπειν ἑτέρους παραινεῖν. καὶ 5
πάντες ἴσως ἀκηκόατε ὃν τρόπον ἐξαπατῆσαι λέγεται
82 [b] Λακεδαιμονίους. φημὶ τοίνυν ἐγώ (καὶ πρὸς Διός, [c] ὦ ἄνδρες Ἀθηναῖοι, μηδεὶς φθόνῳ τὸ μέλλον [d] ἀκούσῃ, ἀλλ',

[k] εὐεργέτητο] εὐεργέτητο F. εὐηργέτητο r. εὐεργέτην σαν O.
[l] ὑμῶν] ἡμῶν k.
[m] τοῦτο] τοῦ pr. k.
[n] αὐτὸν om. r.
[o] δὲ om. s.
[p] τετελεύτηκε] ἐτελεύτησε F. k. t. v.
[q] τούτων] τούτων μηδενὸς F. t. v.
[r] μνείαν ante τούτων ponit s.
[s] πάντων] ἁπάντων v.
[t] γνοίη] γνοίη k.
[u] Θεμιστοκλῆς] περικλῆς r.
[x] ἁπάντων ἀνδρῶν] ἀνδρῶν ἁπάντων k.
[y] τοῖς om. k.
[z] δὲ] δέ τινων t.
[a] τοὺς om. S. Y. O. s.
[b] Λακεδαιμονίους om. S. k.
[c] ὦ om. O. r. s.
[d] ἀκούσῃ] ἀκούσῃ ἂν r.

ἂν ἀληθὲς ᾖ, σκοπεῖτε), ὅσῳ τὸ φανερῶς τοῦ λάθρᾳ κρεῖττον καὶ τὸ νικῶντας τοῦ παρακρουσαμένους πράττειν ὅτιοῦν [c] ἐντιμότερον, [f] τοσούτῳ κάλλιον Κόνωνα τὰ τείχη στῆσαι Θεμιστοκλέους· ὁ μὲν γὰρ λαθών, ὁ δὲ νικήσας τοὺς [g] κωλύσοντας [h] αὖτ' ἐποίησεν. οὐ τοίνυν ἄξιον τὸν τοιοῦτον ὑφ' [i] ὑμῶν ἀδικηθῆναι, οὐδ' ἔλαττον [k] σχεῖν τῶν ῥητόρων τῶν [l] διδαξόντων ὡς [m] ἀφελέσθαι τι χρὴ τῶν ἐκείνῳ δοθέντων.

83 Εἶεν. ἀλλὰ νὴ Δία τὸν παῖδα [n] τὸν Χαβρίου [o] περιίδωμεν ἀφαιρεθέντα τὴν ἀτέλειαν, ἣν ὁ πατὴρ αὐτῷ δικαίως παρ' [p] ὑμῶν λαβὼν κατέλιπεν. ἀλλ' οὐδένα ἀνθρώπων εὖ [q] φρονοῦντ' οἶομαι ταῦτ' [r] ἂν φῆσαι καλῶς ἔχειν. ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ' ἐμοῦ λόγου ὅτι σπουδαῖος Χαβρίας ἦν ἀνήρ, οὐ μὴν κωλύει γ' οὐδὲν κἀμὲ διὰ βραχέων ἐπιμνησθῆναι τῶν πεπραγμένων αὐτῷ.

84 ὃν μὲν οὖν τρόπον ὑμᾶς ἔχων πρὸς ἅπαντας Πελοποννησίους παρεταξατο ἐν Θήβαις, καὶ ὡς [s] Γοργώπαν ἀπέκτεινεν ἐν Αἰγίνῃ, καὶ ὅσα ἐν Κύπρῳ τρόπαια ἔστησε καὶ μετὰ ταῦτ' ἐν Αἰγύπτῳ, καὶ ὅτι πᾶσαν [t] ἐπελθὼν ὀλίγου δεῖν λέγειν χώραν οὐδαμοῦ [u] τὸ τῆς πόλεως ὄνομ' οὐδ' αὐτὸν κατήσχυνεν, οὔτε πάνυ ῥᾴδιον κατὰ τὴν ἀξίαν εἰπεῖν, πολλή τ' αἰσχύνη λέγοντος ἐμοῦ ταῦτ' ἐλάττω φανῆναι τῆς ἐν ἑκάστῳ νῦν περὶ αὐτοῦ δοξης ὑπαρχούσης·

[c] ἐντιμότερον] ἐτιμότερον k.
[f] τοσούτῳ] τοσοῦτον t.
[g] κωλύσοντας] κωλύοντας r.
[h] αὖτ' ἐποίησεν S. Y. O. r. ἀντεποίησεν s. ταῦτ' ἐποίησεν k. ταυτὸ τοῦτο ἐποίησεν F. t. v.
[i] ὑμῶν] ἡμῶν k.
[k] σχεῖν] ἔχειν k.
[l] διδαξόντων] διδαξάντων ἡμᾶς F. t. διδαξάντων ἡμᾶς r.
[m] ἀφελέσθαι] ἀφαιρεῖσθαί k.
[n] τὸν Χαβρίου Y. O. k. r. s. v. vulg. τοῦ Χαβρίου.
[o] περιίδωμεν ἀφαιρεθέντα] περιίδων ἀφαιρεθέντων O.
[p] ὑμῶν] ἡμῶν k.
[q] φρονοῦντα] φρονοῦντας r.
[r] ἂν ante οἶμαι ponunt F. t. v.
[s] Γοργόπαν] γοργόπεν r.
[t] ἐπελθὼν] ἀπελθὼν s.
[u] τὸ τῆς] Hinc incipit alterum volumen v.

ἃ δ' οὐδαμῶς ἂν εἰπὼν οἶμαι μικρὰ ποιῆσαι, ταῦθ' ὑπο-
85 μνῆσαι πειράσομαι. ἐνίκησε μὲν τοίνυν [x] Λακεδαιμονίους ἐν
ναυμαχίᾳ καὶ πεντήκοντα μιᾶς [y] δεούσας ἔλαβεν αἰχ-
μαλώτους τριήρεις, εἶλε δὲ τῶν νήσων τούτων τὰς πολ-
λὰς καὶ παρέδωκεν [z] ὑμῖν καὶ [a] φιλίας ἐποίησεν ἐχθρῶς
ἐχούσας πρότερον, τρισχίλια δ' αἰχμάλωτα σώματα
δεῦρ' ἤγαγε, καὶ πλέον ἢ δέκα καὶ ἑκατὸν τάλαντ'
ἀπέφηνεν ἀπὸ τῶν πολεμίων. καὶ τούτων πάντων [b] ὑμῶν
86 τινές, οἱ [c] πρεσβύτατοι, μάρτυρές εἰσί μοι. πρὸς δὲ τού-
τοις ἄλλας τριήρεις πλέον ἢ εἴκοσιν εἶλε, κατὰ μίαν καὶ
δύο λαμβάνων, ἃς ἁπάσας εἰς τοὺς [d] ὑμετέρους λιμένας
κατήγαγεν. ἑνὶ δὲ κεφαλαίῳ, μόνος τῶν [e] πάντων στρα-
τηγῶν οὐ πόλιν, οὐ φρούριον, οὐ ναῦν, οὐ στρατιώτην ἀπώ-
λεσεν οὐδένα ἡγούμενος [f] ὑμῶν, οὐδ' ἔστιν οὐδενὶ τῶν ὑμε-
τέρων ἐχθρῶν τρόπαιον [g] οὐδὲν [h] ἀφ' [i] ὑμῶν κἀκείνου, ὑμῖν
87 [k] δ' ἀπὸ πολλῶν πολλὰ ἐκείνου στρατηγοῦντος. ἵνα δὲ
μὴ λέγων [l] παραλίπω τι [m] τῶν πεπραγμένων αὐτῷ, ἀνα-
γνώσεται γεγραμμένας ὑμῖν τάς τε ναῦς ὅσας ἔλαβε καὶ
οὗ ἑκάστην, καὶ τῶν πόλεων τὸν ἀριθμὸν καὶ τῶν χρημά-
των τὸ πλῆθος καὶ τῶν τροπαίων, οὗ ἕκαστον. Λέγε.

ΠΡΑΞΕΙΣ ΧΑΒΡΙΟΥ.

88 Δοκεῖ τισὶν [n] ὑμῶν, ὦ ἄνδρες [o] Ἀθηναῖοι, [p] οὗτος ὁ

[x] Λακεδ. ναυμ.] ναυμ. λακεδ. k.
[y] δεούσας] δεουσᾶς F. δεούσης k.r.
[z] ὑμῖν] ἡμῖν k.
[a] φιλίας S. vulg. φίλας.
[b] ὑμῶν τινὲς] τινὲς ὑμῶν k.
[c] πρεσβύτατοι] πρεσβύτατοι F.
[d] ὑμετέρους] ἡμετέρους k.
[e] πάντων] ἁπάντων F. t. v.
[f] ὑμῶν—ὑμετέρων—ὑμῶν] ἡμῶν —ἡμετέρων—ἡμῶν k.
[g] οὐδὲν om. t.
[h] ἀφ'] καθ' γρ. S.
[i] ὑμῶν] ὑμῶν τε F. k. t. v.
[k] δ' ἀπὸ k. t. v. δ' α πο S. δ' ἀπὸ F. δ' αὖ Y. O. r. s.
[l] παραλίπω τι] παραλείπω τι t.v. τι παραλίπω k.
[m] τῶν πεπραγμένων] πεπραγμένων r.
[n] ὑμῶν] ὑμῖν s.
[o] Ἀθηναῖοι] δικασταί O. s.
[p] οὗτος] οὑτοσὶ F. t. v.

τοσαύτας πόλεις λαβὼν καὶ τριήρεις τῶν πολεμίων ναυμαχίᾳ νικήσας καὶ τοσούτων καλῶν αἴτιος ὤν, αἰσχροῦ 481
δ' οὐδενὸς τῇ πόλει ἄξιος εἶναι [q] ἀποστερηθῆναι τὴν ἀτέλειαν, ἣν εὔρετο παρ' ὑμῶν καὶ τῷ υἱεῖ [r] κατέλιπεν; ἐγὼ μὲν [s] οὐκ οἶμαι. καὶ γὰρ ἂν ἄλογον εἴη· μίαν μὲν πόλιν [t] εἰ ἀπώλεσεν ἢ ναῦς δέκα μόνας, περὶ προδοσίας 5
ἂν αὐτὸν εἰσήγγελλον οὗτοι, καὶ [u] εἰ ἑάλω, τὸν ἅπαντ' 89
ἂν [x] ἀπολώλει χρόνον· ἐπειδὴ [y] δὲ τοὐναντίον ἑπταχαίδεκα [z] μὲν πόλεις [a] εἷλεν, ἑβδομήκοντα δὲ ναῦς ἔλαβε, τρισχιλίους δ' αἰχμαλώτους, δέκα δὲ καὶ ἑκατὸν τάλαντ' ἀπέφηνε, τοσαῦτα δ' ἔστησε τρόπαια, τηνικαῦτα 10
[b] δ' οὐκ ἔσται κύριˑ [c] αὐτῷ τὰ δοθέντα ἐπὶ τούτοις. καὶ μὴν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ζῶν πάνθ' ὑπὲρ ὑμῶν φανήσεται πράξας Χαβρίας, καὶ τὴν τελευτὴν αὐτὴν τοῦ βίου πεποιημένος οὐχ ὑπὲρ ἄλλου τινός, ὥστε δικαίως ἂν οὐ 15
μόνον διὰ τὰ ζῶντι πεπραγμένα φαίνοισθε εὐνοϊκῶς δια- 90
κείμενοι πρὸς τὸν υἱὸν αὐτῷ, ἀλλὰ καὶ διὰ ταύτην. ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο σκοπεῖν, ὅπως μὴ φανούμεθα φαυλότεροι Χίων περὶ τοὺς εὐεργέτας γεγενη- 20
μένοι. εἰ γὰρ ἐκεῖνοι μέν, [d] ἐφ' οὓς μεθ' ὅπλων ἦλθεν ἐν ἐχθροῦ τάξει, μηδὲν ὧν ἔδοσαν πρότερον νῦν ἀφῄρηνται, ἀλλὰ τὰς [e] παλαιὰς χάριτας μείζους τῶν [f] καινῶν ἐγκλημάτων πεποίηνται, ὑμεῖς δ', ὑπὲρ ὧν ἐπ' ἐκείνους [g] ἐλθὼν ἐτελεύτησεν, ἀντὶ τοῦ διὰ ταῦτ' ἔτι μᾶλλον [h] αὐ- 25

[q] ἀποστερηθῆναι] ἀφαιρεθῆναι k. et γρ. S.
[r] κατέλιπεν] κατέλειπεν S.
[s] οὐκ οἶμαι om. t.
[t] εἰ om. S. ante μίαν ponit r.
[u] εἰ ante ἑάλω om. S. r.
[x] ἀπολώλει] ἀπωλώλει F. Y. O. r. k. s. et correctus v.
[y] δὲ om. t.
[z] μὲν om. S.
[a] εἷλεν om. s.
[b] δ' ante οὐκ om. k.
[c] αὐτῷ post ἔσται ponit k.
[d] ἐφ' οὓς] ἐφ' οἷς O.
[e] παλαιὰς] πάλαι Y. k. r. s.
[f] καινῶν] κοινῶν t.
[g] ἐλθὼν] ἐπελθὼν r.
[h] αὐτὸν τιμᾷν] τιμᾷν αὐτὸν k.

τὸν τιμᾶν καὶ τῶν ἐπὶ ταῖς [l] πρότερον εὐεργεσίαις τι δο-
θέντων ἀφῃρημένοι φανήσεσθε, πῶς οὐκ εἰκότως αἰσχύνην
91 ἕξετε; καὶ μὴν [k] καὶ κατ' ἐκεῖνο ἀνάξι' ἂν εἴη πεπονθὼς
ὁ παῖς, εἰ τῆς δωρεᾶς ἀφαιρεθείη, καθ' ὃ πολλάκις [l] ὑμῶν 482
στρατηγήσαντος Χαβρίου οὐδενὸς πώποθ' υἱὸς ὀρφανὸς
δι' ἐκεῖνον ἐγένετο, αὐτὸς δ' ἐν ὀρφανίᾳ τέθραπται διὰ
τὴν πρὸς [m] ὑμᾶς φιλοτιμίαν τῶν πατρός. οὕτω γὰρ ὡς
ἀληθῶς ἔμοιγε φαίνεται βεβαίως πως [n] ἐκεῖνος [o] φιλό-
πολις, ὥστε δοκῶν καὶ [p] ὢν ἀσφαλέστατος στρατηγὸς
ἁπάντων ὑπὲρ μὲν ὑμῶν, ὁπόθ' [q] ἡγοῖτο, ἐχρῆτο τούτῳ,
ὑπὲρ [r] αὐτοῦ δέ, ἐπειδὴ τὸ καθ' αὑτὸν ἐτάχθη κινδυνεύειν,
παρεῖδε, καὶ μᾶλλον εἵλετο μὴ ζῆν ἢ καταισχῦναι τὰς
92 παρ' ὑμῶν [s] ὑπαρχούσας αὐτῷ τιμάς. εἶθ' ὑπὲρ ὧν ἐκεῖνος
ᾤετο δεῖν ἀποθνήσκειν ἢ νικᾶν, ταῦθ' ἡμεῖς ἀφελώμεθα
τὸν υἱὸν αὐτοῦ; καὶ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν
τὰ μὲν τρόπαια ἑστήκῃ δῆλα πᾶσιν ἀνθρώποις, ἃ ὑπὲρ
ὑμῶν στρατηγῶν ἐκεῖνος ἔστησε, τῶν δ' ἐπὶ τούτοις δω-
ρεῶν ἀφῃρημένον τι φαίνηται; οὐ σκέψεσθε, ὦ ἄνδρες
Ἀθηναῖοι, καὶ λογιεῖσθε ὅτι νῦν οὐχ ὁ νόμος κρίνεται,
πότερόν ἐστιν ἐπιτήδειος ἢ οὔ, ἀλλ' ὑμεῖς δοκιμάζεσθε,
εἴτ' ἐπιτήδειοι [t] πάσχειν ἐστὲ εὖ τὸν [u] λοιπὸν χρόνον εἴτε
μή;

Λαβὲ δὴ καὶ τὸ τῷ Χαβρίᾳ [x] ψήφισμα ψηφισθέν.
ὅρα δὴ καὶ σκόπει· δεῖ γὰρ [y] αὐτὸ ἐνταῦθ' εἶναί που.

[l] πρότερον] πρότερον [αἷς] F. προτέραις t. v.
[k] καὶ post μὴν om. s.
[l] ὑμῶν] ἡμῶν k.
[m] ὑμᾶς] ἡμᾶς k.
[n] ἐκεῖνος] ἐκεῖνο s.
[o] φιλόπολις] εἶναι φιλόπολις k. στρατηγὸς εἶναι φιλόπολις r. ἐγένετο φιλόπολις F. Y. O. s. t. v.
[p] ὢν] ὡς r.
[q] ἡγοῖτο] ἡγεῖτο t. v.
[r] αὐτοῦ] ἑαυτοῦ k. r.
[s] ὑπαρχ. αὐτῷ] αὐτῷ ὑπαρχ. r.
[t] πάσχειν ἐστὲ] ἐστε πάσχειν k.v.
[u] λοιπὸν] ἐπίλοιπον v.
[x] ψήφισμα ψηφισθέν] ψηφίσματι ψηφισθέν r. ψηφισθὲν ψήφισμα k.
[y] αὐτὸ] αὐτῷ r.

93 Ἐγὼ δ' ἔτι ταῦτ' εἰπεῖν ὑπὲρ Χαβρίου βούλομαι. ὑμεῖς, [a] ὦ ἄνδρες Ἀθηναῖοι, τιμῶντές ποτε Ἰφικράτην οὐ μόνον αὐτὸν ἐτιμήσατε, ἀλλὰ [a] καὶ δι' ἐκεῖνον Στράβακα καὶ [b] Πολύστρατον· καὶ πάλιν Τιμοθέῳ διδόντες τὴν δωρεὰν δι' ἐκεῖνον ἐδώκατε καὶ Κλεάρχῳ καὶ τισιν ἄλλοις πολιτείαν. Χαβρίας δ' αὐτὸς ἐτιμήθη παρ' ὑμῖν μόνος.
94 εἰ δή τοτε, ὃθ' εὑρίσκετο τὴν δωρεάν, ἠξίωσεν ὑμᾶς, ὥσπερ 483
δι' Ἰφικράτην καὶ Τιμόθεον εὖ τινὰς πεποιήκατε, οὕτω καὶ δι' αὐτὸν εὖ ποιῆσαι τούτων τινὰς τῶν εὑρημένων τὴν ἀτέλειαν, οὓς νῦν οὗτοι μεμφόμενοι πάντας ἀφαιρεῖσθαι κελεύουσιν ὁμοίως, οὐκ ἂν ἐδώκατε ταύτην αὐτῷ τὴν χάριν; ἔγωγε ἡγοῦμαι. εἶθ' οἷς δι' ἐκεῖνον ἂν τότ' [c] ἐδώκατε δωρεάν, διὰ τούτους νῦν αὐτὸν ἐκεῖνον ἀφαιρήσεσθε τὴν
95 ἀτέλειαν; ἀλλ' ἄλογον. οὐδὲ γὰρ ὑμῖν [d] ἁρμόττει [e] δοκεῖν παρὰ μὲν τὰς εὐεργεσίας οὕτω προχείρως ἔχειν, ὥστε μὴ μόνον αὐτοὺς τοὺς εὐεργέτας τιμᾶν ἀλλὰ καὶ τοὺς ἐκείνων φίλους, ἐπειδὰν δὲ χρόνος [f] διελθῇ βραχύς, καὶ ὅσα αὐτοῖς [g] δεδώκατε, ταῦτ' [h] ἀφαιρεῖσθαι.

ΨΗΦΙΣΜΑ [i] ΤΩΝ ΧΑΒΡΙΟΥ ΤΙΜΩΝ.

96 [k] Οὓς μὲν τοίνυν ἀδικήσετε, εἰ μὴ λύσετε τὸν νόμον, πρὸς πολλοῖς ἄλλοις, οὓς ἀκηκόατε, [l] εἰσίν, ὦ ἄνδρες [m] δικασταί. σκοπεῖτε [n] δὴ καὶ λογίσασθε [o] ἐν ὑμῖν αὐτοῖς, εἴ τινες τούτων τῶν τετελευτηκότων λάβοιεν τρόπῳ

[a] δ'] δ' S.
[a] καὶ ante δι' om. O. καὶ δι'— ὡς om. t.
[b] Πολύστρατον] Ὀλύστρατον Y. s. et γρ. F. Ὀλύστρατῳ O.
[c] ἐδώκατε δωρεὰν] ἐδώκατε τὴν δωρεάν. S. Y. O. k. r. ceteri ἐδώκατε τὴν δωρεάν.
[d] ἁρμόττει] ἁρμόττειν Y. O. k. s. t. v.
[e] δοκεῖν] δοκεῖ k. et correctus v.
[f] διέλθῃ] διέλθοι S. k.
[g] δεδώκατε] ἐδώκατε F.
[h] ἀφαιρεῖσθαι] ἀφαιρεῖσθε S. Y. O. k. r. s.
[i] ΤΩΝ ante ΧΑΒΡΙΟΥ om. F. Y. O. k. r. s.
[k] οὓς] οἷς F. k. t. v.
[l] εἰσὶ] εἰσὶν οὗτοι F. t. v.
[m] δικασταί om. ut solet, k.
[n] δὴ] δὲ F. t. v.
[o] ἐν] παρ' F. t. v.

τινὶ τοῦ [p] νυνὶ γιγνομένου πράγματος αἴσθησιν, [q] ὡς ἂν εἰκότως ἀγανακτήσειαν. εἰ γὰρ ὧν ἔργῳ πεποίηκεν ἕκαστος αὐτῶν ὑμᾶς εὖ, τούτων ἐκ λόγου κρίσις γίγνεται, καὶ τὰ καλῶς πραχθέν[θ]' ὑπ' ἐκείνων, [r] ἂν ὑφ' [s] ἡμῶν μὴ καλῶς ῥηθῇ τῷ λόγῳ, μάτην τοῖς πονήσασιν εἴργασται, πῶς οὐ δεινὰ πάσχουσιν;

97 Ἵνα τοίνυν [t] εἰδῆτε, ὦ ἄνδρες [u] Ἀθηναῖοι, ὅτι ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ποιούμεθα τοὺς λόγους πάντας, [x] ὅσους λέγομεν πρὸς ὑμᾶς, καὶ οὐδὲν ἔσθ' ὅ τι τοῦ παρακρούσασθαι καὶ φενακίσαι λέγεται παρ' [y] ἡμῶν [z] εἵνεκα, [a] ἀναγνώσεται τὸν νόμον ὑμῖν ὃν παρεισφέρομεν γράψαν- 484
98 τες ἀντὶ τοῦδε, ὃν οὐκ ἐπιτήδειον [b] εἶναί φαμεν. γνώσεσθε γὰρ ἐκ τούτου πρόνοιάν τινα ἔχοντας ἡμᾶς καὶ ὅπως ὑμεῖς μηδὲν αἰσχρὸν ποιῆσαι δόξετε, καὶ ὅπως, εἴ τινά τις καταμέμφεται τῶν εὑρημένων τὰς δωρεάς, ἂν δίκαιον ᾖ, κρίνας παρ' ὑμῖν ἀφαιρήσεται, καὶ ὅπως, [c] οὓς οὐδεὶς
99 ἂν ἀντείποι μὴ οὐ δεῖν ἔχειν, [d] ἕξουσι τὰ δεθέντα. καὶ τούτων πάντων οὐδέν [e] ἐστι καινὸν οὐδ' ἡμέτερον εὕρημα, ἀλλ' ὁ παλαιός, ὃν οὗτος παρέβη, νόμος οὕτω κελεύει νομοθετεῖν, γράφεσθαι μέν, ἄν τίς τινα τῶν ὑπαρχόντων νόμων μὴ καλῶς ἔχειν ἡγῆται, παρεισφέρειν δ' αὐτὸν ἄλλον, ὃν ἂν τιθῇ λύων ἐκεῖνον, ὑμᾶς δ' ἀκούσαντας ἐλέ-
100 σθαι τὸν κρείττω. οὐ γὰρ ᾤετο [f] δεῖν ὁ Σόλων, ὁ τοῦτον

[p] νυνὶ] νῦν t.
[q] ὡς] πῶς k. et γρ. F. S.
[r] ἂν ὑφ'] ἃ ὑφ' Y. r. s.
[s] ἡμῶν] ὑμῶν O. ὑμῶν F. Y. r s. t. v.
[t] εἰδῆτε om. r.
[u] Ἀθηναῖοι ὅτι ὡς om. s.
[x] ὅσους] οὓς S. Y. O. k. s.
[y] ἡμῶν] ὑμῶν O. t.
[z] εἵνεκα] ἕνεκα r.
[a] ἀναγνώσεται] ἀνάγνωτε O.
[b] εἶναί φαμεν] φαμεν εἶναι k.
[c] οὓς om. Y. O. s. t. v.
[d] ἕξουσι] ἐξουσίαν F. O. r. s. t. v. et pr. S.
[e] ἐστι καινὸν οὐδ' ἡμέτερον] ἔσθ' ἡμέτερον καινὸν F. k. ἔσθ' ἡμέτερον καινὸν οὐδ' S. Y. O. r. s. t. v.
[f] δεῖν om. S. Y. O. k. r. s.

τὸν τρόπον προστάξας νομοθετεῖν, τοὺς μὲν θεσμοθέτας τοὺς ἐπὶ τοὺς νόμους [g] κληρουμένους δ'ις δοκιμασθέντας ἄρχειν, ἔν τε τῇ βουλῇ καὶ παρ' [h] ὑμῖν ἐν τῷ δικαστηρίῳ, τοὺς δὲ νόμους αὐτούς, καθ' οὓς καὶ τούτοις ἄρχειν καὶ [i] πᾶσι τοῖς ἄλλοις πολιτεύεσθαι [k] προσήκει, ἐπὶ καιροῦ τεθέντας, ὅπως [l] ἔτυχον, μὴ δοκιμασθέντας κυρίους εἶναι. 101 καὶ γάρ τοι τότε μέν, τέως τὸν τρόπον τοῦτον ἐνομοθέτουν, τοῖς μὲν ὑπάρχουσι νόμοις ἐχρῶντο, καινοὺς δ' οὐκ ἐτίθεσαν· ἐπειδὴ [m] δὲ τῶν πολιτευομένων τινὲς δυνηθέντες, ὡς ἐγὼ πυνθάνομαι, κατεσκεύασαν αὑτοῖς ἐξεῖναι νομοθετεῖν, ὅταν τις βούληται καὶ ὃν ἂν τύχῃ τρόπον, [n] τοσοῦτοι μὲν οἱ ἐναντίοι σφίσιν αὐτοῖς εἰσὶ νόμοι, [o] ὥστε [p] χειροτονεῖθ' ὑμεῖς τοὺς [q] διαλέξοντας τοὺς ἐναντίους ἐπὶ πάμ- 102 πολυν ἤδη χρόνον, καὶ τὸ πρᾶγμα οὐδὲν μᾶλλον δύναται πέρας [r] σχεῖν, ψηφισμάτων δ' οὐδ' ὁτιοῦν διαφέρουσιν οἱ νόμοι, ἀλλὰ νεώτεροι οἱ νόμοι, καθ' οὓς τὰ ψηφίσματα δεῖ γράφεσθαι, τῶν ψηφισμάτων [s] αὐτῶν ὑμῖν εἰσίν. Ἵν' οὖν μὴ λόγον [t] λέγω μόνον, ἀλλὰ καὶ τὸν νόμον αὐτὸν ὃν φημι δείξω, λαβέ μοι τὸν νόμον καθ' ὃν ἦσαν οἱ [u] πρότερον νομοθέται. λέγε.

ΝΟΜΟΣ.

103 [x] Συνίεθ' [y] ὃν τρόπον, [z] ὦ ἄνδρες Ἀθηναῖοι, ὁ Σόλων τοὺς νόμους ὡς καλῶς κελεύει τιθέναι, πρῶτον μὲν παρ'

[g] κληρουμένους] κυρουμένους k.
[h] ὑμῖν] ὑμῶν F.
[i] πᾶσι om. k.
[k] προσήκει] προσῆκεν F. προσῆκεν t. v.
[l] ἔτυχον] ἔτυχεν F.S.v.
[m] δὲ post ἐπειδὴ om. s.
[n] τοσοῦτοι] τοσοῦτον Y. O. s.
[o] ὥστε—οἱ νόμοι om. s.
[p] χειροτονεῖθ'] ἐχειροτονεῖθ' Y.O.
[q] διαλέξοντας] διαλέξοντα t.
[r] σχεῖν] ἔχειν F. k. r.
[s] αὐτῶν om. Y. O. s.
[t] λέγω μόνον] μόνον λέγω k.
[u] πρότερον] πρότεροι k.
[x] συνίεθ'] σύνιστε k.
[y] ὃν] καθ' ὃν F.
[z] ὦ ἄνδρες Ἀθηναῖοι ante ὃν ponit t. ὦ ἀθηναῖοι k. eodem positu.

ὑμῖν, [a] [ἐν] τοῖς ὁμωμοκόσι, παρ' οἷσπερ καὶ τἆλλα κυροῦται, ἔπειτα λύοντα τοὺς ἐναντίους, ἵν' εἰς ἢ περὶ [b] τῶν ὄντων ἑκάστου νόμος καὶ μὴ τοὺς ἰδιώτας αὐτὸ τοῦτο ταράττῃ καὶ ποιῇ τῶν ἅπαντας εἰδότων τοὺς νόμους ἔλαττον ἔχειν, ἀλλὰ πᾶσιν ἧ [c] ταὐτὰ ἀναγνῶναι καὶ
104 μαθεῖν ἁπλᾶ καὶ σαφῆ τὰ δίκαια. καὶ πρὸ τούτων γ' ἐπέταξεν ἐκθεῖναι [d] πρόσθε τῶν ἐπωνύμων καὶ τῷ γραμματεῖ παραδοῦναι, τοῦτον δ' ἐν [e] ταῖς ἐκκλησίαις ἀναγιγνώσκειν, ἵν' ἕκαστος ὑμῶν ἀκούσας πολλάκις καὶ κατὰ σχολὴν σκεψάμενος, [f] ἂν ᾖ [g] καὶ δίκαια καὶ συμφέροντα, ταῦτα νομοθετῇ. τούτων τοίνυν τοσούτων [h] ὄντων δικαίων τὸ πλῆθος οὐτοσὶ μὲν οὐδ' ὁτιοῦν ἐποίησε Λεπτί-
105 νης· [i] οὐδὲ γὰρ ἂν ὑμεῖς ποτ' ἐπείσθητε, ὡς ἐγὼ νομίζω, θέσθαι τὸν νόμον· ἡμεῖς δ' ὦ ἄνδρες Ἀθηναῖοι πάντα, καὶ παρεισφέρομεν πολλῷ [k] καὶ [l] κρείττω καὶ δικαιότερον [m] τοῦ τούτου [n] νόμον. γνώσεσθε δὲ [o] ἀκούοντες. Λαβὲ καὶ λέγε [p] πρῶτον μὲν ἃ τούτου τοῦ νόμου γεγράμμεθα, εἶθ' 486
ἃ φαμεν δεῖν ἀντὶ τούτων τεθῆναι. [q] λέγε.

ΝΟΜΟΣ.

106 Ταῦτα μέν ἐστιν ἃ [r] τοῦ τούτου νόμου διώκομεν ὡς οὐκ ἐπιτήδεια. τὰ δ' [s] ἑξῆς λέγε, ἃ τούτων εἶναι βελτίω

[a] [ἐν] om. F. et correctus O.
[b] τῶν ὄντων ἑκάστου] ἑκάστου τῶν ὄντων s.
[c] ταὐτὰ] ταῦτ' F. O. s. t. v.
[d] πρόσθε F. S. Y. k. r. vulg. πρόσθεν.
[e] ταῖς om. s.
[f] ἂν Y. ἄν S. O. s. ceteri ἃ ἄν.
[g] καὶ post ᾖ om. F. k.
[h] ὄντων om. pr. F. post δικαίων ponunt t. v.
[i] οὐδὲ] οὐ F. k.
[k] καὶ post πολλῷ om. Y. O. r. s. t. v.
[l] κρείττω] κρεῖττον r.
[m] τοῦ τούτου Y. O. s. τούτου τοῦ S. k. τὸν τούτου r. τούτου F. t. v.
[n] νόμον] νόμου O.
[o] ἀκούοντες S. Y. O. ἀκούσαντες F. vulg. ἀκούσαντες.
[p] πρῶτον—τεθῆναι om. pr. k.
[q] λέγε om. k.
[r] τοῦ τούτου] τούτου F. τούτου τοῦ ceteri.
[s] ἑξῆς S. Y. O. k. r. s. vulg. ἐφεξῆς.

φαμέν. προσέχετε, [t] ὦ ἄνδρες δικασταί, τούτοις ἀναγιγνωσκομένοις τὸν νοῦν. λέγε.

ΝΟΜΟΣ.

Ἔπισχες. Τοῦτο μέν ἐστιν ἐν τοῖς [u] οὖσι νόμοις κυρίοις ὑπάρχον καλὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ σαφές, τὰς δωρεάς, [x] ὅσας ὁ δῆμος ἔδωκε, κυρίας εἶναι, [y] δίκαιον, ὦ γῆ
107 καὶ θεοί. [z] χρῆν τοίνυν Λεπτίνην μὴ πρότερον τιθέναι τὸν ἑαυτοῦ νόμον, πρὶν [a] τοῦτον ἔλυσε γραψάμενος. νῦν δὲ μαρτυρίαν καθ' ἑαυτῶ [b] καταλείπων ὅτι παρανομεῖ τοῦτο τὸν νόμον, ὅμως ἐνομοθέτει, καὶ ταῦθ' ἑτέρου κελεύοντος νόμου καὶ κατ' αὐτὸ τοῦτο ἔνοχον εἶναι τῇ γραφῇ, ἐὰν ἐναντίος ᾖ τοῖς πρότερον κειμένοις νόμοις. Λαβὲ δ' αὐτὸν τὸν νόμον.

ΝΟΜΟΣ.

108 Οὔκουν ἐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι, [c] τῷ κυρίας εἶναι τὰς δωρεὰς [d] ὅσας ὁ δῆμος ἔδωκε, τὸ μηδὲν εἶναι [e] ἀτελῆ τούτων οἷς ὁ δῆμος ἔδωκεν; σαφῶς [f] γ' οὐτωσί. ἀλλ' οὐκ ἐν ᾧ νῦν ὁδὶ ἀντεισφέρει νόμῳ, [g] ἀλλ' ἃ [h] τ' ἐδώκατε, κύρια, καὶ πρόφασις δικαία κατὰ τῶν ἢ παρακρουσαμένων ἢ μετὰ ταῦτ' ἀδικούντων ἢ ὅλως ἀναξίων, δι' ἣν [i] ὃν ἂν ὑμῖν δοκῇ κωλύσετ' ἔχειν τὴν δωρεάν. Λέγε τὸν νόμον.

ΝΟΜΟΣ. 487

109 Ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνετε ὅτι

[t] ὦ om. O. k. s. t. v.
[u] οὖσι νόμοις] νόμοις τούτοις r.
[x] ὅσας] ἃς F. t. v.
[y] δίκαιον om. pr. Y.
[z] χρῆν] ἐχρῆν k. χρὴ t.
[a] τοῦτον] τὸν παλαιὸν τοῦτον F. t. v.
[b] καταλείπων] καταλυτὸν k. r.
[c] τῷ] τὸ s.
[d] ὅσας] ἃς F. k. r. t. v.
[e] ἀτελῆ τούτων] τούτων ἀτελῆ F. v. τοῦτων ἀτελῆ t.
[f] γ' om. s.
[g] ἀλλ' ἃ] ἃ k. ἄλλα r.
[h] τ' ἐδώκατε S. Y. O. k. r. s. vulg. τε δεδώκατε.
[i] ὃν om. pr. k.

ἐνταῦθ' ἔνι καὶ τοὺς ἀξίους ἔχειν τὰ δοθέντα, καὶ [k] τοὺς μὴ τοιούτους κριθέντας, ἐὰν [l] ἀδίκως τι λάβωσιν, ἀφαιρεθῆναι, καὶ τὸ λοιπὸν ἐφ' ὑμῖν εἶναι πάνθ', ὥσπερ ἐστὶ δίκαιον, [m] καὶ δοῦναι καὶ μή. ὡς μὲν τοίνυν οὐχὶ καλῶς [n] οὗτος ἔχει καὶ δικαίως ὁ νόμος, οὔτ' ἐρεῖν οἶομαι Λεπτίνην οὔτ', ἐὰν λέγῃ, δεῖξαι δυνήσεσθαι· ἃ δὲ [o] πρὸς τοῖς θεσμοθέταις ἔλεγε, ταῦτ' ἴσως λέγων παράγειν ὑμᾶς ζητήσει. ἔφη γὰρ ἐξαπάτης [p] εἵνεκα παραγεγράφθαι τοῦτον τὸν νόμον, ἐὰν δ' ὃν αὐτὸς ἔθηκε λυθῇ, τοῦτον οὐ τεθήσεσθαι. ἐγὼ δ', ὅτι μὲν τῇ ὑμετέρᾳ ψήφῳ τούτου τοῦ νόμου λυθέντος τὸν παρεισενεχθέντα κύριον εἶναι σαφῶς ὁ παλαιὸς κελεύει νόμος, καθ' ὃν οἱ θεσμοθέται τοῦτον [q] ὑμῖν παρέγραψαν, ἐάσω, ἵνα μὴ περὶ τούτου τις ἀντιλέγῃ μοι. ἀλλ' ἐπ' ἐκεῖνο εἶμι. ὅταν ταῦτα λέγῃ δήπου, ὁμολογεῖ μὲν εἶναι βελτίω καὶ δικαιότερον τόνδε τὸν νόμον οὗ τέθεικεν αὐτός, ὑπὲρ δὲ τοῦ πῶς [r] τεθήσεται ποιεῖται τὸν λόγον. πρῶτον μὲν τοίνυν εἰσὶν αὐτῷ κατὰ τοῦ παρεισφέροντος πολλοὶ τρόποι, δι' ὧν, ἂν [s] μὴ [t] βούληται θεῖναι τὸν νόμον, αὐτὸν ἀναγκάσει· ἔπειτ' ἐγγυώμεθ' ἡμεῖς, ἐγώ, Φορμίων, [u] ἄλλον εἴ τινα βούλεται, θήσειν τὸν νόμον. ἔστι [x] δὲ δήπου νόμος [y] ὑμῖν, ἐάν τις ὑποσχόμενός τι τὸν δῆμον ἢ [z] βουλὴν ἢ δικαστήριον [a] ἐξαπατήσῃ, τὰ ἔσχατα πάσχειν. ἐγγυώμεθα, ὑπισχνούμεθα. οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γιγνέσθω. μήθ' ὑμεῖς

[k] τοὺς ante μὴ om. O.
[l] ἀδίκως] δι$^{\alpha\iota}$κως O.
[m] καὶ ante δοῦναι om. F. t. v.
[n] οὗτος om. k.
[o] πρὸς] τὰ πρὸς F. v.
[p] εἵνεκα] ἕνεκα k.
[q] ὑμῖν] ἡμῖν k. ἡμῖν F. Y. O. r. s. t. v.
[r] τεθήσεται] τεθείσεται O.
[s] μὴ om. S. Y. O. k. r. s.
[t] βούληται] βούλοιτο k.
[u] ἄλλον] μᾶλλον Y.
[x] δὲ om. r.
[y] ὑμῖν] ἡμῖν k.
[z] βουλὴν] τὴν βούλην k. r.
[a] ἐξαπατήσῃ] ἐξαπατήσειν Y. O. r. s.

ποιήσητε μηδεν [b]ἀνάξιον ὑμῶν αὐτῶν, μήτ', εἴ τις φαῦλός
ἐστι τῶν εὑρημένων τὴν δωρεάν, ἐχέτω, ἀλλ' ἰδιᾳ κατὰ 488
τόνδε κριθήτω τὸν νόμον. εἰ δὲ ταῦτα λόγους καὶ φλυα-
ρίας [c]εἶναι φήσει, ἐκεῖνό γ' οὐ λόγος· αὐτὸς [d]θέτω, καὶ
μὴ λεγέτω τοῦτο, ὡς οὐ θησομεν ἡμεῖς. κάλλιον δὲ δή-
που τὸν ὑφ' ὑμῶν κριθέντα [e]καλῶς ἔχειν νόμον εἰσφέρειν, 5
ἢ ὃν νῦν [f]ἀφ' ἑαυτῶ τιθησιν.

113 Ἐμοὶ δ' ὦ ἄνδρες Ἀθηναῖοι δοκεῖ Λεπτίνης (καί μοι
[g]πρὸς Διὸς μηδεν ὀργισθῆς· οὐδεν γὰρ φλαῦρον ἐρῶ σε)
ἢ οὐκ ἀνεγνωκέναι τοὺς Σόλωνος νόμους ἢ οὐ συνιέναι. εἰ
γὰρ ὁ μὲν Σόλων ἔθηκε νόμον ἐξεῖναι δοῦναι τὰ ἑαυτοῦ, 10
[h]ᾧ ἄν τις βούληται, ἐὰν μὴ παῖδες ὦσι γνήσιοι, οὐχ ἵν'
ἀποστερήσῃ τοὺς [i]ἐγγυτάτω γένει τῆς ἀγχιστείας, ἀλλ'
ἵν' εἰς τὸ μέσον καταθεὶς τὴν ὠφέλειαν ἐφάμιλλον ποιήσῃ
114 τὸ ποιεῖν [k]ἀλλήλους εὖ, σὺ δὲ τοὐναντίον εἰσενήνοχας μὴ 15
ἐξεῖναι τῷ δήμῳ τῶν αὐτοῦ δοῦναι μηδενὶ μηδέν, πῶς σέ
τις φήσει τοὺς Σόλωνος ἀνεγνωκέναι νόμους ἢ συνιέναι;
ὃς ἔρημον [l]ποιεῖς τὸν δῆμον τῶν φιλοτιμησομένων, προλέ-
γων καὶ δεικνὺς ὅτι τοῖς ἀγαθόν τι ποιοῦσιν οὐδ' ὁτιοῦν
115 ἔσται πλέον. καὶ μὴν κἀκεῖνος τῶν καλῶς δοκούντων 20
ἔχειν νόμων Σόλωνός ἐστι, μὴ λέγειν κακῶς τὸν τεθνεῶτα,
μηδ' ἂν [m]ὑπὸ τῶν ἐκείνου τις ἀκούῃ παίδων αὐτός· σὺ
δὲ ποιεῖς, οὐ λέγεις κακῶς [n]τοὺς τετελευτηκότας τῶν
εὐεργετῶν, τῷ δεῖνι μεμφόμενος [o]καὶ τὸν δεῖν' ἀνάξιον

[b] ἀνάξιον] ἄξιον s.
[c] εἶναι supra versum F.
[d] θέτω] δέτω O.
[e] καλῶς ἔχειν νόμον] ἔχειν νόμον καλῶς r.
[f] ἀφ' omnes: vulg. ἐφ'.
[g] πρὸς Διὸς om. S. Y.
[h] ᾧ] ὅτῳ F. t. v.
[i] ἐγγυτάτω S.Y.k.r.s. et γρ. F. vulg. ἐγγύτατα τῷ.
[k] ἀλλήλους] ἀλλήλοις r.
[l] ποιεῖς] ποιῇ k.
[m] ὑπὸ τῶν] ὑπὲ τοῦ r.
[n] τοὺς] τοῖς εἶ S.
[o] καὶ om. s.

εἶναι φάσκων, ὧν οὐδὲν ἐκείνοις προσῆκεν. ἆρ' οὐ πολὺ τοῦ Σόλωνος ἀποστατεῖς [p] τῇ γνώμῃ;

116 Πάνυ τοίνυν σπουδῇ τις [q] ἀπήγγειλέ μοι περὶ τοῦ μηδενὶ [r] δεῖν μηδὲν διδόναι, μηδ' ἂν ὁτιοῦν πράξῃ, τοιοῦτόν τι λέγειν αὐτοὺς παρεσκευάσθαι, ὡς ἄρ' οἱ Λακεδαιμόνιοι καλῶς πολιτευόμενοι καὶ [s] Θηβαῖοι οὐδενὶ τῶν παρ' ἑαυ- 489
τοῖς διδόασι [t] τοιαύτην οὐδεμίαν τιμήν· καίτοι [u] καὶ παρ'
117 [v] ἐκείνοις τινές εἰσιν ἴσως ἀγαθοί. ἐμοὶ [x] δὲ δοκοῦσιν, [y] ὦ ἄνδρες Ἀθηναῖοι, πάντες οἱ τοιοῦτοι λόγοι παροξυντικοὶ μὲν εἶναι πρὸς τὸ τὰς ἀτελείας ὑμᾶς ἀφελέσθαι πεῖσαι, οὐ μέντοι δίκαιοί γ' οὐδαμῇ. οὐ γὰρ ἀγνοῶ ταῦθ', ὅτι Θηβαῖοι καὶ Λακεδαιμόνιοι καὶ ἡμεῖς [z] οὔτε νόμοις οὔτ' ἔθεσι
118 χρώμεθα τοῖς αὐτοῖς οὔτε πολιτείᾳ. αὐτὸ γὰρ τοῦτο πρῶτον, ὃ νῦν οὗτοι ποιήσουσιν, ἐὰν ταῦτα λέγωσιν, οὐκ ἔξεστι ποιεῖν παρὰ τοῖς Λακεδαιμονίοις, τὰ τῶν Ἀθηναίων ἐπαινεῖν νόμιμα οὐδὲ τὰ τῶν δεινῶν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἃ τῇ παρ' ἐκείνοις πολιτείᾳ συμφέρει, [a] ταῦτ' ἐπαινεῖν ἀνάγκη καὶ ποιεῖν. εἶτα καὶ Λακεδαιμόνιοι τῶν μὲν [b] τοιούτων ἀφεστᾶσιν, ἄλλαι δέ τινες παρ' ἐκείνοις εἰσὶ τιμαί, ἃς ἀπεύξαιτ' ἂν [c] ἅπας ὁ δῆμος ἐνταυθοῖ γενέ-
119 σθαι. τίνες οὖν εἰσὶν αὗται; τὰς μὲν καθ' ἕκαστον ἐάσω, μίαν δ', ἣ συλλαβοῦσα τὰς ἄλλας ἔχει, δίειμι. ἐπειδάν τις [d] εἰς τὴν καλουμένην γερουσίαν ἐγκριθῇ παρασχὼν

[p] τῇ γνώμῃ] τῆς γνώμης γρ. S.

[q] ἀπήγγειλέ] ἀπήγγελλε F. Y. v. et correctus S. ἀπήγγειλε O. ἀπήγγελε s.

[r] δεῖν μηδὲν] δεῖ μὴ δὲ s.

[s] Θηβαῖοι] οἱ θηβαῖοι k.

[t] τοιαύτην οὐδεμίαν] οὐδεμίαν τοιαύτην k.

[u] καὶ om. Y. O. r. s.

[v] ἐκείνοις] ἐκείνους Y. O.

[x] δὲ] δὴ Y. O. k. r.

[y] ὦ om. k.

[z] οὔτε νόμοις οὔτε ἔθεσι] οὔτ' ἔθεσιν οὔτε νόμοις k. s.

[a] ταῦτ'] ταῦτ' ἢ Y. O. t. et rec. k.

[b] τοιούτων] τοιούτων ἐθῶν F. Y. O. r. s. t. v.

[c] ἅπας] vulg. ἅπαξ.

[d] εἰς om. pr. Y.

ἑαυτὸν εἶον χρή, δεσπότης ἐστὶ τῶν πολλῶν. ἐκεῖ μὲν γάρ ἐστι τῆς ἀρετῆς ἆθλον τῆς πολιτείας κυρίῳ γενέσθαι μετὰ τῶν ὁμοίων, παρὰ δ' [c]ἡμῖν ταύτης μὲν ὁ δῆμος κύριος, καὶ [f]ἀραὶ καὶ νόμοι καὶ φυλακαὶ ὅπως μηδεὶς ἄλλος κύριος γενήσεται, στέφανοι [g]δὲ καὶ ἀτέλειαι καὶ σιτήσεις καὶ τοιαῦτά ἐστιν, ὧν ἄν τις ἀνὴρ ἀγαθὸς ὢν [h]τύχοι. καὶ ταῦτ' ἀμφότερα ὀρθῶς ἔχει, καὶ τἀκεῖ καὶ τὰ παρ' ἡμῖν. διὰ τί; ὅτι τὰς [i]μὲν διὰ τῶν ὀλίγων πολιτείας τὸ πάντας ἔχειν ἴσον ἀλλήλοις τοὺς τῶν κοινῶν κυρίους ὁμονοεῖν ποιεῖ, τὴν δὲ τῶν δήμων ἐλευθερίαν ἡ τῶν ἀγαθῶν ἀνδρῶν ἀμιλλα, ἣν ἐπὶ ταῖς παρὰ τοῦ δήμου δωρεαῖς πρὸς ἑαυτοὺς ποιοῦνται, φυλάττει. καὶ μὴν περί [k]γε τοῦ μηδὲ Θηβαίους μηδένα τιμᾶν, ἐκεῖν' ἂν ἔχειν εἰπεῖν ἀληθὲς οἶμαι. μεῖζον, ὦ ἄνδρες Ἀθηναῖοι, Θηβαίοις [l]φρονοῦσιν ἐπ' ὠμότητι καὶ πονηρίᾳ, ἢ ὑμεῖς ἐπὶ φιλανθρωπίᾳ καὶ τῷ τὰ δίκαια [m]βούλεσθαι. μητ' οὖν ἐκεῖνοί ποτε παύσαιντο, εἰ ἀρ' εὔξασθαι δεῖ, τοὺς μὲν [n]ἑαυτοὺς ἀγαθόν τι ποιοῦντας μήτε τιμῶντες μήτε θαυμάζοντες, τοὺς δὲ συγγενεῖς (ἴστε γὰρ ὃν τρόπον [o]Ὀρχομενίους διέθηκαν) οὕτω μεταχειριζόμενοι, μηθ' ὑμεῖς τἀναντία [p]τούτοις τοὺς μὲν εὐεργέτας τιμῶντες, παρὰ δὲ τῶν πολιτῶν [q]λόγῳ μετὰ τῶν νόμων [r]τὰ δίκαια λαμβάνοντες. ἔλως δ' οἶμαι τότε δεῖν τοὺς ἑτέρων ἐπαινεῖν [s]νόμους καὶ ἔθη τοῖς [t]ὑμετέροις ἐπιτιμῶντας, ὅταν ἢ [u]δεῖξαι βέλτιον ἐκεί-

[c] ἡμῖν] ὑμῖν F. t. v.
[f] ἀραὶ] ἀρχαὶ F. Y. O. r. t. et γρ. k.
[g] δὲ] τε F. om. t.
[h] τύχοι] τύχῃ correctus v.
[i] μὲν] μὲν τῶν S. Y. O. r.
[k] γε τοῦ] τοῦ γε S. Y. O. k. r. s.
[l] φρονοῦσιν] ὦ φρονοῦσιν γρ. S.
[m] βούλεσθαι] βουλεύεσθαι s.
[n] ἑαυτοὺς] αὐτοὺς v.
[o] Ὀρχομενίους] ὀρχομενὸν S. Y. O.
[p] τούτοις] τούτων F.
[q] λόγῳ] λόγῳ O.
[r] τὰ δίκαια om. Y. O.
[s] νόμους] τρόπους S. Y. O. r. et γρ. F.
[t] ὑμετέροις] ὑμετέρους k. r.
[u] δεῖξαι βέλτιον] βέλτιον δεῖξαι Y. O. r.

νους πράττοντας [x] ὑμῶν. ὅτε δ' ὑμεῖς, καλῶς ποιοῦντες, καὶ κατὰ τὰς κοινὰς πράξεις καὶ κατὰ τὴν ὁμόνοιαν καὶ κατὰ τἆλλα πάντα ἄμεινον ἐκείνων πράττετε, τοῦ χάριν ἂν τῶν ὑμετέρων [y] αὐτῶν ἐθῶν ὀλιγωροῦντες ἐκεῖνα [z] διώκοιτε; εἰ γὰρ καὶ κατὰ [a] τὸν [b] λογισμὸν ἐκεῖνα φανείη βελτίω, τῆς γε τύχης ἕνεκα, ἣ παρὰ ταῦτ' ἀγαθὴ κέ-
123 χρησθε, ἐπὶ τούτων ἄξιον μεῖναι. εἰ δὲ δεῖ παρὰ [c] πάντα ταῦτ' εἰπεῖν, ὃ δίκαιον ἡγοῦμαι, [d] ἐκεῖν' ἂν ἔγωγ' εἴποιμι. οὐκ ἔστι δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Λακεδαιμονίων νόμους οὐδὲ τοὺς Θηβαίων λέγειν ἐπὶ τῷ τοὺς ἐνθάδε λυμαίνεσθαι, οὐδὲ δι' ὧν μὲν ἐκεῖνοι μεγάλοι [τῆς ὀλιγαρχίας καὶ δεσποτείας] εἰσί, κἂν ἀποκτεῖναι [e] βούλεσθαι τὸν παρ' [f] ἡμῖν τούτων τι κατασκευάσαντα, [g] διὰ δ' ὧν ὁ παρ' [h] ἡμῖν δῆμος εὐδαίμων, ταῦθ' ὡς [i] ἀνελεῖν δεῖ λεγόντων τινῶν ἐθέλειν ἀκούειν.

124 [k] Ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' 491
ἡμῖν ἐπὶ τῶν προγόνων πόλλ' ἀγάθ' εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς [l] ἔτυχον· καὶ ἴσως τοῦθ' ὑμῖν ἀναγνώσεται τὸ ἐπίγραμμα. ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον ὦ ἄνδρες Ἀθηναῖοι κατὰ πόλλ' ἀσύμφορον εἶναι τῇ πόλει λέ-
125 γεσθαι, πρὸς δὲ καὶ [m] οὐ δίκαιον. εἰ μὲν γὰρ ἀναξίους εἶναί τις φήσει κἀκείνους τιμᾶσθαι, τίς ἄξιος, εἰπάτω,

[x] ὑμῶν] ἡμῶν k.
[y] αὐτῶν ἐθῶν] ἐθῶν αὐτῶν r.
[z] διώκοιτε] διώκετε v.
[a] τὸν om. s.
[b] λογισμὸν] lacuna in pr. S.
[c] πάντα ταῦτ'] ταῦτα πάντα k.
[d] ἐκεῖν' ἂν ἔγωγ' εἴποιμι S.Y.k.s. ἐκεῖνα ἂν ἔγωγ' εἴποιμι O. ἐκεῖνο ἔγωγ' ἂν εἴποιμι F. t. v. ἐκεῖνό γε ἂν εἴποιμι ἔγωγε r.
[e] βούλεσθαι] βούλεσθε r. βούλησθε k.
[f] ἡμῖν] ὑμῖν k. ἡμῶν S. Y.
[g] διὰ δ' ὧν] δι' ὧν δ' correctus O.
[h] ἡμῖν] ὑμῖν k. ἡμῶν O.
[i] ἀνελεῖν] ἂν ἑλεῖν r.
[k] Ἔστι] ἔτι s.
[l] ἔτυχον] ἐτύγχανον F. t. v.
[m] οὐ] οὐδὲ S. Y. r. t. v.

εἰ μήτε τῶν [n] πρότερον μηδεὶς μήτε τῶν [o] ὕστερον· εἰ δὲ μηδένα φήσει, συναχθεσθείην [p] ἂν ἔγωγε [q] τῇ πόλει, εἰ μηδεὶς ἐν ἅπαντι τῷ χρόνῳ γέγονεν ἄξιος εὖ παθεῖν. καὶ μὴν εἴγε ὁμολογῶν ἐκείνους εἶναι σπουδαίους μὴ τετυχηκότας [r] δειξει μηδενός, τῆς πόλεως ὡς ἀχαρίστου δήπου κατηγορεῖ. ἔστι δ' οὐχ οὕτω ταῦτ' ἔχοντα, οὐδ' ὀλίγου δεῖν. ἀλλ' ἐπειδάν τις, οἶμαι, κακουργῶν [s] ἐπὶ μὴ προσήκοντα πράγματα τοὺς λόγους μεταφέρῃ, δυσχερεῖς ἀνάγκη
126 [t] φαίνεσθαι. ὡς δὲ ταληθὲς [u] τ' ἔχει καὶ δικαιόν ἐστι λέγειν, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. ἦσαν ὦ ἄνδρες Ἀθηναῖοι πολλοὶ τῶν πρότερον σπουδαῖοι, καὶ ἡ πόλις ἡμῶν ἐτίμα καὶ τότε τοὺς ἀγαθούς· αἱ μέντοι τιμαὶ καὶ τἆλλα πάντα τὰ μὲν τότ' ἦν ἐπὶ τοῖς τότ' ἔθεσι, τὰ δὲ νῦν ἐπὶ τοῖς νῦν. πρὸς οὖν τί τοῦτο λέγω; ὅτι φήσαιμ' ἂν ἔγωγ' ἐκείνους οὐκ ἔστιν ὅτου παρὰ τῆς πόλεως οὐ τυχεῖν, ὧν [x] ἠβουλή-
127 θησαν. τίνι χρώμενος τεκμηρίῳ; ὅτι Λυσιμάχῳ δωρεάν, ἐνι τῶν τότε χρησίμων, ἑκατὸν μὲν ἐν Εὐβοίᾳ πλέθρα γῆς πεφυτευμένης ἔδοσαν, ἑκατὸν δὲ ψιλῆς, ἔτι δ' ἀργυρίου [y] μνᾶς ἑκατόν, καὶ τέτταρας τῆς ἡμέρας δραχμάς. καὶ τούτων [z] ψήφισμα ἔστιν Ἀλκιβιάδου, ἐν ᾧ ταῦτα γέ- 492
γραπται. τότε μὲν γὰρ ἡ πόλις ἡμῶν καὶ γῆς εὐπόρει καὶ χρημάτων, νῦν δ' εὐπορήσει· δεῖ γὰρ οὕτω λέγειν καὶ μὴ βλασφημεῖν. καίτοι τίν' οὐκ ἂν οἴεσθε νῦν τὸ τρίτον μέρος τούτων ἀντὶ τῆς ἀτελείας ἑλέσθαι; [a] Ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι τὸ ψήφισμα τουτί. [b] λέγε.

[n] πρότερον] πρωτέρων S. O. k. r. s.
[o] ὕστερον] ὑστέρων S. O. k. s.
[p] ἂν om. S.
[q] τῇ πόλει om. t.
[r] δειξει] δείξῃ k. s.
[s] ἐπὶ] ἐπὶ τὰ r.
[t] φαίνεσθαι] φέρεσθαι r.
[u] τ' om. F. r. t.
[x] ἠβουλήθησαν] ἐβουλήθησαν v.
[y] μνᾶς ἑκατὸν] ἑκατὸν μνᾶς r.
[z] ψήφισμα] τῶν ψηφισμάτων r.
[a] Ὅτι—λέγω om. k. ταῦτ' om. Y. O. r. s.
[b] λέγε om. S. Y. O. k. r. s.

ΨΗΦΙΣΜΑ.

128 Ὅτι μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ τοῖς προγόνοις
[c] ὑμῶν ἔθος ἦν τοὺς χρηστοὺς τιμᾶν, δηλοῖ τὸ ψήφισμα
τουτί· εἰ δὲ μὴ τοῖς αὐτοῖς [d] οἵσπερ [e] ἡμεῖς νῦν, ἕτερόν τι
τοῦτ' ἂν εἴη. εἰ τοίνυν μήτε Λυσίμαχον μήτ' ἄλλον μη-
δένα μηδὲν εὑρῆσθαι παρὰ τῶν προγόνων ἡμῶν συγχωρή-
σαιμεν, τί μᾶλλον, οἷς ἔδομεν νῦν ἡμεῖς, διὰ τοῦτο δικαίως
129 ἂν ἀφαιρεθεῖεν; οὐ γὰρ οἱ μὴ δόντες ἃ μὴ δοκεῖ δεινόν
εἰσιν οὐδὲν εἰργασμένοι, ἀλλ' οἱ δόντες [f] μέν, πάλιν δ'
ὕστερον μηδὲν ἐγκαλοῦντες ἀφαιρούμενοι. εἰ μὲν γάρ τις
[g] ἔχει δεῖξαι κἀκείνους ὧν ἔδοσάν τῷ τι τοῦτ' ἀφῃρημένους,
συγχωρῶ καὶ [h] ὑμᾶς ταὐτὸ τοῦτο ποιῆσαι, [i] καίτοι τό γ'
αἰσχρὸν ὁμοίως· εἰ δὲ [k] μηδ' ἂν εἷς ἐν ἅπαντι τῷ χρόνῳ
τοῦτ' [l] ἔχοι δεῖξαι γεγονός, τίνος [m] εἵνεκ' ἐφ' ἡμῶν [n] πρῶ-
τον [o] καταδειχθῇ τοιοῦτον ἔργον;
130 Χρὴ τοίνυν [p] ὦ ἄνδρες Ἀθηναῖοι κἀκεῖνο ἐνθυμεῖσθαι καὶ
ὁρᾶν, ὅτι νῦν ὁμωμοκότες κατὰ τοὺς νόμους [q] δικάσειν
ἥκετε, οὐχὶ τοὺς Λακεδαιμονίων οὐδὲ [r] Θηβαίων, οὐδ' οἷς
ποτ' ἐχρήσανθ' οἱ πρῶτοι τῶν προγόνων, ἀλλὰ καθ' οὓς
ἔλαβον τὰς ἀτελείας οὓς ἀφαιρεῖται νῦν οὗτος τῷ νόμῳ,
καὶ περὶ ὧν ἂν [s] νόμοι μὴ ὦσι, γνώμῃ τῇ δικαιοτάτῃ 493
[t] κρινεῖν. καλῶς. τὸ τοίνυν τῆς γνώμης πρὸς ἅπαντα
131 ἀνενέγκατε τὸν νόμον. [u] ἆρ' οὖν δίκαιον, ὦ ἄνδρες Ἀθη-

[c] ὑμῶν ἔθος] ἡμῶν ἔθος k. om. O.
[d] οἵσπερ] ὥσπερ Y. O.
[e] ἡμεῖς] ἡμεῖς F.
[f] μὲν—ὕστερον] μὴ—ὑπὲρ r.
[g] ἔχει] ἔχοι k.
[h] ὑμᾶς] ἡμᾶς S.k. ἡμᾶς Y.O.r.s.
[i] καίτοι τό γ'] καὶ τοιοῦτό γ' S.
[k] μηδ' ἂν εἷς S.k.s. vulg. μηδεὶς.
[l] ἔχοι] ἔχει t. v.
[m] εἵνεκ' ἐφ'] εἵνεχ' ἐφ' k.
[n] πρῶτον] πρώτων k. s. t. v.
[o] καταδειχθῇ S. Y. O. r. vulg. καταδειχθείη.
[p] ὦ ἄνδρες Ἀθηναῖοι om. k.
[q] δικάσειν om. O.
[r] Θηβαίων] τῶν θηβαίων s. τοὺς θηβαίων F. t. v.
[s] νόμοι] οἱ νόμοι s.
[t] κρινεῖν] κρίνειν Y. O. s. t.
[u] ἆρ' οὖν] ἆρ' οὐ k.r.s. et γρ. S.

ναῖοι, τοὺς εὐεργέτας τιμᾶν; δίκαιον. τί [x] δαί, ὅσ' ἂν δῷ τις ἅπαξ, δίκαιον ἔχειν ἐᾶν; δίκαιον. ταῦτα τοίνυν [5] αὐτοί τε ποιεῖτε, [y] ἵν' εὐορκῆτε, καὶ τοὺς προγόνους ὀργίζεσθε ἐὰν μή τις φῇ ποιεῖν, καὶ τοὺς τὰ τοιαῦτα λέγοντας παραδείγματα, ὡς ἄρ' ἐκεῖνοι μεγάλα εὖ παθόντες οὐδὲν ἐτίμησαν, καὶ πονηροὺς καὶ ἀπαιδεύτους ἡγεῖσθε εἶναι, πονηροὺς μὲν διότι [z] καταψεύδονται τῶν προγόνων [10] [a] ὑμῶν ὡς ἀχαρίστων, ἀμαθεῖς δὲ διότι ἐκεῖνο ἀγνοοῦσιν, [b] ὅτι εἰ τὰ μάλιστα ταὔθ' οὕτως εἶχεν, ἀρνεῖσθαι μᾶλλον ἢ λέγειν αὐτοῖς προσῆκεν.

132 Οἶμαι τοίνυν καὶ τοῦτον τὸν λόγον Λεπτίνην ἐρεῖν, ὡς τὰς εἰκόνας καὶ τὴν [c] σίτησιν οὐκ ἀφαιρεῖται τῶν εἰλη- [15] φότων ὁ νόμος, οὐδὲ [d] τῆς πόλεως τὸ τιμᾶν τοὺς ὄντας ἀξίους, ἀλλ' [e] ἔσται [f] καὶ χαλκοῦς ἱστάναι καὶ σίτησιν 133 διδόναι καὶ ἄλλ' ὅ τι ἂν βούλησθε, πλὴν τούτου. ἐγὼ δ' ὑπὲρ ὧν [g] μὲν τῇ πόλει [h] καταλείπειν [i] φησει, [k] τοσοῦτο λέγω, [l] ὅτι ἄν, ὧν ἐδωκατέ τῳ πρότερόν τι, ταῦτ' ἀφέλησθε, [20] καὶ τὰς ὑπολοίπους ἀπίστους [m] ποιήσετε πάσας δωρεάς. τί γὰρ ἔσται πιστότερον, τὸ τῆς εἰκόνος ἢ [n] τὸ τῆς σιτήσεως ἢ τὸ τῆς ἀτελείας, ἣν πρότερόν τισι δόντες ἀφῃρημένοι φα- 134 νεῖσθε; ἔτι δ' εἰ μηδὲν ἔμελλε τοῦτ' ἔσεσθαι δυσχερές, [25] οὐδ' ἐκεῖνο καλῶς ἔχειν ἡγοῦμαι, εἰς τοιαύτην [o] ἄγειν ἀνάγκην τὴν πόλιν, δι' [p] ἧς ἅπαντας ἐξ ἴσου τῶν αὐτῶν

[x] δαί] δὲ F.t.v. δ' S.Y.O.k.r.s.

[y] ἵν' εὐορκῆτε] εὐορκεῖτε Y. εἰ εὐορκεῖτε O. v.

[z] καταψεύδονται] καὶ ψεύδονται s.

[a] ὑμῶν] ἡμῶν k. s.

[b] ὅτι] διὰ ὅτι F.

[c] σίτησιν] σίτισιν k. σίτισιν O.

[d] τῆς] τὸ τῆς F.

[e] ἔσται S. O. ἐξέσται ἔσται r. vulg. ἐξέσται.

[f] καὶ ante χαλκοῦς om. S.Y.O. k. r. s.

[g] μὲν om. k. s.

[h] καταλείπειν] καταλιπεῖν F. Y. O. r. t. v.

[i] φήσει] φησὶ k. r. s.

[k] τοσοῦτο] τοσοῦτον F. t. v.

[l] ὅτι] ὅτ' S. Y. O. k. r. s.

[m] ποιήσετε] ποιήσητε k.

[n] τὸ ante τῆς σιτήσεως om. k.s.

[o] ἄγειν ἀνάγκην] ἀνάγκην ἄγειν k. s.

[p] ἧς] vulg. ἧς ἡ.

[q] ἀξιώσει τοῖς τὰ μέγιστ' εὐεργετοῦσιν, ἢ μὴ τοῦτο ποιοῦσα χάριν τισὶν οὐκ ἀποδώσει. μεγάλων μὲν οὖν εὐεργεσιῶν οὔθ' [r] ἡμῖν συμφέρει συμβαίνειν πολλάκις καιρὸν 494
135 οὔτ' ἴσως [s] ῥᾴδιον αἰτίῳ γενέσθαι· μετρίων δὲ καὶ [t] ὧν ἐν εἰρήνῃ τις καὶ πολιτείᾳ δύναιτ' ἂν ἐφικέσθαι, εὐνοίας, δικαιοσύνης, ἐπιμελείας, τῶν τοιούτων, καὶ συμφέρειν ἔμοιγε δοκεῖ καὶ χρῆναι διδόναι τὰς τιμάς. δεῖ τοίνυν μεμερί- 5
σθαι καὶ τὰ τῶν δωρεῶν, ἵν' ἧς ἂν ἄξιος ὢν ἕκαστος φαίνηται, ταύτην παρὰ τοῦ δήμου [u] λαμβάνῃ τὴν δωρεάν.
136 ἀλλὰ μὴν ὑπὲρ ὧν γε τοῖς εὑρημένοις τὰς τιμὰς [x] καταλείπειν [y] φήσει, οἱ μὲν ἁπλᾶ πάνυ καὶ δίκαι' ἂν εἴποιεν, πάνθ', ὅσα τῶν αὐτῶν ἕνεκ' αὐτοῖς ἔδοτ' εὐεργεσιῶν, ἀξι- 10
οῦντες ἔχειν, οἱ δὲ φενακίζειν [z] τὸν ὡς [a] καταλείπεται
137 [b] λέγοντά τι αὐτοῖς. ὁ γὰρ ἄξια τῆς ἀτελείας εὖ πεποιηκέναι δόξας καὶ ταύτην παρ' [c] ὑμῶν λαβὼν τὴν τιμὴν μόνην, ἢ ξένος ἢ καί τις πολίτης, ἐπειδὰν ἀφαιρεθῇ 15
ταύτην, τίν' ἔχει λοιπὴν δωρεάν, [d] Λεπτίνη; οὐδεμίαν [e] δῆπου. μὴ τοίνυν διὰ μὲν τοῦ [f] τῶνδε κατηγορεῖν ὡς φαύλων ἐκείνους ἀφαιροῦ, δι' ἃ δ' αὖ [g] καταλείπειν ἐκείνοις
138 φήσεις, τούσδε, ὃ μόνον λαβόντες ἔχουσι, τοῦτ' ἀφέλῃ. ὡς [h] δ' ἁπλῶς εἰπεῖν, οὐκ εἰ τῶν πάντων ἀδικήσομέν τινα 20
[i] μείζονα ἢ ἐλάττονα, δεινόν ἐστιν, ἀλλ' [k] εἰ τὰς τιμάς, αἷς [l] ἂν [m] ἀντευποιήσωμέν τινας, ἀπίστους καταστήσομεν·

[q] ἀξιώσει] ἀξιώσοι k.
[r] ἡμῖν] ὑμῖν k.
[s] ῥᾴδιον om. pr. k.
[t] ὧν] ὧν ἂν S. s.
[u] λαμβάνῃ] λαμβάνοι k.
[x] καταλείπειν S.k.s. vulg. καταλιπεῖν.
[y] φήσει] φησὶ k. s.
[z] τὸν ὡς] αὐτὸν ὡς k. s.
[a] καταλείπεται] καταλείπεσθαι F. Y. O. r. t. v.
[b] λέγοντά τι] τί λέγοντα F.
[c] ὑμῶν] ἡμῶν k.
[d] Λεπτίνη] Λεπτίνης t.
[e] δῆπου in margine S.
[f] τῶνδε] τούτων k. s.
[g] καταλείπειν S.k.s. vulg. καταλιπεῖν.
[h] δ'] οὐδ' O.
[i] μείζονα] ἢ μείζονα k. r. s.
[k] εἰ] εἰς s.
[l] ἂν om. F. k.
[m] ἀντευποιήσωμέν] ἀντευποιήσομεν F. k. s.

οὐδ' ὁ πλεῖστος ἔμοιγε λόγος περὶ τῆς ἀτελείας ἐστίν, ἀλλ' ὑπὲρ τοῦ [n] μὴ πονηρὸν ἔθος τὸν νόμον εἰσάγειν καὶ [o] τοιοῦτον, δι' οὗ πάντ' [p] ἄπιστα ὅσα ὁ δῆμος δίδωσιν ἔσται.

139 Ὃν τοίνυν κακουργότατον οἴονται λόγον εὑρηκέναι πρὸς τὸ τὰς ἀτελείας ὑμᾶς ἀφελέσθαι πεῖσαι, βέλτιόν ἐστι προειπεῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. ἐροῦσι [q] γὰρ ὅτι ταῦθ' ἱερῶν ἐστὶν ἅπαντα [r] τἀναλώματα, αἱ χορηγίαι καὶ 495
αἱ [s] γυμνασιαρχίαι· δεινὸν οὖν, εἰ τῶν ἱερῶν [t] ἀτελής τις
140 ἀφεθήσεται. ἐγὼ δὲ τὸ μέν τινας, οἷς ὁ δῆμος ἔδωκεν, ἀτελεῖς εἶναι τούτων δίκαιον ἡγοῦμαι, ὃ δὲ νῦν οὗτοι ποιήσουσιν, ἐὰν ἄρα ταῦτα λέγωσι, τοῦτ' εἶναι δεινὸν νομίζω. 5
εἰ γὰρ ἃ κατὰ μηδεν' ἄλλον ἔχουσι τρόπον δεῖξαι δίκαιον ὑμᾶς ἀφελέσθαι, ταῦτ' ἐπὶ τῷ τῶν θεῶν ὀνόματι ποιεῖν ζητήσουσι, πῶς οὐκ ἀσεβέστατον ἔργον καὶ δεινότατον πράξουσι; χρὴ γάρ, ὡς [u] γοῦν [x] ἐμοὶ δοκεῖ, [y] ὅσα τις
141 πράττει τοὺς θεοὺς ἐπιφημίζοντα, τοιαῦτα φαίνεσθαι εἶα 10
μηδ' ἂν ἐπ' ἀνθρώπου πραχθέντα πονηρὰ φανείη. ὅτι δ' οὐκ [z] ἔστι ταὐτὸν ἱερῶν ἀτέλειαν ἔχειν καὶ [a] λειτουργιῶν, ἀλλ' [b] οὗτοι τὸ τῶν λειτουργιῶν ὄνομα ἐπὶ τὸ τῶν ἱερῶν μεταφέροντες ἐξαπατᾶν ζητοῦσι, Λεπτίνην [c] ὑμῖν αὐτὸν 15
ἐγὼ παρασχήσομαι μάρτυρα. γράφων γὰρ [d] ἀρχὴν τοῦ νόμου "Λεπτίνης εἶπε" φησίν, "[e] ὅπως ἂν οἱ πλουσιώ-

[n] μὴ om. S. Y. O.
[o] τοιοῦτον] τοιοῦτο k.
[p] ἄπιστα post δίδωσιν ponunt F. t. v.
[q] γὰρ om. Y. O. t. v.
[r] τἀναλώματα O. k. r. vulg. τὰ ἀναλώματα.
[s] γυμνασιαρχίαι] γυμνασίαι S.
[t] ἀτελής τις] τις ἀτελὴς Y. O. r.
[u] γοῦν] νῦν t. om. F.
[x] ἐμοὶ] ἔμοιγε F. t. v.
[y] ὅσα] πάνθ' ὅσα F. s. t. v.
[z] ἔστι ταὐτὸν] ἐστ' αὐτὸ pr. S. ἔστι ταυτὸ O. t. v.
[a] λειτουργιῶν] λειτουργῶν Y. O.
[b] οὗτοι] ὅτι v.
[c] ὑμῖν αὐτὸν] αὐτὸν ὑμῖν F.
[d] ἀρχὴν] τὴν ἀρχὴν Reiskius.
[e] ὅπως] ὁπόσ' S. ὁπόσ' O. et correctus Y.

" τατοι [f]λειτουργῶσιν, [g]ἀτελῆ μηδένα εἶναι πλὴν τῶν
142 " ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος." καίτοι εἰ ἦν ἱερῶν
ἀτέλειαν ἔχειν ταὐτὸ καὶ λειτουργιῶν, τί τοῦτο μαθὼν προσ-
ἔγραψεν; οὐδὲ γὰρ τούτοις ἀτέλεια τῶν γ' ἱερῶν ἐστὶ
δεδομένη. ἵνα δ' εἰδῆτε ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον,
λαβέ μοι πρῶτον μὲν τῆς στήλης τὰ ἀντίγραφα, εἶτα
τὴν ἀρχὴν τοῦ νόμου τοῦ Λεπτίνου. λέγε.

[h]ΑΝΤΙΓΡΑΦΑ ΣΤΗΛΗΣ.

143 Ἀκούετε τῶν ἀντιγράφων τῆς στήλης, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ἀτελεῖς αὐτοὺς εἶναι κελευόντων πλὴν ἱερῶν. Λέγε
δὴ τὴν ἀρχὴν τοῦ νόμου τοῦ Λεπτίνου.

ΝΟΜΟΣ. 496

Καλῶς. κατάθες. Γράψας, [i]ὅπως ἂν οἱ πλουσιώ-
τατοι λειτουργῶσι, μηδὲν εἶναι [k]ἀτελῆ, προσέγραψε πλὴν
τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. τίνος εἵνεκ', εἴγε
τὸ τῶν ἱερῶν τέλος ἐστὶ λειτουργεῖν; [l]αὐτὸς γὰρ [m]οὑτωσὶ
144 ταναντία τῇ στήλῃ γεγραφώς, ἂν [n]τοῦτο λέγῃ, φανήσε-
ται. ἡδέως δ' ἂν ἔγωγ' ἐροίμην Λεπτίνην, τίνος αὐτοῖς
τὴν ἀτέλειαν ἢ σὺ νῦν [o]καταλείπειν φήσεις ἢ ἐκείνους τότε
δοῦναι, τὰς λειτουργίας ὅταν εἶναι φῇς ἱερῶν. τῶν μὲν γὰρ
εἰς τὸν πόλεμον πασῶν εἰσφορῶν καὶ τριηραρχιῶν ἐκ τῶν
παλαιῶν νόμων οὐκ εἰσὶν ἀτελεῖς· τῶν [p]δὲ λειτουργιῶν,
145 εἴπερ εἰσὶν ἱερῶν, οὐδ' ἔχουσιν. ἀλλὰ μὴν γέγραπταί γ'
ἀτελεῖς [q]αὐτοὺς εἶναι. τίνος; ἢ τοῦ μετοικίου; τοῦτο γὰρ
λοιπόν. οὐ δῆπου, ἀλλὰ τῶν ἐγκυκλίων λειτουργιῶν, ὡς

[f] λειτουργῶσιν] λειτουργήσωσιν r. s. λειτουργήσωσι καὶ k.
[g] ἀτελῆ] εἰτελῆ s.
[h] ΑΝΤΙΓΡΑΦΑ] ἀντίγραφον k.
[i] ὅπως ἂν] ἂν ὅπως r.
[k] ἀτελῆ post προσέγραψεν ponunt S. Y. O. r.
[l] αὐτὸς] αὐτὰ F. αὐτὰ v.
[m] οὑτωσὶ] οὑτωσὶ k.
[n] τοῦτο] ταῦτα k. r. s.
[o] καταλείπειν S.k.s. vulg. καταλιπεῖν.
[p] δὲ] δέ γε F. t. v.
[q] αὐτοὺς εἶναι] εἶναι αὐτοὺς k. s.

ἥ τε στήλη δηλοῖ καὶ σὺ [r] προσδιώρισας ἐν τῷ νόμῳ καὶ μαρτυρεῖ πᾶς ὁ πρὸ τοῦ χρόνος γεγονώς, ἐν ᾧ τοσούτῳ τὸ πλῆθος ὄντι οὔτε φυλὴ πώποτ' ἐνεγκεῖν ἐτόλμησεν οὐδεμία οὐδένα τῶν ἀπ' [s] ἐκείνων [t] χορηγὸν οὔτ' [u] ἐνεχθεὶς αὐτοῖς ἄλλος οὐδεὶς ἀντιδοῦναι. οἷς οὐκ ἀκουστέον ἂν ἐναντία [x] τολμᾷ λέγειν.

146 [y] Ἔτι τοίνυν ἴσως ἐπισύροντες ἐροῦσιν ὡς Μεγαρεῖς καὶ Μεσσήνιοί τινες εἶναι φάσκοντες ἔπειτ' ἀτελεῖς εἰσὶν [y] ἀθρόοι, [z] παμπληθεῖς ἄνθρωποι, καί τινες ἄλλοι δοῦλοι καὶ μαστιγίαι, Λυκίδας καὶ Διονύσιος, καὶ τοιούτους τινὰς ἐξειλεγμένοι. ὑπὲρ δὴ τούτων ὠδὶ [a] ποιήσατε, ὅταν ταῦτα λέγωσι· κελεύετε, εἴπερ ἀληθῆ λέγουσι πρὸς ὑμᾶς, τὰ ψηφίσματα ἐν οἷς ἀτελεῖς εἰσὶν οὗτοι [b] δεῖξαι. οὐ γὰρ ἔστ' οὐδεὶς ἀτελὴς παρ' ὑμῖν, ὅτῳ μὴ ψήφισμα ἢ 147 νόμος δέδωκε τὴν ἀτέλειαν. πρόξενοι μέντοι πολλοὶ διὰ τῶν πολιτευομένων γεγόνασι παρ' ὑμῖν τοιοῦτοι, ὧν εἷς ἐστιν ὁ [c] Λυκίδας. ἀλλ' ἕτερον πρόξενον ἔστ' εἶναι καὶ ἀτέλειαν εὑρῆσθαι. μὴ δὴ [d] παραγόντων ὑμᾶς, μηδ', ὅτι δοῦλος ὢν ὁ [c] Λυκίδας καὶ [f] Διονύσιος καὶ τις [g] ἴσως ἄλλος διὰ [h] τοὺς μισθοῦ τὰ τοιαῦτα γράφοντας ἑτοίμως προξένοι γεγόνασι, διὰ τοῦθ' ἑτέρους ἀξίους καὶ ἐλευθέρους καὶ πολλῶν ἀγαθῶν αἰτίους, ἃς ἔλαβον δικαίως παρ' 148 [i] ὑμῶν δωρεάς, ἀφελέσθαι ζητούντων. πῶς γὰρ οὐχὶ καὶ κατὰ τοῦτο δεινότατ' ἂν πεποιθὼς ὁ Χαβρίας φανείη, εἰ

[r] προσδιώρισας] πρώρισας k. s.
[s] ἐκείνων] ἐκείνου k. s.
[t] χορηγὸν] χορηγῶν correctus v.
[u] ἐνεχθεὶς] ἐνεχθεῖσιν F. t. v.
[x] τολμᾷ om. r.
[y] ἀθρόοι F. vulg. ἀθρόα.
[z] παμπληθεῖς] παμπλήθεις s.
[a] ποιήσατε] ποιήσασθ' O.
[b] δεῖξαι] δεικνύναι F. t. v.
[c] Λυκίδας] κυλίδας pr. O. καγαγ
[d] παραγόντων] πραττόντων F. πραττόντων t.
[e] Λυκίδας] κυλίδας O.
[f] Διονύσιος] ὁ διονύσιος F. t. v.
[g] ἴσως ἄλλος] ἄλλος ἴσως F. t. v.
[h] τοὺς] τοῦ s.
[i] ὑμῶν] ὑμῖν k. s.

μὴ μόνον [k] ἐξαρκέσει τοῖς τὰ τοιαῦτα πολιτευομένοις τὸν ἐκείνου δοῦλον Λυκίδαν πρόξενον ὑμέτερον πεποιηκέναι, ἀλλ' εἰ καὶ διὰ τοῦτον πάλιν τῶν ἐκείνῳ τι δοθέντων ἀφέλοιντο, καὶ ταῦτ' αἰτίαν λέγοντες ψευδῆ; οὐ γάρ ἐστιν [l] οὔθ' οὗτος οὔτ' ἄλλος οὐδεὶς πρόξενος ὢν ἀτελής, ὅτῳ [m] μὴ διαρρήδην ἀτέλειαν ἔδωκεν ὁ δῆμος. τούτοις δ' [n] οὐκ ἔδωκεν, οὐδ' ἔξουσιν οὗτοι δεικνύναι, λόγῳ δ' ἂν ἀναισχυντῶσιν, [o] οὐχὶ καλῶς ποιήσουσιν.

149 Ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι φυλάξασθαι, τοῦτ' εἰπεῖν ἔτι βούλομαι. εἰ γάρ τις πάνθ', ὅσα Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου διδάσκων ὑμᾶς ὡς καλῶς κεῖται, συγχωρήσειεν ἀληθῆ λέγειν αὐτόν, ἓν γ' αἰσχρὸν οὐδ' ἂν εἷ τι γένοιτο ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει. τί οὖν τοῦτ' ἔστιν; τὸ δοκεῖν ἐξηπατηκέναι τοὺς ἀγαθόν τι ποιήσαντας. ὅτι μὲν τοίνυν [p] τοῦτο ἕν τι τῶν αἰσχρῶν ἐστί, 498
πάντας ἂν ἡγοῦμαι φῆσαι, ὅσῳ δ' ὑμῖν [q] αἴσχιον τῶν ἄλλων, ἀκούσατέ μου. ἔστιν [r] ὑμῖν νόμος ἀρχαῖος, [s] τῶν καλῶς δοκούντων ἔχειν, ἐάν τις ὑποσχόμενός τι τὸν δῆμον ἐξαπατήσῃ, κρίνειν, κἂν ἁλῷ, θανάτῳ ζημιοῦν. εἶτ' οὐκ αἰσχύνεσθ' ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐφ' ᾧ τοῖς ἄλλοις θάνατον [t] ζημίαν ἐτάξατε, τοῦτ' [u] αὐτοὶ ποιοῦντες φανήσεσθε; καὶ μὴν πάντα μὲν εὐλαβεῖσθαι δεῖ ποιεῖν τὰ δοκοῦντα καὶ ὄντ' αἰσχρά, μάλιστα δὲ ταῦτ' ἐφ' οἷς τοῖς ἄλλοις

[k] ἐξαρκέσει S. Y. O. s. ἐξαρκέσῃ r. ἐξαρκέσοι k. vulg. ἐξαρκέσειε.
[l] οὔθ' om. k.
[m] μὴ om. k. s.
[n] οὐκ ἔδωκεν οὐδ'] οὐ δέδωκεν οὐδ' Y. O. r. οὔτ' ἔδωκεν οὔθ' k. s.
[o] οὐχὶ] οὐ k. r.
[p] τοῦτο ἕν τι] ἕν τι τοῦτο k. s.
[q] αἴσχιον τῶν ἄλλων] τῶν ἄλλων αἴσχιον F. t. v.
[r] ὑμῖν νόμος] νόμος ὑμῖν s. νόμος ἡμῖν k.
[s] τῶν καλῶς] καλῶς τῶν S.
[t] ζημίαν] τὴν ζημίαν F. t. v.
[u] αὐτοὶ] αὐτῷ F. αὐτὸ S. αὐτὸ Y. O.

χαλεπῶς τις ἔχων ὁρᾶται· [x] οὐδὲ γὰρ ἀμφισβήτησις [y] καταλείπεται τὸ μὴ ταῦτα ποιεῖν, ἃ πονηρὰ [z] αὐτὸς ἔκρινεν εἶναι πρότερον.

151 Ἔτι τοίνυν ὑμᾶς κἀκεῖνο εὐλαβεῖσθαι δεῖ, ὅπως μηδὲν ὧν [a] ἰδία φυλαξαισθ' ἄν, τοῦτο δημοσίᾳ [b] ποιοῦντες φανήσεσθε. ὑμῶν τοίνυν οὐδ' ἂν εἷς [c] οὐδὲν ὧν [d] ἰδίᾳ τινὶ δοίη, τοῦτ' ἀφέλοιτο πάλιν, ἀλλ' οὐδ' ἐπιχειρήσειεν ἄν. μὴ τοίνυν μηδὲ δημοσίᾳ τοῦτο [e] ποιήσητε, ἀλλὰ κελεύετε 152 [f] τούτους τοὺς ἐρῶντας ὑπὲρ τοῦ νόμου, εἴ τινα τῶν εὑρημένων τὴν δωρεὰν ἀνάξιον εἶναί φασιν ἢ μὴ πεποιηκότα ἐφ' οἷς εὔρετο ἔχειν, ἢ ἄλλο [g] ὁτιοῦν ἐγκαλοῦσί τινι, γράφεσθαι κατὰ [h] τὸν νόμον [i] ὃν παρεισφέρομεν νῦν ἡμεῖς, ἢ θέντων ἡμῶν, ὥσπερ ἐγγυώμεθα καὶ φαμὲν θήσειν, ἢ θέντας αὐτούς, ὅταν πρῶτον γένωνται νομοθέται. ἔστι δ' ἑκάστῳ τις αὐτῶν, ὡς ἔοικεν, ἐχθρός, τῷ μὲν Διοφάντος, 153 τῷ δ' Εὔβουλος, τῷ δ' ἴσως ἄλλος τις. εἰ δὲ τοῦτο φεύξονται καὶ μὴ [k] ἐθελήσουσι ποιεῖν, σκοπεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ καλῶς ὑμῖν ἔχει, ἃ τούτων ἕκαστος οἰκεῖ 499 τοὺς ἐχθροὺς ἀφαιρούμενος ὀφθῆναι, ταῦθ' [l] ὑμᾶς [m] τοὺς εὐεργέτας ἀφηρημένους φαίνεσθαι, καὶ τοὺς εὖ τι πεποιηκότας ὑμᾶς, οἷς οὐδεὶς [n] ἂν ἐγκαλέσαι, νόμῳ τὰ δοθέντ' ἀπολωλεκέναι δι' ὑμῶν [o] ἀθρόους, παρόν, εἴ τις ἄρ' ἐστὶν ἀνάξιος, εἷς ἢ δύο ἢ πλείους, [p] γραφῇ διὰ τούτων ταὐτὸ

[x] οὐδὲ] οὔτε F. οὔτε Y. O.
[y] καταλείπεται] ἔτι καταλείπεται F. t. v.
[z] αὐτὸς] τις αὐτὸς F, k. s. t. v.
[a] ἰδίᾳ] εἰδεῖα s.
[b] ποιοῦντες om. s.
[c] οὐδὲν om. F.
[d] ἰδίᾳ] εἰδεῖα s.
[e] ποιήσητε] ποιήσετε r.
[f] τούτους om. F.
[g] ὁτιοῦν] τι r.
[h] τὸν om. s.
[i] ὃν παρεισφέρομεν] ὅντερ εἰσφέρομεν k. s.
[k] ἐθελήσουσι] θελήσωσι k. s.
[l] ὑμᾶς] ἡμεῖς O. ἡμᾶς k.
[m] τοὺς om. O.
[n] ἂν om. k.
[o] ἀθρόους F. vulg. ἀθρόους.
[p] γραφῇ post ταὐτὸ ponunt k.s. γράφει r.

τοῦτο παθεῖν κατ' ἄνδρα [q] κριθέντας. ἐγὼ μὲν γὰρ οὐχ ὑπολαμβάνω ταῦτα καλῶς ἔχειν οὐδέ γ' ἀξίως ὑμῶν. [σκοπῶ δὲ καὶ τοῦτο.]

154 Καὶ μὴν οὐδ' [r] ἐκείνου γε ἀποστατέον τοῦ λόγου, ὅτι τῆς μὲν ἀξίας, [s] ὅτε ἐδώκαμεν, [t] ἣν δίκαιον τὴν ἐξέτασιν λαμβάνειν, ὅτε τούτων οὐδεὶς ἀντεῖπε, μετὰ ταῦτα δ' ἐᾶν, εἴ τι μὴ πεπόνθατε ὑπ' αὐτῶν ὕστερον κακόν. εἰ δ' οὗτοι τοῦτο φήσουσι (δεῖξαι μὲν γὰρ [u] οὐχ ἕξουσι), δεῖ κεκολασμένους αὐτοὺς [x] παρὰ τἀδικήματα φαίνεσθαι. εἰ δὲ μηδενὸς ὄντος τοιούτου τὸν νόμον ποιήσετε κύριον, δόξετε φθονήσαντες, οὐχὶ πονηροὺς λαβόντες ἀφῃρῆσθαι.

155 ἔστι δὲ πάντα μὲν ὡς ἔπος εἰπεῖν [y] ὅσα ἔστιν [z] ἀνείδη φευκτέον, [a] τοῦτο δὲ πάντων μάλιστα, ὦ ἄνδρες Ἀθηναῖοι. διὰ τί; ὅτι παντάπασι [b] φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος, καὶ [c] οὐκ ἔχει πρόφασιν δι' ἣν ἂν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. εἶτα καὶ [d] οὐδ' ἔστιν ὄνειδος, ὅτου [e] πορρωτέρω ἐστὶν ἡ πόλις [f] ἡμῶν ἢ τοῦ φθονερὰ δο-

156 κεῖν εἶναι, πάντων ἀπέχουσα τῶν αἰσχρῶν. τεκμήρια δ' ἡλίκα τούτου, θεωρήσατε. πρῶτον [g] μὲν μόνοι τῶν [h] ἁπάντων ἀνθρώπων ἐπὶ τοῖς τελευτήσασι [i] δημοσίᾳ ταφὰς ποιεῖσθε καὶ λόγους ἐπιταφίους, ἐν οἷς κοσμεῖτε τὰ τῶν ἀγα-

θῶν ἀνδρῶν ἔργα. καίτοι τοῦτ' ἔστι τὸ ἐπιτήδευμα ζη-

[q] κριθέντας] κριθέντα S. r. s.
[r] ἐκείνου] ἐκεῖνό k.
[s] ὅτε] τότε ὅτε r.
[t] ἣν δίκαιον τὴν ἐξέτασιν] τὴν ἐξέτασιν ἣν δίκαιον F. t. v.
[u] οὐχ ἕξουσι] οὐκ ἔχουσι S.
[x] παρὰ] παρ' αὐτὰ F. k. s. t. v.
[y] ὅσα ἐστὶ om. Y. O. r.
[z] ἀνείδη] τὰ ἀνείδη k. r. s.
[a] τοῦτο δὲ] δὲ τοῦτο r.
[b] φύσεως] φύσει O. et correctus Y. πονηρᾶς φύσεως καὶ v.
[c] οὐκ ἔχει] οὐχ ἕξει k.
[d] οὐδ' S.O.r. οὐκ k.s. vulg. οὐδέν.
[e] πορρωτέρω] πορρώτερον S.
[f] ἡμῶν] ὑμῶν k. s.
[g] μὲν] μὲν γὰρ F. t. v.
[h] ἁπάντων S.Y.O. vulg. πάντων.
[i] δημοσίᾳ ταφὰς ποιεῖσθε καὶ λόγους γρ. F. δημοσίᾳ τὰς ταφὰς ποιεῖσθε καὶ λόγους F.t.v. δημοσίᾳ ταφὰς ποιεῖτε καὶ λόγους s. ταφὰς ποιεῖτε δημοσίᾳ καὶ λόγους k. δημοσίᾳ καὶ ταῖς ταφαῖς ταῖς δημοσίαις ποιεῖτε λόγους S. Y. O. r.

λούντων ἀρετήν, οὐ τοῖς ἐπὶ ταύτῃ τιμωμένοις φθονούντων. εἶτα μεγίστας δίδοτε ἐκ παντὸς τοῦ χρόνου δωρεὰς τοῖς τοὺς γυμνικοὺς [k] νικῶσιν ἀγῶνας τοὺς στεφανίτας, καὶ οὐχ, ὅτι τῇ φύσει τούτων [l] ὀλίγοις μέτεστιν, ἐφθονήσατε τοῖς ἔχουσιν, οὐδ' ἐλάττους ἐποιήσατε τὰς τιμὰς διὰ ταῦτα. 157 πρὸς δὲ τούτοις τοιούτοις οὖσιν οὐδεὶς πώποτε τὴν πόλιν ἡμῶν εὖ ποιῶν δοκεῖ νικῆσαι· τοσαύτας ὑπερβολὰς τῶν δωρεῶν, αἷς [m] ἀντευποιεῖ, [n] παρέσχηται. ἔστι τοίνυν [o] πάντα [p] ταῦτ' ὦ ἄνδρες Ἀθηναῖοι δικαιοσύνης, ἀρετῆς, μεγαλο- 158 ψυχίας ἐπιδείγματα. μὴ τοίνυν, διὰ ἃ πάλαι παρὰ πάντα τὸν χρόνον ἡ πόλις [q] εὐδοξεῖ, ταῦτ' [r] ἀνέλητε νῦν· μηδ' ἵνα Λεπτίνης ἰδίᾳ τισίν, οἷς ἀηδῶς [s] ἔχει, ἐπηρεάσῃ, τῆς πόλεως [t] ἀφέλησθε καὶ ὑμῶν αὐτῶν ἣν διὰ παντὸς ἀεὶ τοῦ χρόνου δόξαν κέκτησθε καλήν· μηδ' ὑπολαμβάνετε εἶναι τὸν ἀγῶνα τόνδε ὑπὲρ ἄλλου τινὸς ἢ τοῦ τῆς πόλεως ἀξιώματος, πότερον [u] αὐτὸ δεῖ [x] σῶν εἶναι καὶ ὅμοιον τῷ προτέρῳ, ἢ [y] μεθεστάναι καὶ λελυμάνθαι. 159 Πολλὰ δὲ θαυμάζων Λεπτίνου κατὰ [z] τὸν νόμον ἓν μάλιστα τεθαύμακα πάντων, [a] εἰ ἐκεῖνο ἠγνόηκεν, ὅτι ὥσπερ ἄν, εἴ τις μεγάλας [b] τὰς τιμωρίας τῶν ἀδικημάτων τάττοι, οὐκ ἂν αὐτός γε ἀδικεῖν παρεσκευάσθαι δόξαι, οὕτως, ἄν τις ἀναιρῇ τὰς τιμὰς τῶν [c] εὐεργεσιῶν, [d] οὐδὲν 160 αὐτὸς ποιεῖν ἀγαθὸν παρεσκευάσθαι δόξει. εἰ μὲν τοίνυν

[k] νικῶσιν ἀγῶνας] ἀγῶνας νικῶσι F. t. v.
[l] ὀλίγοις μέτεστιν] μέτεστιν ὀλίγοις Y. O. r.
[m] ἀντευποιεῖ] ἔστ' εἰ ποιῇ s.
[n] παρέσχηται] παρέχηται r.
[o] πάντα] ἅπαντα F. t. v.
[p] ταῦτα ante πάντα ponunt k. s.
[q] εὐδοξεῖ] εὐδόξει k.
[r] ἀνέλητε] ἀνέλετε r.
[s] ἔχει ἐπηρεάσῃ] ἔχοι ἐπηρεάσει k.
[t] ἀφέλησθε] ἀφελίσθαι r.
[u] αὐτὸ] αὐτὸν r.
[x] σῶν] σῶν s.
[y] μεθεστάναι] μεθιστάναι r. t.
[z] τὸν om. s.
[a] εἰ] καὶ εἰ r.
[b] τὰς ante τιμωρίας om. k.
[c] εὐεργεσιῶν] εὐεργετῶν F. t. v.
[d] οὐδὲν] οὐδὲν ἂν F. s.

ἠγνόησε ταῦτα (γένοιτο γὰρ ἂν καὶ τοῦτο), αὐτίκα δηλώσει· συγχωρήσεται γὰρ ὑμῖν λῦσαι, περὶ ὧν αὐτὸς ἥμαρ- 501
τεν. εἰ δὲ φανήσεται σπουδάζων καὶ [c] διατεινόμενος κύριον [f] ποιῆσαι τὸν νόμον, ἐγὼ μὲν οὐκ ἔχω πῶς ἐπαινέσω,
161 ψέγειν δ' οὐ βούλομαι. μηδὲν οὖν φιλονείκει Λεπτίνῃ 5
μηδὲ βιάζου [g] τοιοῦτον, [h] δι' οὗ μήτ' αὐτὸς [i] δόξεις [k] βελτίων εἶναι μήθ' οἱ πεισθέντες σοι, ἄλλως τε καὶ γεγενημένου σοι τοῦ ἀγῶνος ἀκινδύνου. διὰ γὰρ τὸ [l] τελευτῆσαι Βάθιππον τὸν [m] τουτουὶ πατέρα [n] Ἀφεψίωνος, ὃς [o] αὐτὸν ἔτ' ὄντα ὑπεύθυνον ἐγράψατο, ἐξῆλθον [p] οἱ χρόνοι, καὶ [q] νυνὶ 10
περὶ αὐτοῦ τοῦ νόμου πᾶς ἐστὶν ὁ λόγος, [r] τούτῳ [s] δ' οὐδείς ἐστι κίνδυνος.

162 Καίτοι καὶ τοῦτ' ἀκούω σε λέγειν, ὡς ἄρα [t] τρεῖς σέ τινες γραψάμενοι πρότεροι τοῦδε οὐκ ἐπεξῆλθον. εἰ μὲν [u] οὖν ἐγκαλῶν αὐτοῖς λέγεις ὅτι σε οὐ κατέστησαν εἰς 15
κίνδυνον, φιλοκινδυνότατος [x] εἶ πάντων ἀνθρώπων· εἰ δὲ τεκμήριον ποιῇ τοῦ τὰ δίκαια εἰρηκέναι, [y] λίαν εὔηθες ποιεῖς. τί γὰρ [z] εἵνεκα τούτου βελτίων ἔσθ' ὁ νόμος, εἴ τις ἢ τετελεύτηκε τῶν γραψαμένων πρὶν εἰσελθεῖν, ἢ πεισθεὶς 20
ὑπὸ σοῦ διεγράψατο, ἢ καὶ ὅλως ὑπὸ σοῦ παρεσκευάσθη; ἀλλὰ ταῦτα μὲν οὐδὲ λέγειν καλόν.

163 Ἠιρηνται δὲ τῷ νόμῳ σύνδικοι, καὶ μάλισθ' οἱ δεινοὶ

[c] διατεινόμενος] ὑπερδιατεινόμενος F. t. v.
[f] ποιῆσαι] ποιεῖν S. Y. O.
[g] τοιοῦτον] τοῦτον t.
[h] τοιοῦτον δι'] S. Y. O. vulg. τοιοῦτον μηδὲν δι'.
[i] δόξεις] δόξῃς k. s. t.
[k] βελτίων εἶναι] εἶναι βελτίων F. t. v.
[l] τελευτῆσαι] τετελευτηκέναι k. s.
[m] τουτουΐ] τούτου S. r.
[n] Ἀφεψίωνος] ἀψεφίωνος k. s. t. v. ἀψεφίωνος O. ἀψεφιῶνος r.
[o] αὐτὸν] αὐτὸς t.
[p] οἱ χρόνοι] οἱ τῆς κρίσεως χρόνοι F. t. v.
[q] νυνὶ] νῦν F. t. v.
[r] τούτῳ] τούτωι οὖν F. τούτου γρ. S.
[s] δ' om. F.
[t] τρεῖς] τρίς k. s.
[u] οὖν] τοίνυν S. Y. O. k. r. s.
[x] εἶ post ἀνθρώπων ponunt F. t. v.
[y] λίαν] λίαν ἂν Y. O. r.
[z] εἵνεκα] ἕνεκα k. s.

λέγειν ἄνδρες, Λεωδάμας Ἀχαρνεὺς καὶ Ἀριστοφῶν
[a]Ἀζηνιεὺς καὶ Κηφισόδοτος ἐκ Κεραμέων καὶ Δεινίας
[b]Ἐρχιεύς. ἃ δὴ πρὸς τούτους ὑπολαμβάνοιτ' ἂν εἰκότως,
ἀκούσατε, καὶ σκοπεῖτε ἂν ὑμῖν δίκαια φαίνηται. πρῶ-
τον μὲν πρὸς Λεωδάμαντα. οὗτος ἐγράψατο τὴν Χαβρίου
δωρεάν, ἐν ᾗ τοῦτ' ἔνεστι τὸ τῆς ἀτελείας τῶν ἐκείνῳ τι
δοθέντων, καὶ πρὸς ὑμᾶς εἰσελθὼν ἡττήθη· οἱ νόμοι δὲ οὐκ 502
ἐῶσι δὶς πρὸς τὸν αὐτὸν περὶ τῶν αὐτῶν οὔτε δίκας οὔτ'
εὐθύνας οὔτε διαδικασίαν οὔτ' ἄλλο [c]τοιοῦτ' οὐδὲν εἶναι.
164 χωρὶς δὲ τούτων ἀτοπώτατον ἂν πάντων συμβαίη, εἰ τότε
μὲν τὰ Χαβρίου παρ' ὑμῖν ἔργα μεῖζον ἴσχυε τῶν Λεω-
δάμαντος λόγων, ἐπειδὴ δὲ ταῦτά τε ὑπάρχει καὶ τὰ
τῶν ἄλλων εὐεργετῶν προσγέγονε, τηνικαῦτα σύμπαντα
165 ταῦτα ἀσθενέστερα τῶν τούτου λόγων γένοιτο. καὶ μὴν
πρός γ' Ἀριστοφῶντα πολλὰ καὶ δίκαι' ἂν ἔχειν εἰπεῖν
εἶμαι. οὗτος εὑρετο τὴν δωρεὰν παρ' [d]ὑμῖν, ἐν ᾗ τοῦτ'
ἐνῆν. καὶ οὐ τοῦτ' ἐπιτιμῶ· δεῖ γὰρ ἐφ' ὑμῖν εἶναι διδό-
ναι τὰ ὑμέτερ' αὐτῶν οἷς ἂν βούλησθε. ἀλλ' ἐκεῖνό γε
οὐχὶ δίκαιον εἶναί φημι, τὸ ὅτε μὲν τούτῳ ταῦτ' ἔμελλεν
[e]ὑπάρχειν λαβόντι μηδὲν ἡγεῖσθαι δεινόν, ἐπειδὴ δ' ἕτε-
ροις [f]δέδοται, τηνικαῦτ' ἀγαναχτεῖν καὶ πείθειν ὑμᾶς
166 ἀφελέσθαι. καὶ μὴν καὶ [g]Γελάρχῳ πέντε τάλαντ' ἀπο-
δοῦναι γέγραφεν οὗτος ὡς [h]παρασχόντι τοῖς ἐν Πειραιεῖ
τοῦ δήμου, καὶ καλῶς ἐποίει. μὴ τοίνυν, ἃ μὲν ἦν ἁμάρ-
τυρα, ταῦτ' ἐπὶ τῇ τοῦ δήμου προφάσει διὰ σοῦ δίδοσθαι,
ὧν δ' αὐτὸς ὁ δῆμος μαρτυρίας ἔστησεν ἐν τοῖς ἱεροῖς

[a] Ἀζηνιεὺς] ἀξηνιεὺς F.S.Y.O.r. t.v. ἀξωνιεὺς k. ἀζηνεὺς s.
[b] Ἐρχιεὺς] ἀρχιεὺς r.t.
[c] τοιοῦτ' οὐδὲν S.Y.O. οὐδὲν τοιοῦτον s. ceteri τοιοῦτον οὐδέν.
[d] ὑμῖν—ὑμῶν] ἡμῖν—ἡμῶν r.
[e] ὑπάρχειν S.Y.O.r. ὑπάρξειν F. vulg. ὑπάρξαν.
[f] δέδοται] δίδοται k.s.
[g] Γελάρχῳ] Τελάρχῳ r. Τελάρχῳ vel Ἀγελάρχῳ Reiskius.
[h] παρασχόντι] παρασχὼν Y.O.r.

ἀναγράψας καὶ πάντες συνίσασι, ταῦτ' ἀφελέσθαι παραίνει· μηδ' [i] ὁ αὐτὸς φαίνου τά τ' ὀφειλόμενα ὡς ἀποδοῦναι δεῖ γράφων, καὶ ἃ τις παρὰ τοῦ δήμου [k] κεκόμισται, 25
167 ταῦτ' ἀφελέσθαι παραινῶν. καὶ μὴν πρός γε Κηφισόδοτον [l] τοσοῦτ' ἂν εἴποιμι. οὗτός ἐστιν οὐδενὸς [m] ἧττον ὦ ἄνδρες Ἀθηναῖοι τῶν λεγόντων δεινὸς εἰπεῖν. πολὺ τοίνυν κάλλιον τῇ δεινότητι ταύτῃ [n] χρῆσθαι [o] ἐπὶ τὸ τοὺς ἀδικοῦντας 503
ὑμᾶς κολάζειν ἢ τοὺς ἀγαθοῦ τινὸς αἰτίους ἀδικεῖν. εἰ γὰρ ἀπεχθάνεσθαί τισι δεῖ, τοῖς ἀδικοῦσι τὸν δῆμον, [p] οὐ
168 τοῖς ἀγαθόν τι ποιοῦσιν ἔγωγε νομίζω δεῖν. πρὸς τοίνυν Δεινίαν· οὗτος ἴσως ἐρεῖ τριηραρχίας αὐτοῦ καὶ λειτουργίας. ἐγὼ δ', εἰ πολλοῦ τῇ πόλει Δεινίας ἄξιον αὐτὸν παρέσχηκεν, ὡς ἔμοιγε [q] δοκεῖ νὴ τοὺς θεούς, μᾶλλον ἂν παραινέσαιμι αὐτῷ τινὰ τιμὴν ὑμᾶς ἀξιοῦν δοῦναι, ἢ τὰς ἑτέροις πρότερον δοθείσας ἀφελέσθαι [r] κελεύειν· πολὺ γὰρ
169 βελτίονος ἀνδρός ἐστιν, ἐφ' οἷς αὐτὸς εὖ πεποίηκεν ἀξιοῦν τιμᾶσθαι, ἢ ἐφ' οἷς ἕτεροι [s] ποιήσαντες ἐτιμήθησαν φθονεῖν. ὃ δὲ δὴ μέγιστον ἁπάντων καὶ κοινὸν ὑπάρχει [t] κατὰ πάντων τῶν συνδίκων· τούτων πολλάκις εἷς ἕκαστος πρότερόν τισι [u] πράγμασι σύνδικος γέγονεν. ἔστι δὲ καὶ
μάλ' ἔχων νόμος [x] ὑμῖν καλῶς, οὐκ ἐπὶ τούτοις τεθείς, ἀλλ' ἵνα μὴ τὸ πρᾶγμα ὥσπερ ἐργασία τισὶν ᾖ καὶ συκοφαντία, μὴ ἐξεῖναι [y] ὑπὸ τοῦ δήμου χειροτονηθέντα
170 [z] πλεῖον ἢ ἅπαξ συνδικῆσαι. τοὺς [a] δὲ [b] συνεροῦντας νόμῳ,

[i] ὁ post μηδ' om. S.Y.O.r. fuit αὐτὸς.
[k] κεκόμισται] κεκόσμηται pr. F.
[l] τοσοῦτ'] ταῦτ' k.
[m] ἧττον] ἥττων k. s.
[n] χρῆσθαι] χρήσασθαι k. r. s.
[o] ἐπὶ τὸ] ἐπὶ τῷ k.
[p] οὐ] οὐχὶ k. s.
[q] δοκεῖ] δοκεῖν O.
[r] κελεύειν] κελεύει r.
[s] ποιήσαντες ἐτιμήθησαν] ἐτιμήθησαν ποιήσαντες k. s.
[t] κατὰ πάντων] καθ' ἁπάντων Y. O. r.
[u] πράγμασι] παραδείγμασι t.
[x] ὑμῖν] ἡμῖν k.
[y] ὑπὸ τοῦ δήμου χειροτονηθέντα] χειροτονηθέντα ὑπὸ τοῦ δήμου F.k.s.t.v.
[z] πλεῖον S.Y.O. πλεῖστον r. ceteri πλέω.
[a] δὲ] δὴ S. Y. O. r.
[b] συνεροῦντας] συναιροῦντας S.

καὶ διδάξοντας ὑμᾶς ὡς ἐπιτήδειός ἐστιν, αὐτοὺς τοῖς ὑπάρχουσι νόμοις δεῖ πειθομένους φαίνεσθαι· εἰ δὲ μή, γελοῖον νόμῳ [c] μὲν συνδικεῖν, νόμον δ' αὐτοὺς παραβαίνειν ἕτερον. Ἀνάγνωθι λαβὼν [d] τὸν νόμον αὐτοῖς, ὃν λέγω.

ΝΟΜΟΣ.

Οὗτος ὦ ἄνδρες Ἀθηναῖοι καὶ παλαιὸς ἐσθ' ὁ νόμος καὶ καλῶς ἔχων, ὅν, ἐὰν σωφρονῶσι, φυλάξονται παραβαίνειν οὗτοι.

171 Ἐγὼ δ' ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπὼν καταβήσομαι. ἔστι γὰρ ὦ ἄνδρες Ἀθηναῖοι πάντας μὲν τοὺς νόμους [c] ὑμῖν, ὡς ἐγὼ νομίζω, σπουδαστέον ὡς κάλλιστ' ἔχειν, 504 μάλιστα δὲ τούτους δι' ὧν ἡ μικρὰν ἢ μεγάλην ἔστ' εἶναι τὴν πόλιν. εἰσὶ δ' οὗτοι τίνες; [f] οἵ τε τοῖς ἀγαθόν τι ποιοῦσι τὰς τιμὰς διδόντες καὶ οἱ τοῖς τἀναντία πράττουσι τὰς τιμωρίας. εἰ γὰρ ἅπαντες ὡς ἀληθῶς τὰς ἐν τοῖς νόμοις ζημίας φοβούμενοι τοῦ κακόν τι ποιεῖν ἀποσταῖεν, καὶ πάντες τὰς ἐπὶ ταῖς εὐεργεσίαις δωρεὰς ζηλώσαντες ἃ χρὴ πράττειν προείλοιντο, τί κωλύει μεγίστην εἶναι τὴν πόλιν καὶ πάντας χρηστοὺς καὶ μηδεὶ εἶναι [g] πονηρόν;

172 Ὁ τοίνυν νόμος οὗτος ὁ Λεπτίνου οὐ μόνον ὦ ἄνδρες Ἀθηναῖοι [h] τοῦτ' ἀδικεῖ, ὅτι τὰς τιμὰς ἀναιρῶν τῶν [i] εὐεργεσιῶν ἀχρείων τὴν ἐπιείκειαν τοῖς φιλοτιμεῖσθαι βουλομένοις καθιστησιν, ἀλλ' ὅτι καὶ [k] παρανομίας δοξαν αἰσχίστην [l] τῇ πόλει καταλείπει. ἴστε γὰρ δήπου τοῦθ',

[c] μὲν om. Y. O.
[d] τὸν νόμον αὐτοῖς] αὐτοῖς τὸν νόμον k. s.
[e] ὑμῖν] ἡμῖν k. om. r.
[f] οἵ τε] οἵ γε r.
[g] πονηρόν] πονηρὸν F. τὸν πονηρὸν Y. O. r. t. v.
[h] τοῦτ'] ταῦτ' r.
[i] εὐεργεσιῶν] εὐεργετῶν F. t. v.
[k] παρανομίας] παρανοίας F. S. Y. O. k. r. s. t. v.
[l] τῇ πόλει om. pr. Y.

ὅτι τῶν τὰ δεινότατ' ἡμᾶς ἀδικούντων ἐν ἑκάστῳ τίμημ'
[m] ὑπάρχει διὰ τὸν νόμον, ὃς διαῤῥήδην λέγει " μηδὲ [ὡς
" χρὴ] τίμημα ὑπάρχειν ἐπὶ κρίσει πλέον ἢ ἕν, ὁπότερον
[n] ἂν τὸ δικαστήριον [o] τιμήσῃ, παθεῖν ἢ ἀποτῖσαι· ἀμφό-
173 " τερα δὲ [p] μὴ [q] ἐξέστω." ἀλλ' οὐχ οὗτος ἐχρήσατο τούτῳ
τῷ μέτρῳ, ἀλλ' ἐάν τις [r] ἀπαιτήσῃ χάριν ὑμᾶς, " ἄτι-
" μος ἔστω" φησί " καὶ ἡ οὐσία δημοσία ἔστω." δύο τι-
μήματα ταῦτα. " εἶναι δὲ καὶ ἐνδείξεις καὶ ἀπαγωγάς·
" ἐὰν δ' ἀλῷ, [s] ἔνοχος ἔστω τῷ νόμῳ ὃς κεῖται, ἐάν τις
" [t] ὀφείλων [u] ἄρχῃ τῷ δημοσίῳ." θάνατον λέγει· τοῦτο
γάρ ἐστ' ἐπ' ἐκείνῳ τὸ ἐπιτίμιον. οὐκοῦν τρία τιμήματα
ταῦτα. πῶς οὖν οὐ σχέτλιον καὶ δεινόν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, εἰ χαλεπώτερον εἶναι [x] παρ' ὑμῖν δόξει χάριν εὖ ποι-
ήσαντα ἀπαιτεῖν ἢ τὰ δεινότατα ἐργαζόμενον ληφθῆναι; 505
174 Αἰσχρὸς ὦ ἄνδρες Ἀθηναῖοι καὶ κακῶς ἔχων ὁ νόμος,
καὶ ὅμοιος φθόνῳ τινὶ καὶ φιλονεικίᾳ. καὶ [y] τὸ λοιπὸν
ἐῶ· τοιούτοις δέ τισι προσέοικεν ὁ γράφων χρῆσθαι. ὑμῖν
δ' οὐχὶ πρέπει τὰ τοιαῦτα μιμεῖσθαι, οὐδ' ἀνάξια φαί-
νεσθαι φρονοῦντας ὑμῶν αὐτῶν. φέρε γὰρ πρὸς Διός, τί
μάλιστ' ἂν ἀπευξαίμεθα πάντες, καὶ τί μάλιστ' ἐν
ἅπασι διεσπούδασται τοῖς νόμοις; ὅπως μὴ [z] γενήσονται
οἱ περὶ ἀλλήλους [a] φόνοι, περὶ ὧν [b] ἐξαίρετος ἡ βουλὴ φύ-
175 λαξ ἡ ἐν Ἀρείῳ πάγῳ τέτακται. ἐν τοίνυν τοῖς περὶ τού-
των νόμοις ὁ Δράκων φοβερὸν [c] κατασκευάζων καὶ δεινὸν

[m] ὑπάρχει] ὑπάρχειν s.
[n] ἂν om. r. et pr. Y.
[o] τιμήσῃ] τιμήσοι r.
[p] μὴ om. t.
[q] ἐξέστω] ἐξέσται k.
[r] ἀπαιτήσῃ] αἰτήσῃ F.
[s] ἔνοχος ἔστω] ἔνοχος ἔσται k. s.
[t] ὀφείλων] δ' ὀφείλων k. s.
[u] ἄρχῃ post δημοσίῳ ponunt k.s.
[x] παρ' ὑμῖν δόξει] δόξει παρ' ὑμῖν F. t.v.
[y] τὸ ante λοιπὸν om. t.
[z] γενήσονται F.S.k. vulg. γενήσωνται.
[a] φόνοι] φθόνοι r. s.
[b] ἐξαίρετος] ἐξαίρετον r.
[c] κατασκευάζων] καὶ σκευάζων s.

τό τινα αὐτόχειρα ἄλλον ἄλλου γίγνεσθαι, καὶ γράφων [d] χερνίβων εἴργεσθαι τὸν ἀνδροφόνον, σπονδῶν, κρατήρων, ἱερῶν, ἀγορᾶς, πάντα τἄλλα διελθὼν οἷς μάλιστ' ἄν [e] τινας ᾠετο ἐπισχεῖν τοῦ τοιαῦτόν τι ποιεῖν, ὅμως οὐκ ἀφείλετο τὴν τοῦ δικαίου τάξιν, ἀλλ' ἔθηκεν ἐφ' οἷς ἐξεῖναι [f] ἀποκτιννύναι, κἂν οὕτω τις δράσῃ, καθαρὸν διώρισεν εἶναι. εἶτ' ἀποκτεῖναι μὲν δικαίως ἔν γε τοῖς παρ' [g] ὑμῖν νόμοις ἐξέσται, χάριν δ' ἀπαιτεῖν οὔτε δικαίως οὔθ' ὁπως-
176 οὖν διὰ τὸν τούτου νόμον; μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι· μὴ βούλεσθε δοκεῖν πλείω πεποιῆσθαι σπουδὴν ὅπως μηδενὶ τῶν εὖ τι ποιούντων ὑμᾶς χάριν ἐξέσται [h] κομισασθαι, ἢ ὅπως μηδεὶς [i] φόνος ἐν τῇ πόλει γενήσεται· ἀλλ' ἀναμνησθέντες τῶν καιρῶν, παρ' [k] οὓς εὖ πεπονθότες εὖ πεποιήκατε τοὺς εὑρομένους, καὶ τῆς Δημοφάντου στήλης περὶ ἧς εἶπε Φορμίων, ἐν ᾗ γέγραπται καὶ [l] ὀμώμοται, ἂν τις ἀμύνων τι πάθῃ τῇ δημοκρατίᾳ, τὰς αὐτὰς δώσειν 506
δωρεὰς ἄσπερ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι, καταψηφισασθε τοῦ νόμου. οὐ γὰρ ἔνεστ' εὐορκεῖν, εἰ μὴ ταῦτο
[m] ποιήσετε.

177 Παρὰ [n] πάντα δὲ ταῦτα ἐκεῖνο ἔτι ἀκούσατέ μου. οὐκ ἔνι τοῦτον ἔχειν καλῶς τὸν νόμον, [o] ὃς περὶ τῶν παρελη-
λυθότων καὶ [p] τῶν μελλόντων ταὐτὰ λέγει. μηδὲν εἶναί φησιν ἀτελῆ πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος. καλῶς. μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι. μηδ' ἂν τοιοῦτοί τινες γένωνται, Λεπτίνης; εἰ τὰ πρὸ τοῦ κατε-

[d] χερνίβων] χερνίβων F. χέρνιβος S. Y. O.
[e] τινας] τινα' F. τινα v.
[f] ἀποκτιννύναι] ἀποκτεινύναι s.
[g] ὑμῖν] ἡμῖν F. Y. O. k. r. s. t. v.
[h] κομίσασθαι] κεκομίσθαι t.
[i] φόνος] φθόνος r.
[k] οὓς] ἃ s.
[l] ὀμώμοται S. ceteri ὀμώμοσται.
[m] ποιήσετε] ποιήσητε S. Y. O. r.
[n] πάντα δὲ ταῦτα] ταῦτα δὲ πάντα k.
[o] ὃς om. pr. k
[p] τῶν ante μελλόντων sumpsi s S. περὶ τῶν μελλόντων k. s.

178 μέμφου, [q] τί; μὴ καὶ τὰ μέλλοντ' ἤδεις; ὅτι νὴ Δία
πόρρω τοῦ τι [r] τοιοῦτ' ἐλπίζειν νῦν ἐσμέν. καὶ εἰημέν γ',
ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλὰ χρή γε ἀνθρώπους ὄντας τοι-
αῦτα καὶ λέγειν καὶ νομοθετεῖν, οἷς μηδεὶς ἂν νεμεσήσαι,
καὶ τἀγαθὰ μὲν προσδοκᾶν καὶ τοῖς θεοῖς εὔχεσθαι δι- 15
δόναι, πάντα δ' ἀνθρώπινα ἡγεῖσθαι. οὐδὲ γὰρ ἂν Λα-
κεδαιμόνιοί ποτ' ἤλπισαν εἰς τοιαῦτα πράγματ' ἀφίξε-
σθαι, οὐδέ γ' ἴσως [s] Συρακόσιοι τὸ πάλαι δημοκρατού-
μενοι [t] καὶ φόρους Καρχηδονίους πραττόμενοι καὶ πάντων
τῶν περὶ αὐτοὺς ἄρχοντες [u] καὶ ναυμαχίᾳ νενικηκότες 20
[x] ἡμᾶς ὑφ' ἑνὸς γραμματέως, [ὃς ὑπηρέτης [y] ἦν], ὥς
179 φασι, [z] τυραννήσεσθαι. οὐδέ γ' ὁ νῦν ὢν Διονύσιος ἤλπι-
σεν ἄν ποτ' ἴσως πλοίῳ στρογγύλῳ καὶ στρατιώταις ὀλί-
γοις Δίωνα ἐλθόντα [a] ἐφ' αὑτὸν [b] ἐκβαλεῖν [c] τὸν τριήρεις
πολλὰς καὶ ξένους καὶ πόλεις κεκτημένον. ἀλλ', οἶμαι, 25
τὸ μέλλον ἄδηλον [d] πᾶσιν ἀνθρώποις, καὶ μικροὶ καιροὶ
μεγάλων πραγμάτων αἴτιοι γίγνονται. διὸ δεῖ μετριά-
ζειν ἐν ταῖς [e] εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον
φαίνεσθαι.

180 Πολλὰ δ' ἄν τις ἔχοι λέγειν ἔτι καὶ [f] διεξιέναι περὶ 507
τοῦ μηδαμῇ μηδὲ καθ' ἓν τοῦτον ἔχειν καλῶς τὸν νόμον
μηδὲ συμφέρειν ὑμῖν· ἀλλ' ἵν' ἐν κεφαλαίῳ τοῦτο μάθητε
κἀγὼ παύσωμαι λέγων, [g] τάδε ποιήσατε. σκέψασθε

[q] τί om. k.r.s. in γρ. habet F.
[r] τοιοῦτ' Y.O.k.r.s. vulg. τοιοῦτον.
[s] Συρακόσιοι s. συρρακούσιοι k.r.t. vulg. Συρακούσιοι.
[t] καὶ—πραττόμενοι om. k.s.
[u] καὶ ναυμαχίᾳ] ναυμαχίαν r.
[x] ἡμᾶς] ὑμᾶς k.
[y] [ἦν] ὢν r.
[z] τυραννήσεσθαι S.Y.O.r. vulg. τυραννηθήσεσθαι.
[a] ἐφ' αὑτὸν F.S.Y.O.t.v. vulg. ἐπ' αὐτὸν.
[b] ἐκβαλεῖν] ἐκκαλεῖν O.
[c] τὸν] καὶ t.
[d] πᾶσιν] ἅπασιν k. s
[e] εὐπραξίαις] εὐπροσεξίαις k.
[f] διεξιέναι] διεξεῖναι Y. O.
[g] τάδε] δὴ F. t. v.

παρ' ἄλληλα καὶ λογίσασθε πρὸς ὑμᾶς αὐτούς, [h]τί συμβήσεται καταψηφισαμένοις ὑμῖν τοῦ νόμου καὶ τί μή· εἶτα φυλάττετε καὶ μέμνησθε, ἃ ἂν ὑμῖν ἐξ ἑκατέρου φανῇ, ἵν' ἕλησθε τὰ κρείττω. ἂν μὲν τοίνυν καταψηφίσησθε, ὥσπερ ἡμεῖς κελεύομεν, οἱ μὲν ἄξιοι [i]παρ' ὑμῶν τὰ δίκαια ἕξουσιν, εἰ δέ τις ἔστ' ἀνάξιος, ὡς ἔστω, [k]πρὸς τῷ τὴν δωρεὰν ἀφαιρεθῆναι δίκην [l]ἣν ἂν ὑμῖν δοκῇ δώσει κατὰ [m]τὸν παρεισενηνεγμένον νόμον· ἡ δὲ πόλις πιστή, δικαία, πρὸς [n]ἅπαντας ἀψευδὴς φανήσεται. ἐὰν δ' ἀποψηφίσησθε ὁ μὴ [o]ποιήσαιτε, οἱ μὲν χρηστοὶ διὰ τοὺς φαύλους [p]ἀδικήσονται, οἱ δ' ἀνάξιοι συμφορᾶς ἑτέροις αἴτιοι γενήσονται, δίκην δ' οὐδ' ἠντινοῦν αὐτοὶ δώσουσιν, ἡ δὲ πόλις τἀναντία ὧν εἶπον ἀρτίως, δοξει ἄπιστος, φθονερά, φαύλη παρὰ [q]πᾶσιν εἶναι. οὔκουν ἄξιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοσαύτην βλασφημίαν ἀντὶ καλῶν καὶ προσηκόντων ὑμῖν [r]ἀγαθῶν ἐλέσθαι. καὶ γὰρ ἕκαστος ὑμῶν ἰδίᾳ μεθέξει τῆς δόξης τῶν κοινῇ γνωσθέντων. οὐ γὰρ [s]ἀγνοεῖ [t]τοῦτ' οὐδεὶς οὔτε τῶν [u]περιεστηκότων οὔτε τῶν ἄλλων, ὅτι [x]ἐν μὲν τῷ δικαστηρίῳ Λεπτίνης πρὸς [y]ἡμᾶς ἀγωνίζεται, ἐν δὲ τῇ τῶν καθημένων [z]ὑμῶν ἑνὸς ἑκάστου γνώμῃ φιλανθρωπία πρὸς φθόνον καὶ δικαιοσύνη πρὸς κακίαν καὶ πάντα τὰ χρηστὰ πρὸς τὰ [a]πονηρὰ ἀντιτάτ-

[h] τί—καταψηφισαμένοις] τί τε —καταψηφισμένοις F. t. v.

[i] παρ' ὑμῶν τὰ δίκαια S.Y.O.r. τὰ δίκαια παρ' ὑμῶν s. vulg. τὰ δίκαια παρ' ὑμῶν.

[k] πρὸς τῷ] πρὸς τὸ s.

[l] ἣν om. r.

[m] τὸν om. pr. s.

[n] ἅπαντας] ἅπαντα S. Y. O. r.

[o] ποιήσαιτε] ποιησαῖτε S. ποιήσητε k. r. s.

[p] ἀδικήσονται] ἀδικηθήσονται k. r. s.

[q] πᾶσιν] ἅπασιν s.

[r] ἀγαθῶν om. F.

[s] ἀγνοεῖ] ἀγνοεῖν O. ἀγνοεῖ γε F. v. ἀγνοεῖ τε t.

[t] τοῦτ' om. F.

[u] περιεστηκότων] περιεστηκώτων r.

[x] ἐν μὲν] νῦν μὲν F.

[y] ἡμᾶς] ὑμᾶς k. ἡμᾶς s.

[z] ὑμῶν] ἡμῶν r.

[a] πονηρὰ F.Y.O.r.t.v. vulg. πονηρότατα.

183 τεται. ὧν τοῖς βελτίοσι πειθόμενοι, καὶ κατὰ [b] ταὐτὰ
[c] ἡμῖν θέμενοι τὴν ψῆφον, αὐτοί τε ἃ προσήκει δόξετ' ἐγ- 508
νωκέναι, καὶ τῇ πόλει τὰ [d] κράτιστ' ἔσεσθ' ἐψηφισμένοι,
κἄν [e] τις ἄρ' ἔλθῃ ποτὲ καιρός, οὐκ ἀπορήσετε τῶν ἐθελη-
σόντων ὑπὲρ [f] ὑμῶν κινδυνεύειν. ὑπὲρ οὖν τούτων ἁπάντων
οἶμαι δεῖν [g] ὑμᾶς σπουδάζειν καὶ προσέχειν τὸν νοῦν, ὅπως
μὴ βιασθῆτε [h] ἁμαρτεῖν. πολλὰ γὰρ ὑμεῖς ὦ ἄνδρες
Ἀθηναῖοι πολλάκις οὐκ ἐδιδάχθητε, ὡς ἔστι δίκαια, ἀλλ'
ἀφῃρέθητε ὑπὸ τῆς τῶν λεγόντων κραυγῆς καὶ βίας καὶ
184 ἀναισχυντίας. ὃ μὴ [i] πάθητε νῦν· οὐ γὰρ ἄξιον. ἀλλ' 10
ἃ δίκαια ἐγνώκατε, ταῦτα [k] φυλάττετε καὶ [l] μνημο-
νεύετε, ἕως ἂν ψηφίσησθε, ἵν' εὔορκον θῆσθε τὴν ψῆφον
κατὰ τῶν [m] τὰ πονηρὰ συμβουλευόντων. θαυμάζω δ'
ἔγωγε, εἰ τοῖς μὲν τὸ νόμισμα διαφθείρουσι θάνατος παρ'
ὑμῖν ἐστὶν ἡ ζημία, τοῖς δ' ὅλην τὴν πόλιν κίβδηλον καὶ 15
ἄπιστον ποιοῦσι λόγον δώσετε. οὐ δή πού γ', ὦ Ζεῦ καὶ
θεοί.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐ-
δὲν ἀγνοεῖν τῶν εἰρημένων.

[b] ταὐτὰ] ταῦτα t.v. ταῦθ' k.s.
[c] ἡμῖν] ὑμῖν t.
[d] κράτιστ' S.Y.O.k.r. et Anecd. κράτιστα p. 179, 30. κάλλιστα F. vulg. κάλλιστα.
[e] τις om. pr. Y.
[f] ὑμῶν] ἡμῶν k.
[g] ὑμᾶς] ὑμᾶς ἅπαντας r.
[h] ἁμαρτεῖν] ἁμαρτάνειν S.Y.O. et γρ. F.
[i] πάθητε] vulg. πάθοιτε.
[k] φυλάττετε] φυλάξατε S.Y.O. k. r. s.
[l] μνημονεύετε] μνημονεύσατε k.s.
[m] τὰ om. Y. O.

ΚΑ.

ΚΑΤΑ ΜΕΙΔΙΟΥ ΠΕΡΙ ΤΟΥ ΚΟΝΔΥΛΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἑορτὴν ἦγον εἰ Ἀθηναῖοι Διονύσῳ, [a] ἣν ἐκάλουν ἀπὸ τοῦ θεοῦ Διονύσια· ἐν δὲ ταύτῃ τραγικοὶ καὶ κωμικοὶ καὶ αὐλητῶν χοροὶ διηγωνίζοντο. καθίσταν δὲ τοὺς χορεὺς αἱ φυλαί, δέκα τιγχάνουσαι· χορηγὸς δὲ ἦν ἑκάστης φυ- 509
λῆς ὁ τὰ ἀναλώματα παρέχων τὰ περὶ τὸν χορόν. ὁ τοίνυν Δημοσθένης τῆς ἑαυτοῦ φυλῆς, τῆς Πανδιονίδος, ἐθιλοντὴς ὑπέστη χορηγός. ἐχθρᾷ δὲ [b] κεχρημένος τῷ Μειδίᾳ, τῶν πλουσίων ἑνί, φησὶ [c] μὲν καὶ ἄλλα [d] παρὰ τὴν χορη- 5
γίαν αὐτοῦ πεποιθέναι κακῶς, τὸ δὲ τελευταῖον ἐπὶ τῆς ὀρχήστρας κονδύλους ἔλαβεν ἐναντίον πάντων τῶν θεατῶν. ἐπὶ [e] τούτῳ κατηγόρησεν ἐν τῷ δήμῳ τοῦ Μειδίου ὡς ἠσεβηκότος εἰς τὴν ἑορτὴν καὶ τὸν Διόνυσον· ἐκαλεῖτο δὲ ἡ 10
τοιαύτη κατηγορία προβολή. ὁ μὲν οὖν δῆμος κατέγνωκε τοῦ Μειδίου τὴν ἀσέβειαν, ἀγωνίζονται δὲ νῦν ἐν δικαστηρίῳ περὶ τῆς τοῦ δήμου καταχειροτονίας· ἔδει γὰρ καταγνόντος τοῦ δήμου δικαστήριον κρῖναι δεύτερον. ἔστιν οὖν ὁ ἀγὼν περὶ ὑποτιμήσεως· οὐ γὰρ περὶ τοῦ μηδὲν ἀδικεῖν ὁ Μειδίας ἀγωνίζεται, 15
ἀλλὰ περὶ [f] τοῦ τιμήματος, πότερον ὕβρεως ἢ ἀσεβείας ὀφείλει δίκην. ὁρικὸς οὖν ὁ λόγος τῇ στάσει, τοῦ μὲν Μειδίου λέγοντος ὕβριν εἶναι τὸ πραχθέν, ἐπειδὴ [g] τετύπτηκεν ἄνδρα ἐλεύθερον, τοῦ δὲ Δημοσθένους ἀσέβειαν, ἐπειδὴ 20
χορηγὸς ὁ τετυπτημένος καὶ ἐν Διονυσίοις καὶ ἐν τῷ θεάτρῳ· διὰ γὰρ τούτων καὶ ἠσεβηκέναι τὸν Μειδίαν φησίν· ὡς εἶναι διπλοῦν ὄρον κατὰ συλλῆψιν, ὅταν μὴ ἐκβάλλοντες τὸ ὑπὸ τῶν ἀντιδίκων εἰσαγόμενον ὄνομα καὶ ἕτερον αὐτῷ προστιθῶμεν, ὥσπερ ἐνταῦθα ὁ Δημοσθένης, τοῦ Μειδίου λέγοντος ὑβρι- 25
κέναι, οὐκ ἐκβάλλει μὲν αὐτὸ τὴν ὕβριν, προστίθησι δὲ αὐτῇ καὶ τὴν ἀσέβειαν.

ΛΑΛΩΣ. 510

Διάφοροι παρὰ Ἀθηναίοις ἦγοντο ἑορταί, ἐν αἷς ἦν τὰ Παναθήναια, ἅπερ

[a] ἦν] ἐν ᾗ F.
[b] κεχρημένος] κεκτημένος t.
[c] μὲν] μὲν γὰρ F.
[d] παρὰ] ὑπὸ F. Y. t. v. vulg. ἐπί.
[e] τούτῳ] τοῦτο F. Y. v.
[f] τοῦ om. F. Y. t. v.
[g] τετύπτηκεν F. Y. t. v. vulg. ἔτυψεν. Et paullo infra τετυπτημένος Y. t. v. τετυπημένος F. pro vulg. τυφθείς.

ἦν διπλᾶ, μικρά τε καὶ μεγάλα· καὶ [h]τὰ μὲν κατὰ πενταετηρίδα ἐτελεῖτο, τὰ δὲ μικρὰ κατὰ [i]τριετηρίδα. ἐν μὲν οὖν τοῖς μεγάλοις γυμνάσιά τινα ἐγίνοντο, καὶ προὐβάλλετο ἀφ' ἑκάστης φυλῆς εἷς γυμνασίαρχος, λαμβάνων χρήματα εἰς τὸ γυμνάζειν τοὺς ἐπιτελέσοντας τὴν ἑορτήν, καὶ [k]δώσων τὰς τούτων δαπάνας τοῖς τῆς ἑαυτοῦ φυλῆς. ἤγετο δὲ παρ' αὐτῶν καὶ τὰ Διονύσια, καὶ ταῦτα διπλᾶ, μικρά τε καὶ μεγάλα. καὶ τὰ μὲν μικρὰ ἤγετο κατ' ἔτος, τὰ δὲ μεγάλα διὰ τριετηρίδος ἐν τοῖς ληναίοις, ἐν οἷς προὐβάλλετο χορηγὸς ἀφ' ἑκάστης φυλῆς πρὸς τὸ τρέφειν χοροὺς παίδων τε καὶ ἀνδρῶν· ἐλάμβανε δὲ χρήματα εἰς τοῦτο. ἐπιστάσης δὲ τῆς ἑορτῆς ἠγωνίζοντο πρὸς ἀλλήλους οἱ χορηγοὶ καὶ ἤριζον, ὕμνους εἰς τὸν Διόνυσον ᾄδοντες, καὶ τῷ νικῶντι τρίπους τὸ ἆθλον ἦν, ἐπειδὴ τὸν αὐτὸν Ἥλιον καὶ Ἀπόλλωνα καὶ Διόνυσον ᾄγουσι. παυομένης δὲ τῆς ἑορτῆς ἐν τῷ πρώτῳ μηνὶ προὐβάλλοντο οἱ χορηγοὶ τῆς μελλούσης ἑορτῆς. ἐν τοίνυν τῷ παρόντι καιρῷ προεβλήθησαν οἱ χορηγοὶ ἑκάστης φυλῆς, ἐσπάνιζε δὲ ἡ Πανδιονίς, ἡ τοῦ Δημοσθένους φυλή, χορηγοῦ, καὶ ἠμέλησε τὸ πρῶτον ἔτος, τὸ δεύτερον, τὸ τρίτον. ἔθος δὲ ἦν πρὸ μηνὸς τῆς ἑορτῆς τὸν ἄρχοντα συνάγειν τοὺς χορηγοὺς ἑκάστης φυλῆς εἰς τὸ λαχεῖν περὶ τῶν αὐλητῶν, καὶ ἐλθόντων τῶν χορηγῶν ἑκάστης φυλῆς πλὴν τοῦ τῆς Πανδιονίδος, ἰδὼν ὁ Δημοσθένης τὴν ἑαυτοῦ φυλὴν ἀτιμαζομένην παρὰ πάντων τῷ μὴ κεκτῆσθαι χορηγόν, αὐτεπάγγελτον καὶ αὐτοχειροτόνητον ἑαυτὸν χορηγὸν τῇ φυλῇ καθίστησι. κἀντεῦθεν ἐπῃνεῖτο παρὰ πάντων. καὶ δὴ λαχόντος αὐτοῦ περὶ τῶν αὐλητῶν συνέπραξεν αὐτῷ ἡ τύχη τῇ προθυμίᾳ, καὶ ἔλαχεν αὐτῷ ὁ κάλλιστος τῶν αὐλητῶν ὁ Τηλεφάνης. θέλων οὖν ὁ Δημοσθένης κοσμῆσαι τὸν αὐτοῦ χορὸν πλέον τῶν ἄλλων, ἐποίησεν αὐτὸν φορέσαι χρυσοῦς στεφάνους. Μειδίας δέ, τῶν πολιτευομένων τις, ὢν σφόδρα πλούσιος καὶ πολλὰ δυνάμενος, ἐχθρὸς τῷ Δημοσθένει γεγονὼς διὰ τὰς αἰτίας ἃς ἐρεῖ μετὰ μικρὸν ἐν τῷ λόγῳ, πολλάκις καὶ ἄλλα παρηνώχλει καὶ ἐπηρέαζε, καὶ δὴ καὶ ὡς ὁ Δημοσθένης λέγει, ὅτι ὀμνύντων τῶν κριτῶν τῷ καλῶς ᾄσαντι δοῦναι τὴν νίκην, νύττων αὐτοὺς ὁ Μειδίας ἔλεγε "πλὴν Δημοσθένους·" ὅθεν ὁ Δημοσθένης ἐβόα ἐλέγχων αὐτόν. καὶ τελευτῶν εἰς τοιαύτην ἦλθε μανίαν ὁ Μειδίας, ὥστε ἐν τῷ θεάτρῳ κόνδυλον αὐτῷ παρασχεῖν καὶ τὴν ἱερὰν περιῤῥῆξαι ἐσθῆτα. καὶ ἰδὼν ὁ δῆμος ἐπεσύριττεν· ὃ παρὰ τοῖς παλαιοῖς ἐπὶ κακοῦ ἐλαμβάνετο. ἀπελθὼν δὲ ὁ Δημοσθένης ἐσκέψατο τὸν παρόντα λόγον, κατηγορῶν αὐτοῦ δημοσίων ἀδικημάτων· ἐν ᾧ καὶ διαβάλλει τὸν Μειδίαν ὡς κλέψαντα τῶν χρυσῶν στεφάνων ὀντινοῦν παρὰ τοῦ χρυσοχόου. ἄγει τοίνυν αὐτὸν ἐπὶ τὴν κρίσιν ὁ ῥήτωρ, καταφορᾷ πλείστῃ καὶ τόπῳ σφοδρῷ προσχρησάμενος· ἡ γὰρ τοῦ Μειδίου [l]ποιότης καὶ ἡ τῶν πραγμάτων προπέτεια τῇ κατα-

[h] τὰ μὲν t. v. vulg. τὰ μὲν μεγάλα.

[i] τριετηρίδα] τριετίδα t.

[k] δώσων τὰς] Ita correxi librorum δώσοντας.

[l] ποιότης — προπέτεια] Malim προπέτεια—ποιότης.

δρομῇ συμμαχεῖ. ἡ δὲ στάσις ὁρική, ζητούντων ἡμῶν ἴδιον ὄνομα τῷ ἐγκλήματι· ὁ μὲν γὰρ Μειδίας ἰδιωτικόν, ὁ δὲ ῥήτωρ δημόσιον εἶναι κατασκευάζει. ὅρος γάρ ἐστιν, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς τὸ τέλεον τοῦ ὀνόμα- 512
τος τοῦ ἐπιτεθησομένου τῷ πράγματι. ὡς ἐπὶ τοῦ τὸ κενοτάφιον ὀρύξαντος καὶ κρινομένου τυμβωρυχίας. ἐνταῦθα γὰρ πέπρακται μὲν τὸ ὀρύξαι, λείπει δὲ τὸ τάφον ὀρύξαι. λέγει γὰρ ὁ φεύγων "ὤρυξα μέν, οὐ τάφον δέ· οὐ γὰρ εὗρον "νεκρόν." ὁ δὲ διώκων ἀντιφέρει, ὅτι "τὸ διορύξαι κενοτάφιον τυμβωρυχίαν "καλῶ· οὐ γὰρ αὐτὸς ᾔδεις, ὅτι κενοτάφιόν ἐστιν, ἀλλ' ὡς τάφον ὀρύττων, "ἐπεὶ κενοτάφιον εὕρηται, ἀξιοῖς μὴ δοῦναι δίκην." οὕτω κἀνταῦθα πέπρακται μὲν τὸ τύψαι τὸν Δημοσθένην, λείπει δὲ τὸ καλέσαι τὸν αὐτοχειροτόνητον χορηγόν. ὁ γὰρ Δημοσθένης λέγει ὅτι "χορηγὸν ἔτυψας," ὁ δὲ Μειδίας ὅτι "χορηγὸν οὐκ ἔτυψα (αὐτοχειροτόνητος γὰρ ἦσθα) ἀλλ' ἰδιώτην· τοῦτο "δὲ οὐκ ἔστι δημόσιον ἀδίκημα." διπλοῦς δὲ ὁ ὅρος εἴδους τοῦ κατὰ σύλληψιν. κατὰ σύλληψιν δέ ἐστιν, ὅταν ὁ διώκων τὴν αὐτοῦ δικαιολογίαν καὶ τὴν τοῦ φεύγοντος εἰς ἓν [m] συνάγῃ· ἔνθα γὰρ οὐ τὸ μὲν ἐκβάλλει τις, τὸ δὲ δέχεται, ἀλλ' ἄμφω συγκροτεῖ καὶ συλλαμβάνει, τοῦθ' ὑπάγομεν τῷ εἴδει. φαίνεται οὖν ὁ ῥήτωρ ἐν πολλοῖς τοῦτο ποιῶν μέρεσι, καὶ φάσκων ἅμα αὐτῷ καὶ τὴν πόλιν ὑβρίζεσθαι. κεφάλαια δὲ τὰ τῇ τάξει προσήκοντά ἐστι τῷ λόγῳ. τὰ δὲ προοίμια καταφορικά, [n] ὑπερβολὴν ἔχοντα πολλὴν καὶ τῶν περιστατικῶν αὔξησιν· τὸ γὰρ "[o] πρὸς ἅπαντας" καὶ οὐ πρὸς ἐμὲ μόνον καὶ τὸ "ἀεὶ" τὴν μελέτην τῆς ἀτοπίας καὶ οὐ πρὸς ἅπαξ ἐκ τύχης ἡμαρτηκότα δείκνυσι.

Κεφάλαια δὲ τοῦ λόγου ταῦτα, ὅρος, ἀνθορισμός, γνώμη νομοθέτου, συλ- 513
λογισμός, πηλικότης, πρός τι, μία τῶν ἀντιθετικῶν, μεθ' ἣν τὸ μεταληπτικὸν καὶ ἀντιληπτικόν. ἐνταῦθα διὰ τεσσάρων ὅρων ὁ ῥήτωρ ἐμπλέκει τὴν κατηγορίαν, δεικνύων ὅτι δημοσίᾳ Μειδίας ἠδίκησεν. ἔστι δὲ ὁ πρῶτος ὅρος οὗτος, ὅτι οἱ ἐν ἑορτῇ ἀδικοῦντες δημόσιον ἀδίκημα ποιοῦσι. δεύτερος ὅρος, καὶ μάλιστα οἱ χορηγὸν ἀδικοῦντες. τρίτος ὅρος, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν ἀδίκημα. παραλογίζεται δὲ ἐνταῦθ' ἐκ τῆς ὁμωνυμίας τῆς ὕβρεως· λέγεται γὰρ ὕβρις ἡ δι' [p] αἰσχρουργίας καὶ ἡ διὰ λόγων καὶ ἡ διὰ πληγῶν, δημόσιον δὲ ἀδίκημα ἡγοῦντο τὴν αἰσχρουργίαν· τῇ οὖν ὁμωνυμίᾳ παρελογίσατο. τέταρτος ὅρος, ὅτι ὁ πάντας ἀεὶ ὑβρίζων δημοσίᾳ ἀδικεῖ· εἰ γὰρ τὸ δημόσιον ἐκ πάντων συνίσταται, ἄρα δημόσιον τἀδίκημα. τίθησι δὲ σπερματικῶς ἐν τῷ προοιμίῳ τοὺς τέτταρας ὅρους. ἐκ τούτων εἰσὶν ἐν τοῖς ἀγῶσι τρεῖς, τὸν δὲ τέταρτον τίθησιν ἐν τῇ παρεκβάσει, δικαίως· λέγων γὰρ ὅτι ὁ πάντας ὑβρίζων δημοσίᾳ ἀδικεῖ, παρεξέρχεται λέγων τὸν πρότερον αὐτοῦ βίον. ἔχει δὲ ὁ λόγος οὗτος δύο προοίμια. τὸ πρῶτον ἐκ διαβολῆς εἰλημμένον τοῦ ἐναντίου, καὶ ἐκ συστάσεως τοῦ

[m] συνάγῃ] συναγάγῃ t. v.
[n] ὑπερβολὴν] περιβολὴν t. v.
[o] Ante πρὸς ἅπαντας expunxi οὐ.
[p] αἰσχρουργίας] αἰσχρολογίας t. v.

εἰκείου προσώπου, καὶ ἐκ προσοχῆς. ἔστι δὲ ἡ πρότασις διμερής, καὶ τὸ μὲν πρῶτον μέρος ἀκατάσκευον, τὸ δὲ δεύτερον καὶ αὐτὸ διμερές. καὶ κατασκευάζει τούτων ἑκάτερα. εἶτα ἐπιφέρει τὸ συμπέρασμα, ἐν ᾧ ἐστὶν ἡ προσοχή.

Ὅρος κατὰ σύλληψιν. λέγεται δὲ οὕτως, ὅταν τοῦ φεύγοντος ἀντονομάζοντος ὁ διώκων καὶ τούτῳ κἀκείνῳ ὑπεύθυνον αὐτὸν εἶναι λέγῃ τῷ ὀνόματι, ὥστε διπλοῦς ἐστίν, ἐπεὶ δύο περιέχει ἐγκλήματα. παράδειγμα ὁ στρατηγὸς ὁ βιασάμενος τὴν παρατεθεῖσαν κόρην ὑπὸ τοῦ πρεσβευτοῦ, καὶ δημοσίων ἀδικημάτων κρινόμενος, καὶ ἀποκρινόμενος μὴ δημοσίᾳ ἠδικηκέναι ἀλλὰ βιάσασθαι, ὁ δὲ πρεσβευτὴς ἀμφοτέροις αὐτὸν φάσκων ὑπεύθυνον εἶναι. τὸ προοίμιον ἀπὸ τοῦ ἀντιδίκου, ὁ δὲ λόγος δι' ἑνὸς εἴδους προάγεται, ἤτοι δικανικοῦ· τούτου γὰρ καὶ τὸ τέλος τὸ δίκαιον καὶ ἡ κατασκευὴ διὰ τοῦ δικαίου.

514 Τὴν μὲν ἀσέλγειαν, [q] ὦ ἄνδρες δικασταί, καὶ τὴν ὕβριν, ἣ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὕθ' ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν [r] οἶμαι. ἐγὼ δ', ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος ὑβρισθεὶς προείλετο πρᾶξαι, τοῦτο καὶ αὐτὸς ἐποίησα, καὶ [s] προὐβαλόμην ἀδικεῖν [t] τουτονὶ περὶ τὴν ἑορτήν, οὐ μόνον πληγὰς ὑπ' αὐτοῦ λαβὼν τοῖς Διονυσίοις, ἀλλὰ καὶ ἄλλα πολλὰ καὶ βίαια
2 παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν. ἐπειδὴ δὲ καλῶς καὶ τὰ δίκαια ποιῶν ὁ δῆμος ἅπας οὕτως ὠργίσθη καὶ παρῳξύνθη καὶ σφόδρα ἐσπούδασεν ἐφ' οἷς ἠδικημένῳ [u] μοι συνήδει, ὥστε πάντα ποιοῦντος τούτου καί τινων ἄλλων 515 ὑπὲρ αὐτοῦ οὐκ ἐπείσθη οὐδ' [x] ἀπέβλεψεν εἰς τὰς οὐσίας τὰς τούτων οὐδὲ τὰς ὑποσχέσεις, ἀλλὰ μιᾷ γνώμῃ κατεχειροτόνησεν αὐτοῦ, πολλοί μοι προσιόντες, ὦ [y] ἄνδρες δικασταί, καὶ τῶν ἐν τῷ δικαστηρίῳ νῦν ὄντων ὑμῶν καὶ
3 τῶν ἄλλων πολιτῶν ἠξίουν καὶ παρεκελεύοντο ἐπεξελθεῖν καὶ παραδοῦναι τοῦτον εἰς ὑμᾶς, ὡς μὲν ἐμοὶ δοκεῖ, δι' ἀμφότερα, ὦ ἄνδρες [z] Ἀθηναῖοι, νὴ τοὺς θεούς, καὶ δεινὰ

[q] ὦ ἄνδρες δικ.] ἀεὶ Anecd. p. 451, 13. ὦ δικασταί k. ὦ ἀθηναῖοι r.
[r] οἶμαι F. S. k. et complures: vulg. οἴομαι.
[s] προὐβαλόμην] προὐβαλλόμην r.
[t] τουτονὶ] τοῦτον P. S.
[u] μοι ante συνήδει om. F.
[x] ἀπέβλεψεν] ὑπέβλεψεν r.
[y] ἄνδρες om. r.
[z] Ἀθηναῖοι om. r.

πεπονθέναι νομίζοντες ἐμέ, καὶ δίκην ἅμα βουλόμενοι λαβεῖν ὧν ἐπὶ τῶν ἄλλων ἐτεθέαντο θρασὺν ὄντα καὶ
4 βδελυρὸν καὶ οὐδὲ καθεκτὸν ἔτι. οὕτω δὲ τούτων ἐχόντων, ὅσα μὲν παρ' ἐμοῦ προσῆκε φυλαχθῆναι, πάντα δικαίως [a]ὑμῖν τετήρηται, καὶ κατηγορήσων, ἐπειδή τις εἰσάγει, πάρειμι, ὡς ὁρᾶτε, πολλὰ μὲν ὦ ἄνδρες [b]Ἀθηναῖοι χρή-
5 ματ', ἐξὸν μοι λαβεῖν ὥστε μὴ κατηγορεῖν, οὐ λαβών, πολλὰς [c]δὲ δεήσεις καὶ χάριτας καὶ νὴ Δι' ἀπειλὰς ὑπομείνας. ἃ δ' ἐν ὑμῖν μετὰ ταῦτά ἐστιν ὑπόλοιπα,
6 [d]ὅσῳ πλείοσιν οὗτος ἠνώχληκε καὶ [e]περιήγγελκεν (εὑρὼν γὰρ αὐτὸν ἄρτι πρὸ τῶν δικαστηρίων οἷα ἐποίει), [f]τοσούτῳ μᾶλλον [g]ἐλπίζω τὸ δίκαιον ἕξειν. οὐ γὰρ [h]ἂν καταγνοίην ὑμῶν οὐδενὸς οὔθ' ὡς, περὶ ὧν πρὸς ἐμὲ ἐσπουδάσατε αὐτοὶ [i]πρότερον, τούτων ἀμελήσετε, οὔθ' ὡς, ἵνα Μειδίας [k]ἀδεῶς τὸ λοιπὸν ὑβριζῇ, ψηφιεῖταί τις ὑμῶν
6 ὁμωμοχὼς ἄλλο τι πλὴν ὅ τι ἂν [l]δίκαιον ἡγῆται. εἰ μὲν οὖν, ὦ ἄνδρες [m]Ἀθηναῖοι, παρανόμων ἢ παραπρεσβειας ἤ [n]τινος ἄλλης [o]τοιαύτης αἰτίας [p]ἤμελλον αὐτοῦ κατηγορεῖν, οὐδὲν ἂν ὑμῶν ἠξίουν δεῖσθαι, νομίζων τῷ μὲν κατηγόρῳ περὶ τῶν τοιούτων προσήκειν [q]ἐξελέγχειν μόνον, 516
τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι. ἐπειδὴ δὲ τούς τε κριτὰς [r]διαφθειραντος [s]τούτου καὶ διὰ τοῦτο τῆς φυλῆς

[a] ὑμῖν] ἡμεῖ r.
[b] Ἀθηναῖοι om. r.
[c] δὲ ante δεήσεις om. S. et pr. O.
[d] ὅσῳ] ὅσῳ γάρ Y. O. s. t. v.
[e] περιήγγελκεν S.Y.O.k.r. περιήγγειλεν s. t. v. παρήγγελκεν F. P.
[f] τοσούτῳ] τοσοῦτο O.
[g] ἐλπίζω τὸ δίκαιον] τὸ δίκαιον ἐλπίζω r.
[h] ἂν om. k.
[i] πρότερον om. S. k. r.
[k] ἀδεῶς post λοιπὸν ponunt k.r.
[l] δίκαιον ἡγῆται] ἡγῆται δίκαιον F. t. v.
[m] Ἀθηναῖοι om. r.
[n] τινὸς ἄλλης] ἄλλης τινὸς k. r.
[o] τοιαύτης om. S. post κατηγορεῖν ponunt P. Y. O. s. utroque loco ponit t.
[p] ἤμελλον] ἔμελλον P. v.
[q] ἐξελέγχειν] ἐλέγχειν S. k. r.
[r] διαφθείραντος] διαφθειροντος v.
[s] τούτου] τούτου τότε F. k. r. t. v.

7 ἀδίκως ἀφαιρεθείσης τὸν τρίποδα, καὶ αὐτὸς πληγὰς εἰληφὼς καὶ ὑβρισμένος οἷα οὐκ οἶδ' εἴ τις [t]ἄλλος πώποτε χορηγὸς ὑβρισθη, ἣν ὑπὲρ τούτων [u]ἀγανακτήσας καὶ συνεργισθεὶς καταχειροτονίαν ὁ δῆμος ἐποιήσατο, ταύτην εἰσέρχομαι, οὐκ [x]ὀκνήσω καὶ δεῖσθαι. εἰ γὰρ οἷόν τε τοῦτ' εἰπεῖν, ἐγὼ νῦν φεύγω, εἴπερ ὑβρισθέντα μηδε-
8 μιᾶς δίκης [y]τυχεῖν ἐστί τις συμφορά. δέομαι οὖν ὑμῶν [z]ἁπάντων, ὦ [a]ἄνδρες [b]δικασταί, καὶ ἱκετεύω πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου λέγοντος, ἔπειτ', ἐὰν ἐπιδείξω Μειδίαν τουτονὶ μὴ μόνον εἰς ἐμὲ ἀλλὰ καὶ εἰς ὑμᾶς [c]καὶ εἰς τοὺς νόμους καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑβρικότα,
9 βοηθῆσαι καὶ ἐμοὶ καὶ ὑμῖν αὐτοῖς. καὶ γὰρ οὕτω πως ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι· ὕβρισμαι μὲν ἐγὼ καὶ προπεπηλάκισται τὸ σῶμα τοὐμὸν τότε, ἀγωνιεῖται δὲ καὶ κριθήσεται τὸ πρᾶγμα νυνί, πότερον ἐξεῖναι δεῖ [d]τὰ τοιαῦτα ποιεῖν καὶ εἰς τὸν τυχόνθ' ὑμῶν ἀδεῶς ὑβρίζειν, ἢ μή. εἴ τις οὖν ὑμῶν ἄρα καὶ τὸν [e]ἔμπροσθε χρόνον [f]τῶν ἰδίων [g]τινὸς ἕνεκα γίγνεσθαι τὸν ἀγῶνα τόνδ' ὑπελάμ-
10 βανεν, ἐνθυμηθεὶς νῦν ὅτι δημοσίᾳ συμφέρει μηδενὶ μηδὲν ἐξεῖναι [h]τοιοῦτο ποιεῖν, ὡς ὑπὲρ κοινοῦ τοῦ πράγματος [i]ὄν-
τος καὶ προσέχων ἀκουσάτω, καὶ τὰ φαινόμενα αὐτῷ [k]δικαιότατ' εἶναι ταῦτα ψηφισάσθω. ἀναγνώσεται [l]δὲ πρῶ-

[t] ἄλλος om. k.
[u] ἀγανακτήσας—ταύτην om. pr. k. r.
[x] ὀκνήσω] ὀκνήσων Y. et correctus v.
[y] τυχεῖν om. pr. Y.
[z] ἁπάντων om. F.
[a] ἄνδρες om. k.
[b] δικασταί] ἀθηναῖοι F.O.s.t.v.
[c] καὶ εἰς τοὺς νόμους om. t. v.
[d] τὰ ante τοιαῦτα om. Y.O.r.s.
[e] ἔμπροσθε P.S.Y.s. ceteri ἔμπροσθεν.
[f] τῶν om. r.
[g] τινὸς ἕνεκα] ἕνεκά τινος k. r. τινὸς εἵνεκα P. Y.
[h] τοιοῦτο] τοῦτο F. t. v. τοιοῦτόν τι k. r.
[i] ὄντος om. pr. Y.
[k] δικαιότατ'] δικαιότερ' P. Y. O. s.
[l] δὲ om. P. S. Y. O. s.

τον [m]μὲν ὑμῖν τὸν νόμον, καθ' ὃν εἰσὶν αἱ προβολαί· μετὰ δὲ ταῦτα καὶ περὶ [n]τῶν ἄλλων πειράσομαι [o]διδάσκειν. Λέγε τὸν νόμον. 517

11 ΝΟΜΟΣ.

[p]Τοὺς πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐν Διονύσου τῇ ὑστεραίᾳ [q]ἐν Πανδίονι. ἐν δὲ ταύτῃ χρηματίζειν πρῶτον μὲν περὶ ἱερῶν, ἔπειτα τὰς [r]προβολὰς [s]παραδιδότωσαν τὰς γεγενημένας ἕνεκα τῆς πομπῆς ἢ τῶν ἀγώνων τῶν ἐν τοῖς Διονυσίοις, ὅσαι ἂν μὴ ἐκτετισμέναι ὦσιν.

12 Ὁ μὲν νόμος οὗτός ἐστιν, ὦ [t]ἄνδρες Ἀθηναῖοι, καθ' ὃν αἱ προβολαὶ γίγνονται, λέγων, ὥσπερ ἠκούσατε, [u]ποιεῖν τὴν ἐκκλησίαν ἐν Διονύσου μετὰ [x]τὰ Πάνδια, ἐν δὲ ταύτῃ ἐπειδὰν χρηματισωσιν οἱ πρόεδροι περὶ ὧν διῴκηκεν ὁ ἄρχων, [y]χρηματίζειν καὶ περὶ ὧν ἄν τις ἠδικηκὼς ᾖ περὶ 13 τὴν ἑορτὴν ἢ παρανενομηκώς, καλῶς, ὦ [z]ἄνδρες Ἀθηναῖοι, καὶ συμφερόντως ἔχων ὁ νόμος, ὡς τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ. ὅπου γὰρ ἐπόντος τοῦ φόβου τούτου φαίνονται τινες οὐδὲν ἧττον ὑβρισταί, τί χρὴ τοὺς τοιούτους [a]προσδοκᾶν ἂν ποιεῖν, εἰ μηδεὶς ἐπῆν ἀγὼν μηδὲ κίνδυνος; 14 Βούλομαι [b]τοίνυν ὑμῖν καὶ τὸν ἑξῆς [c]νόμον ἀναγνῶναι [d]τουτονί· καὶ γὰρ ἐκ τούτου φανερὰ πᾶσιν ὑμῖν ἥ τε τῶν [e]ἄλλων ὑμῶν εὐλάβεια γενήσεται καὶ τὸ τούτου θράσος. Λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

15 Εὔηγορος εἶπεν, ὅταν ἡ πομπὴ ᾖ τῷ Διονύσῳ ἐν Πειραιεῖ καὶ οἱ

[m] μὲν om. t.
[n] τῶν om. t.
[o] διδάσκειν] διδάσκειν ἡμᾶς F.t.v.
[p] Legem om. k. in margine ponit r.
[q] ἐν Πανδίονι] ἐν πανδίων' S. in litura, τῶν Πανδίων Palmerius.
[r] προβολὰς] προσβολὰς O.
[s] παραδιδότωσαν] παραδότωσαν F.
[t] ἄνδρες Ἀθηναῖοι] δικασταί k.
[u] ποιεῖν post ἐκκλησίαν ponit r.
[x] τὰ om. r.
[y] Post χρηματίζειν cum S. omisi κελεύει, quod rec. habet Y.
[z] ἄνδρες Ἀθηναῖοι] δικασταί k.
[a] προσδοκᾶν ante τοὺς ponunt F. k. r. t. v.
[b] τοίνυν] δὲ k. r.
[c] νόμον ἀναγνῶναι] ἀναγνῶναι νόμον F. t. v.
[d] τουτονί] τουτί Y. s.
[e] ἄλλων] ἁπάντων Y. k. r.

κωμῳδοὶ καὶ οἱ τραγῳδοί, [f]καὶ ἐξ ἡ ἐπὶ Ληναίῳ [h]πομπὴ καὶ οἱ τραγῳδοὶ καὶ οἱ κωμῳδοί, καὶ τοῖς ἐν ἄστει [i]Διονυσίοις ἡ πομπὴ καὶ οἱ παῖδες καὶ ὁ κῶμος καὶ οἱ κωμῳδοὶ καὶ οἱ τραγῳδοί, καὶ [k]Θαργηλίων τῇ πομπῇ καὶ τῷ ἀγῶνι [l]μὴ ἐξεῖναι μήτε ἐνεχυρά- 518
σαι μήτε λαμβάνειν ἕτερον ἑτέρου, μηδὲ τῶν ὑπερημέρων, ἐν ταύταις ταῖς ἡμέραις. ἐὰν δέ τις τούτων τι παραβαίνῃ, ὑπόδικος ἔστω τῷ παθόντι, καὶ προβολαὶ [m]αὐτοῦ ἔστωσαν ἐν τῇ ἐκκλησίᾳ τῇ ἐν 5
Διονύσου ὡς ἀδικοῦντος, καθὰ περὶ τῶν ἄλλων τῶν ἀδικούντων γέγραπται.

16 Ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, ὅτι ἐν τῷ προτέρῳ νόμῳ [n]κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων οὔσης τῆς [o]προβολῆς, ἐν τούτῳ καὶ κατὰ τῶν τοὺς [p]ὑπερημέρους εἰσπραττόντων ἢ καὶ ἄλλ' ὁτιοῦν τινὸς λαμβανόντων ἢ 10
17 βιαζομένων ἐποιήσατε τὰς προβολάς. οὐ γὰρ [q]ὅπως τὸ σῶμα ὑβρίζεσθαί τινος ἐν ταύταις ταῖς ἡμέραις, ἢ τὴν παρασκευὴν ἣν ἂν ἐκ τῶν ἰδίων [r]πορίσαιτό τις εἰς [s]λειτουργίαν, ὥεσθε χρῆναι, ἀλλὰ καὶ τὰ δίκη καὶ ψήφῳ 15
τῶν ἑλόντων γιγνόμενα τῶν ἑαλωκότων [t]καὶ κεκτημένων ἐξ ἀρχῆς τὴν γοῦν ἑορτὴν [u]ἀπεδώκατε εἶναι. ὑμεῖς μὲν τοίνυν, ὦ [x]ἄνδρες Ἀθηναῖοι, πάντες εἰς [y]τοσοῦτον ἀφῖχθε [z]φιλανθρωπίας καὶ εὐσεβείας, ὥστε καὶ τῶν πρότερον γεγενημένων ἀδικημάτων τὸ λαμβάνειν δίκην [a]ἐπέσχετε 20
18 [b]ταύτας τὰς ἡμέρας· Μειδίας δ' ἐν αὐταῖς ταύταις ταῖς

[f] καὶ ἡ—κωμῳδοὶ καὶ οἱ τραγῳδοὶ om. F.
[g] ἡ om. P. S. Y. r. s. t. v.
[h] πομπὴ] πομπῆι P. Y.
[i] Διονυσίοις ἡ πομπὴ] διονυσίοις οἱ πομποὶ s.
[k] Θαργηλίων] ὁ θαργηλιὼν F. P. S. Y. O. r. s. t. v.
[l] μὴ] μήτε F.P.S.Y.O.r.s.t.v.
[m] αὐτοῦ] αὐτῶι Y. O.
[n] κατὰ τῶν περὶ] περὶ τῶν κατὰ F. P. S. Y. O. s. t. v.
[o] προβολῆς] προσβολῆς O.
[p] ὑπερημέρους] ὑπερημερίους s.
[q] ὅπως τὸ S. vulg. ὅπως μὴ τό.
[r] πορίσαιτό] πορίσηται correctus v.
[s] λειτουργίαν] τὴν λειτουργίαν F. O. t. v.
[t] καὶ ante κεκτημένων om. pr. k.
[u] ἀπεδώκατε] ἀποδεδώκατε k. r.
[x] ἄνδρες ἀθηναῖοι] δικασταί k.
[y] τοσοῦτον] τοσοῦτο O.
[z] φιλανθρωπίας] φιλανθρωπίας τε F. k. t. v.
[a] ἐπέσχετε] ἐπέσχε pr. F.
[b] ταύτας τὰς ἡμέρας] ταύταις ταῖς ἡμέραις k. r.

ἡμέραις ἄξια τοῦ δοῦναι τὴν ἐσχάτην δίκην ποιῶν δειχθήσεται. βούλομαι [c]δ' ἕκαστον [d]ἀπ' ἀρχῆς ὧν πέπονθα ἐπιδείξας, [e]καὶ περὶ τῶν πληγῶν εἰπεῖν, ἃς τὸ τελευταῖον [f]προσενέτεινέ μοι· ἐν γὰρ οὐδέν ἐστιν ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δικαίως ὢν ἀπολωλέναι φανήσεται.

19 Ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ [g]τρίτον ἔτος τουτί, παρούσης δὲ τῆς ἐκκλησίας ἐν ᾗ τὸν ἄρχοντα ἐπιχληροῦν ὁ νόμος τοῖς [h]χορεῖς τοὺς αὐ- 519
λητὰς κελεύει, λόγων καὶ λοιδοριῶν γιγνομένης, καὶ κατηγορουῦντος τοῦ μὲν ἄρχοντος τῶν ἐπιμελητῶν τῆς φυλῆς, τῶν δ' ἐπιμελητῶν τοῦ ἄρχοντος, παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγήσειν ἐθελοντὴς καὶ κληρουμένων πρῶτος αἱρεῖ-
20 σθαι τὸν αὐλητὴν ἔλαχον, ὑμεῖς μέν, ὦ [i]ἄνδρες Ἀθηναῖοι, πάντες ἀμφότερ' ὡς οἷόν τε μάλιστ' ἀπεδέξασθε, τήν τ' ἐπαγγελίαν τὴν ἐμὴν καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης, καὶ θόρυβον καὶ κρότον τοιοῦτον ὡς ἂν ἐπαινοῦντές τε καὶ
συνησθέντες ἐποιήσατε, Μειδίας δ' οὑτοσὶ μόνος τῶν
[k]πάντων, ὡς ἔοικεν, ἠχθέσθη, καὶ παρηκολούθησε παρ' ὅλην τὴν λειτουργίαν ἐπηρεάζων [l]μοι συνεχῶς καὶ μικρὰ καὶ
21 μείζω. ὅσα μὲν οὖν [m]ἢ τοὺς χορευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι [n]τῆς στρατείας [o]ἠνώχλησεν, ἢ προβαλλόμενος καὶ κελεύων ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητήν, ἢ τἆλλα πάντα ὅσα τοιαῦτα, ἐάσω· οὐ γὰρ ἀγνοῶ ταῦθ', ὅτι τῷ μὲν ἐπηρεαζομένῳ [p]τότ' ἐμοὶ καὶ ὑβριζομένῳ τὴν αὐτὴν ὀργὴν ἕκαστον τούτων ἦν περ' ἄλλ' ὁτιοῦν τῶν δεινο-

[c] δ' ἕκαστον] δὲ καθ' ἕκαστον r.
[d] ἀπ' ἀρχῆς ὧν πέπονθα] ὧν πέπονθα ἐξ ἀρχῆς k. r.
[e] καὶ] ἔτι καὶ F. Y. O. s. t. v.
[f] προσενέτεινε] προσέτεινε pr. v.
[g] τρίτον] τέταρτον γρ. F. τρίτον ἢ τέταρτον k. r.
[h] χορεῖς] χορηγοὺς γρ. P.
[i] ἄνδρες Ἀθηναῖοι] δικασταί k.
[k] πάντων] ἁπάντων F. t. v.
[l] μοι] ἐμοὶ F. k. r. t. v.
[m] ἢ om. P. S. Y. O. s.
[n] τῆς στρατείας] τῆς στρατιᾶς k. τὰς στρατιὰς r.
[o] ἠνώχλησεν] ἐνόχλησεν pr. S.
[p] τότ' ἐμοί] τότε μοι O. s.

22 τάτων παρίστη, ὑμῖν δὲ τοῖς ἄλλοις, [q]τοῖς ἔξω τοῦ πράγματος οὖσιν, οὐκ ἂν ἴσως [r]ἄξια ταῦτα καθ' αὑτὰ ἀγῶνος φανείη· ἀλλ' [s]ἃ [t]πάντες [u]ἂν ὁμοίως [x]ἀκούσαντες [y]ἀγανακτήσαιτε, ταῦτ' ἐρῶ. [z]ἔστι δὲ ὑπερβολὴ τῶν μετὰ ταῦτα, ἃ [a]μέλλω λέγειν, καὶ οὐδ' ἂν ἐπεχείρησα ἔγωγε κατηγορεῖν αὐτοῦ νῦν, εἰ μὴ καὶ τότε ἐν τῷ δήμῳ παρα-
23 χρῆμα ἐξήλεγξα. τὴν γὰρ ἑσθῆτα τὴν ἱεράν (ἱερὰν γὰρ ἔγωγε νομίζω πᾶσαν, ὅσην ἄν τις ἕνεκα τῆς ἑορτῆς [b]παρασκευάσηται, [c]τέως ἂν χρησθῇ) καὶ τοὺς στεφάνους τοὺς χρυσοῦς, οὓς ἐποιησάμην ἐγὼ κόσμον τῷ χορῷ, ἐπεβούλευσεν, ὦ ἄνδρες Ἀθηναῖοι, διαφθεῖραί μου νύκτωρ ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν τοῦ χρυσοχόου. καὶ διέφθειρεν, οὐ μέντοι [d]πᾶσάν γε· οὐ γὰρ [e]ἠδυνήθη. [f]καίτοι τοῦτό γ' οὐδεὶς πώποτε οὐδένα φησὶν ἀκηκοέναι τολμήσαντα οὐδὲ
24 ποιήσαντα ἐν τῇ πόλει. οὐκ ἀπέχρησε δὲ [g]αὐτῷ τοῦτο, ἀλλὰ καὶ τὸν διδάσκαλον ὦ ἄνδρες Ἀθηναῖοι διέφθειρέ μου τοῦ χοροῦ· καὶ εἰ μὴ Τηλεφάνης ὁ αὐλητὴς ἀνδρῶν βέλτιστος περὶ ἐμὲ τότε ἐγένετο, καὶ τὸ πρᾶγμα αἰσθόμενος τὸν ἄνθρωπον ἀπελάσας αὐτὸς συγκροτεῖν καὶ διδάσκειν ᾤετο δεῖν τὸν χορόν, οὐδ' ἂν ἠγωνισάμεθα ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἀδίδακτος ἂν εἰσῆλθεν ὁ χορὸς καὶ
25 πράγματ' αἴσχιστ' ἂν ἐπάθομεν. καὶ οὐδ' ἐνταῦθ' ἔστη τῆς ὕβρεως, ἀλλὰ τοσοῦτον αὐτῷ περιῆν, ὥστε τὸν [h]ἑστε-

[q] τοῖς post ἄλλοις om. S.
[r] ἄξια ταῦτα καθ' αὑτὰ] αὐτὰ καθ' αὑτὰ ἄξια k. r.
[s] ἃ] ἐφ' οἷς k. r. et γρ. P.
[t] πάντες] ἅπαντες k. r.
[u] ἂν om. P. Y. O. k. r. s.
[x] ἀκούσαντες om. P. in margine ponit S. post ἀγανακτ. k. r.
[y] ἀγανακτήσαιτε] ἀγανακτήσετε Y. O. k. s.
[z] δὲ] δὲ καὶ t. v.
[a] μέλλω λέγειν] λέγειν μέλλω r.
[b] παρασκευάσηται] παρασκευάζηται S. Y. O. s.
[c] τέως] ὡς correctus P.
[d] πᾶσάν] πάντας F. k. r. et pr. v.
[e] ἠδυνήθη] ἐδυνήθη P. v.
[f] καίτοι τοῦτό γ'] καίτοι τοιοῦτον F. t. v. καὶ τοιοῦτον P. S. Y. O. s.
[g] αὐτῷ] αὐτὸ O.
[h] ἑστεφανωμένον] στεφανούμενον v.

φανωμένον ἄρχοντα διέφθειρε, τοὺς χορηγοὺς συνῆγεν ἐπ' ἐμέ, βοῶν, ἀπειλῶν, ὀμνύουσι παρεστηκὼς τοῖς κριταῖς, τὰ παρασκήνια φράττων, προσηλῶν, ἰδιώτης ὢν τὰ [i] δημόσια, κακὰ [k] καὶ πράγματα ἀμύθητά μοι παρέχων διετέλεσεν. καὶ τούτων, ὅσα [l] γε ἐν τῷ δήμῳ γέγονεν ἢ πρὸς τοῖς κριταῖς ἐν τῷ θεάτρῳ, ὑμεῖς ἐστέ μοι μάρτυρες πάντες, [m] ὦ ἄνδρες δικασταί. καίτοι τῶν λόγων [n] τούτους χρὴ [o] δικαιοτάτους ἡγεῖσθαι, οὓς ἂν οἱ καθήμενοι τῷ λέγοντι μαρτυρῶσιν ἀληθεῖς εἶναι. [p] προδιαφθείρας τοίνυν τοὺς κριτὰς τῷ ἀγῶνι τῶν ἀνδρῶν, δύο ταῦτα ὥσπερεὶ κεφάλαια ἐφ' ἅπασι τοῖς ἑαυτῷ νενεανιευμένοις ἐπέθηκεν, ἐμοῦ μὲν ὕβρισε [q] τὸ σῶμα, [r] τῇ φυλῇ δὲ κρατούσῃ τὸν ἀγῶνα αἰτιώτατος τοῦ μὴ νικῆσαι κατέστη. 521

27 Τὰ μὲν οὖν εἰς ἐμὲ καὶ τοὺς φυλέτας ἠσελγημένα καὶ [s] περὶ τὴν ἑορτὴν ἀδικήματα τούτῳ πεπραγμένα, ἐφ' οἷς αὐτὸν [t] προὐβαλόμην, ταῦτ' ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι καὶ πολλ' ἕτερα, ὧν ὅσ' ἂν οἷός τε ὦ διέξειμι πρὸς ὑμᾶς 28 αὐτίκα δὴ μάλα. ἔχω δὲ λέγειν καὶ [u] πονηρίας ἑτέρας [x] αὐτοῦ παμπληθεῖς καὶ ὕβρεις εἰς πολλοὺς ὑμῶν καὶ τολμήματα τοῦ μιαροῦ τούτου πολλὰ καὶ δεινά, ἐφ' οἷς τῶν πεπονθότων οἱ μέν, ὦ ἄνδρες δικασταί, καταδείσαντες τοῦτον καὶ [y] τὸ τούτου θράσος καὶ τοὺς περὶ αὐτὸν [z] ἑταίρους καὶ [a] πλοῦτον καὶ τἆλλα [b] δὴ ὅσα πρόσεστι

[i] δημόσια] δημόσιά μοι t.
[k] καὶ post κακὰ om. r.
[l] γε] μὲν F. t. v.
[m] ὦ om. P. O. s.
[n] τούτους om. s.
[o] δικαιοτάτους] δικαιοτάτους καὶ πιστοτάτους k. r.
[p] προδιαφθείρας] προδιαφθείρας P. S. Y. O. k. r. s. t. v.
[q] τὸ σῶμα] τῷ σώματι s. εἰς τὸ σῶμα F. t. v. Conf. §. 136.
[r] τῇ om. s.
[s] περὶ] τὰ περὶ k. s.
[t] προὐβαλόμην] προὐβαλλόμην r.
[u] πονηρίας] παμπονηρίας r.
[x] αὐτοῦ παμπληθεῖς] παμπληθεῖς αὐτοῦ F. P. Y. O. s. t. v.
[y] τὸ τούτου] τοῦτο pr. O.
[z] ἑταίρους] ἑτέρους S.
[a] πλοῦτον] τὸν πλοῦτον Schol. Ven. Iliad. 15. 496. Cum his scholiis et S. Y. O. omisi, quæ addebantur, καὶ ὕβριν.
[b] δὴ ὅσα] ὅσα δὴ k. r.

τούτῳ, [c] ἡσυχίαν ἔσχον, οἱ δ' ἐπιχειρήσαντες [d] δίκην [e] λαμβάνειν οὐκ [f] ἠδυνήθησαν, εἰσὶ [g] δ' οἳ διελύσαντο,
29 ἴσως λυσιτελεῖν [h] αὐτοῖς ἡγούμενοι. τὴν μὲν οὖν ὑπὲρ αὐ- 15
τῶν δίκην ἔχουσιν οἵ γε πεισθέντες· [i] τῆς δ' ὑπὲρ τῶν
νόμων, οὓς παραβὰς οὗτος κἀκείνους [k] ἠδίκει καὶ νῦν ἐμὲ
καὶ πάντας τοὺς ἄλλους, ὑμεῖς ἐστὲ κληρονόμοι. πάντων
[l] οὖν [m] ἀθρόων ἓν τίμημα ποιήσασθε, ὅ τι ἂν [n] δίκαιον 20
30 ἡγῆσθε. ἐξελέγξω δὲ πρῶτον μὲν ὅσα αὐτὸς ὑβρίσθην,
ἔπειθ' ὅσα [o] ὑμεῖς· μετὰ ταῦτα δὲ καὶ τὸν ἄλλον ὦ ἄν-
δρες Ἀθηναῖοι βίον αὐτοῦ πάντα ἐξετάσω, καὶ δείξω
πολλῶν θανάτων, οὐχ ἑνὸς ὄντα ἄξιον. Λέγε μοι τὴν τοῦ 25
χρυσοχόου πρώτην λαβὼν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

31 [p] Παμμένης Παμμένους [q] ἔπερχος, [r] ἔχω [s] χρυσοχοεῖον ἐν τῇ
ἀγορᾷ, ἐν [t] ᾧ καὶ καταγίγνομαι καὶ ἐργάζομαι τὴν χρυσοχοϊκὴν
τέχνην. ἐκδόντος δέ μοι Δημοσθένους, ᾧ μαρτυρῶ, στέφανον χρυ- 522
σοῦν ὥστε κατασκευάσαι καὶ ἱμάτιον διάχρυσον ποιῆσαι, ὅπως
[u] πομπεύσαι ἐν αὐτοῖς τὴν τοῦ Διονύσου πομπήν, καὶ ἐμοῦ συντε- 5
λέσαντος [x] αὐτὰ καὶ ἔχοντος παρ' ἐμαυτῷ ἕτοιμα, εἰσπηδήσας
πρός με νύκτωρ [y] Μειδίας ὁ κρινόμενος ὑπὸ Δημοσθένους, ἔχων
μεθ' ἑαυτοῦ καὶ ἄλλους, ἐπεχείρησε διαφθείρειν τὸν στέφανον καὶ
τὸ ἱμάτιον, καί τινα μὲν αὐτῶν ἐλυμήνατο, οὐ μέντοι [z] πάντα γε
[a] ἐδυνήθη διὰ τὸ ἐπιφανέντα με κωλῦσαι.

[c] ἡσυχίαν ἔσχον] ἔφυγον ἐκποδὼν Schol.
[d] δίκην] τῷ δίκην r.
[e] λαμβάνειν] λαβεῖν k. r.
[f] ἠδυνήθησαν] ἐδυνήθησαν P.
[g] δ' οἳ] δὲ καὶ οἳ F. v. t. δὲ οἳ καὶ k. r. s.
[h] αὐτοῖς om. S. Y.
[i] τῆς δ'] τὴν δ' r.
[k] ἠδίκει] ἠδίκει τότε k. r.
[l] οὖν] οὖν τούτων k. r. v.
[m] ἀθρόων F.Y. ἀθρόῶν v. ἀθρόων k. r. t. ἀνθρώπων S. vulg. ἀθρόων.
[n] δίκαιον om. k.
[o] ὑμεῖς] ὑμεῖς ἠδίκησθε F.k.r.t.v.
[p] Testimonium om. k.
[q] ἔπερχος P. S. Y. ἔπαρχος ceteri. Reiskius Περγασεύς.
[r] ἔχω] ἔχων F.P.S.Y.O.r.s.t.v. ἔχω μὲν Spaldingus.
[s] χρυσοχοεῖον] χρυσοχοεῖν k.
[t] ᾧ] ᾗ καὶ P. Y. O. s.
[u] πομπεύσαι ἐν] πομπεύσαιεν r. s. πομπεύσῃ ἐν k.
[x] αὐτὰ] αὐτὸ r.
[y] Μειδίας] καὶ μειδίας S.
[z] πάντα γε] γε πάντα P. r.
[a] ἐδυνήθη] ἠδυνήθη P. O. r. s. t. v.

32 Πολλὰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ περὶ ὧν τοὺς ἄλλους ἠδίκηκεν ἔχω λέγειν, ὥσπερ [b] εἶπον ἐν ἀρχῇ τοῦ λόγου, καὶ [c] συνείλοχα ὕβρεις [d] αὐτοῦ καὶ [e] πονηρίας τοσαύτας ὅσας ἀκούσεσθε αὐτίκα δὴ μάλα. ἦν δ' ἡ συλλογὴ ῥᾳδία· αὐτοὶ γὰρ οἱ πεπονθότες προσήσεσάν μοι. 33 βούλομαι δὲ πρὸ τούτων εἰπεῖν, οἷς ἐπιχειρήσειν αὐτὸν ἀκήκοα ἐξαπατᾶν ὑμᾶς· τοὺς γὰρ ὑπὲρ τούτων λόγους ἐμοὶ μὲν ἀναγκαιοτάτους προειπεῖν ἡγοῦμαι, ὑμῖν δὲ χρησιμωτάτους ἀκοῦσαι. διὰ τί; ὅτι τοῦ δικαίαν καὶ εὔορκον θέσθαι τὴν ψῆφον ὁ [f] κωλύσας ἐξαπατηθῆναι λόγος [g] ὑμᾶς οὗτος αἴτιος ἔσται. πολὺ δὴ μάλιστα πάντων τούτῳ τῷ λόγῳ προσέχειν ὑμᾶς δεῖ, καὶ μνημονεῦσαι τοῦ- 34 τον, καὶ πρὸς ἕκαστον [h] ἀπαντᾶν, ὅταν οὗτος λέγῃ. ἔστι δὲ πρῶτον μὲν ἐκεῖνο οὐκ ἄδηλος ἐρῶν ἐξ ὧν ἰδίᾳ πρός τινας αὐτὸς διεξιὼν ἀπηγγέλλετό μοι, ὡς εἴπερ [i] ἀληθῶς [k] ἐπεπόνθειν ταῦτα ἃ λέγω, δίκας ἰδίας μοι προσῆκεν αὐτῷ λαχεῖν, τῶν μὲν ἱματίων καὶ τῶν χρυσῶν στεφάνων τῆς διαφθορᾶς καὶ τῆς περὶ τὸν χορὸν [l] πάσης ἐπηρείας, βλάβης, ὧν δ' εἰς τὸ σῶμα [m] ὑβρισθαι φημί, ὕβρεως, οὐ μὰ Δί' οὐχὶ δημοσίᾳ κρίνειν [n] αὐτὸν καὶ τίμημα ἐπάγειν 523 35 ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. ἐγὼ δὲ ἓν μὲν ἐκεῖνο εὖ οἶδα, καὶ ὑμᾶς δὲ εἰδέναι χρή, ὅτι εἰ μὴ [o] προὐβαλόμην αὐτὸν ἀλλ' ἐδικαζόμην, [p] ἐναντίος [q] ἦκεν ἂν εὐθύς μοι

[b] εἶπον ἐν ἀρχῇ] ἐν ἀρχῇ εἶπον Y. O. s.
[c] συνείλοχα] συνειλεχα F. t.
[d] αὐτοῦ ante τοσαύτας ponunt k. r. cum γρ. F.
[e] πονηρίας] ἀτιμίας P. S. Y. s.
[f] κωλύσας] κωλύσαϲ O. κωλύσων r.
[g] ὑμᾶς] ὑμᾶϲ r.
[h] ἀπαντᾶν] ἀπάντων Y. O. s.
[i] ἀληθῶς] ἀληθὲς S. Y. O. s.
[k] ἐπεπόνθειν] πεπόνθειν v.
[l] πάσης] ἁπάσης F. t. v.
[m] ὑβρίσθαι] ὑβρίζεσθαι P. Y. O. s.
[n] αὐτὸν] ἑαυτὸν Y. O. s.
[o] προὐβαλόμην] προὐβαλλόμην r. προβαλόμην t.
[p] ἐναντίος] ἀναντίος t.
[q] ἦκεν ἂν] ἂν ἦκεν F. t. v.

λόγος, ὡς εἴπερ ἦν τι τούτων ἀληθές, [r] προβαλέσθαι μ' ἔδει καὶ παρ' αὐτὰ τἀδικήματα τὴν τιμωρίαν ποιεῖσθαι· ὅ τε γὰρ χορὸς ἦν τῆς πόλεως, ἥ τε ἐσθὴς τῆς ἑορτῆς ἕνεκα πᾶσα [s] παρεσκευάζετο, ἐγώ τε ὁ πεπονθὼς ταῦτα χορηγὸς ἦν· τίς ἂν οὖν ἑτέραν [t] μᾶλλον [u] εἵλετο τιμωρίαν ἢ τὴν ἐκ [x] τοῦ νόμου κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων 36 οὖσαν; ταῦτ' [y] εὖ οἶδ' ὅτι πάντ' [z] ἂν ἔλεγεν οὗτος [a] τότε. φεύγοντος [b] μὲν [c] γὰρ [d] οἶμαι καὶ ἠδικηκότος ἐστὶ τὸ τὸν παρόντα τρόπον τοῦ [e] μὴ δοῦναι δίκην διακρουόμενον τὸν οὐκ ὄνθ' ὡς ἔδει γενέσθαι λέγειν, δικαστῶν δέ γε σωφρόνων τούτοις τε μὴ προσέχειν καὶ ὃν ἂν λάβωσιν ἀσελ- 37 γαίνοντα κολάζειν. μὴ δὴ [f] τοῦτο λέγειν αὐτὸν ἐᾶτε, ὅτι καὶ δίκας ἰδίας δίδωσιν ὁ νόμος μοι καὶ γραφὴν ὕβρεως· δίδωσι γάρ· ἀλλ' ὡς οὐ πεποίηκεν ἃ κατηγόρηκα, ἢ πεποιηκὼς [g] οὐ περὶ τὴν ἑορτὴν ἀδικεῖ, τοῦτο δεικνύτω· τοῦτο γὰρ αὐτὸν [h] ἐγὼ προὐβαλόμην, καὶ περὶ τούτου τὴν ψῆφον οἴσετε νῦν ὑμεῖς. εἰ δ' ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν ἀφεὶς τῇ πόλει παραχωρῶ τῆς τιμωρίας, καὶ τοῦτον εἰλόμην τὸν ἀγῶνα ἀφ' οὗ μηδέν ἔστι λῆμμα λαβεῖν ἐμοί, χάριν, οὐ βλάβην δήπου τοῦτ' ἂν εἰκότως [i] ἐνέγκοι μοι παρ' ὑμῶν.

38 Οἶδα τοίνυν ὅτι καὶ τούτῳ πολλῷ χρήσεται τῷ λόγῳ "μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ Δημοσθένην με

[r] προβαλέσθαι] προβαλλέσθαι r. προβάλλεσθαι S.
[s] παρεσκευάζετο] παρεσκεύαστο k. r.
[t] μᾶλλον om. S.
[u] εἵλετο τιμωρίαν] τιμωρίαν εἵλετο r.
[x] τοῦ νόμου] τῶν νόμων k. r.
[y] εὖ om. k.
[z] ἂν om. P. Y. O. s.
[a] τότε] τε s.
[b] μὲν om. pr. S.
[c] γὰρ om. r.
[d] οἶμαι] ἂν οἶμαι S.
[e] μὴ om. r.
[f] τοῦτο] τοῦτον v.
[g] οὐ ante περὶ om. k.
[h] ἐγὼ om. k.
[i] ἐνέγκοι μοι S. ἐνέγκαι μοι v. ἐνέγκαι μοι F. ἐνέγκοιμι P. Y. O. ἐνέγκοιμι s. ceteri ἐνέγκαι μοι.

" ἀνέληται. [k]ὅτι [l]ἐκείνῳ πολεμῶ, διὰ τοῦτό [m]με ἀναιρή-
" σετε;" τὰ τοιαῦτα πολλάκις οἶδ' ὅτι φθέγξεται, βου- 524
λόμενος φθόνον τινὰ ἐμοὶ διὰ τούτων τῶν λόγων [n]συνά-
39 γειν. ἔχει δ' οὐχ οὕτω ταῦτα, οὐδ' ἐγγύς. οὐδένα γὰρ
τῶν ἀδικούντων ὑμεῖς οὐδενὶ τῶν κατηγόρων ἐκδίδοτε·
οὐδὲ [o]γὰρ ἐπειδὰν [p]ἀδικηθῇ τις, ὡς ἂν ἕκαστος ὑμᾶς ὁ 5
παθὼν πείσῃ, ποιεῖσθε τὴν τιμωρίαν, ἀλλὰ τοὐναντίον νό-
μους ἔθεσθε πρὸ τῶν ἀδικημάτων ἐπ' ἀδήλοις μὲν τοῖς
ἀδικήσουσιν, ἀδήλοις δὲ τοῖς ἀδικησομένοις. οὗτοι δὲ τί
[q]ποιοῦσιν οἱ νόμοι; πᾶσιν ἰσχυοῦνται τοῖς ἐν τῇ πόλει
δίκην, [r]ἂν ἀδικηθῇ τις, ἔσεσθαι δι' αὐτῶν λαβεῖν. ὅταν 10
τοίνυν τῶν παραβαινόντων τινὰ τοὺς νόμους κολάζητε,
[s]οὐ τοῖς κατηγόροις τοῦτον ἐκδίδοτε, ἀλλὰ τοὺς νόμους
40 ὑμῖν [t]αὐτοῖς βεβαιοῦτε. ἀλλὰ μὴν πρός γε τὸ [u]τοιοῦτον,
ὅτι " Δημοσθένης" φησὶν " ὕβρισται," δίκαιος καὶ [x]κοι-
νὸς καὶ ὑπὲρ ἁπάντων ἔσθ' ὁ λόγος. οὐ γὰρ εἰς Δημο- 15
σθένην ὄντα με ἠσέλγαινε μόνον ταύτην τὴν ἡμέραν, ἀλλὰ
καὶ εἰς χορηγὸν ὑμέτερον· τοῦτο δ' ὅσον δύναται, γνοίητ'
41 ἂν ἐκ [y]τωνδί. ἴστε δήπου τοῦθ', ὅτι τῶν θεσμοθετῶν τού-
των οὐδενὶ θεσμοθέτης ἔστ' ὄνομα, ἀλλ' ὁτιδηποθ' ἑκάστῳ. 20
ἂν μέν τοίνυν ἰδιώτην ὄντα τινὰ αὐτῶν ὑβρίσῃ τις ἢ κακῶς
εἴπῃ, γραφὴν ὕβρεως καὶ δίκην [z]κακηγορίας ἰδίαν φεύ-
ξεται, ἐὰν δὲ θεσμοθέτην, ἄτιμος ἔσται καθάπαξ. διὰ
τί; ὅτι τοὺς νόμους ἤδη ὁ τοῦτο ποιῶν [a]προσυβρίζει καὶ
τὸν ὑμέτερον κοινὸν στέφανον καὶ τὸ τῆς πόλεως ὄνομα· 25

[k] ὅτι om. pr. k.
[l] ἐκείνῳ] τούτῳ F. k. r. t. v.
[m] με om. O. r. t.
[n] συνάγειν] συναγαγεῖν k. συλλέγειν γρ. F.
[o] γὰρ post οἶδ' om. k. r.
[p] ἀδικηθῇ] ἀδικηθεὶς Y. s.
[q] ποιοῦσιν] ποιήσουσιν S. v.
[r] ἂν] ἐὰν k. r.
[s] οὐ] οὐχὶ P. k. r.
[t] αὐτοῖς] αὑτοὺς k.
[u] τοιοῦτον] τοιοῦτο F. t. v.
[x] κοινὸς] κοινοὺς s.
[y] τωνδί] τῶνδε F. k. r. t. v.
[z] κακηγορίας] κατηγορίας k. t.
[a] προσυβρίζει] προὔβριζει Y. O. s.

ὁ γὰρ θεσμοθέτης οὐδενὸς ἀνθρώπων ἔστ' ὄνομα, ἀλλὰ τῆς
42 πόλεως. καὶ πάλιν γε τὸν ἄρχοντα, ταὐτὸ τοῦτο, ἐὰν
μὲν ἐστεφανωμένον [b] πατάξῃ τις ἢ κακῶς εἴπῃ, ἄτιμος,
ἐὰν δὲ ἰδιώτην, ἰδίᾳ ὑπόδικος. καὶ οὐ μόνον περὶ τούτων
οὕτω ταῦτ' ἔχει, ἀλλὰ καὶ περὶ πάντων, οἷς ἂν ἡ πόλις 525
τινὰ ἄδειαν ἢ στεφανηφορίαν ἤ τινα τιμὴν δῷ. οὕτω τοί-
νυν καὶ ἐμὲ εἰ μὲν [c] ἐν ἄλλαις τισὶν ἡμέραις ἠδίκησέ τι
τούτων Μειδίας ἰδιώτην ὄντα, ἰδίᾳ καὶ δίκην προσῆκεν
43 αὐτῷ διδόναι· εἰ δὲ χορηγὸν ὄντα [d] ὑμέτερον ἱερομηνίας 5
οὔσης πάνθ' ὅσα ἠδίκηκεν ὑβρίσας φαίνεται, δημοσίας
ὀργῆς καὶ τιμωρίας [e] δίκαιός ἐστι τυγχάνειν· ἅμα γὰρ
τῷ Δημοσθένει καὶ [f] ὁ [g] χορηγὸς ὑβρίζετο, τοῦτο δ' ἐστὶ
τῆς πόλεως [h] ὄνομα, [i] καὶ τὸ ταύταις ταῖς ἡμέραις, αἷς 10
οὐκ ἐῶσιν οἱ νόμοι. χρὴ δέ, ὅταν μὲν [k] τιθῆσθε τοὺς νό-
μους, ὁποῖοί τινές εἰσι σκοπεῖν, ἐπειδὰν δὲ θῆσθε, φυ-
λάττειν καὶ χρῆσθαι· καὶ [l] γὰρ [m] εὔορκα ταῦθ' ὑμῖν ἐστὶ
44 καὶ ἄλλως δίκαια. ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος πάλαι,
ἦν ὁ τῆς αἰκίας, ἦν ὁ τῆς ὕβρεως. εἰ τοίνυν ἀπέχρη τοὺς 15
τοῖς Διονυσίοις τι ποιοῦντας τούτων κατὰ τούτους τοὺς
νόμους δίκην διδόναι, [n] οὐδὲν [o] ἂν προσέδει [p] τοῦδε τοῦ νό-
μου. ἀλλ' οὐκ ἀπέχρη. σημεῖον δέ· ἔθεσθε ἱερὸν νόμον
αὐτῷ τῷ θεῷ περὶ τῆς ἱερομηνίας. εἴ τις οὖν κἀκείνοις
τοῖς προϋπάρχουσι νόμοις καὶ τούτῳ τῷ μετ' ἐκείνους τε- 20
θέντι καὶ πᾶσι τοῖς [q] λοιποῖς ἔστ' ἔνοχος, ὁ τοιοῦτος πό-

[b] πατάξῃ τις ἢ κακῶς εἴπῃ] πατάξῃς ἢ κακῶς εἴπῃς S.
[c] ἐν om. t. v.
[d] ὑμέτερον ἱερομηνίας] ὑμετερονομισας (in margine posito "ἱερομηνίας) O.
[e] δίκαιός] ἄξιός k. r.
[f] ὁ om. t. v.
[g] χορηγὸς] χορὸς pr. S.
[h] ὄνομα om. P. Y. O. s. in γρ. habet S.
[i] καὶ τὸ] καίτοι F.
[k] τιθῆσθε r. t. vulg. τίθησθε.
[l] γὰρ om. t.
[m] εὔορκα] ευορκα F. ἔνορκα k. r.
[n] οὐδὲν] καὶ οὐδὲν O.
[o] ἂν] ἂν ὑμῖν F. k. r. t. v.
[p] τοῦδε] τούτου k.
[q] λοιποῖς] ἄλλοις k. r.

τερα μὴ [r] δῷ διὰ τοῦτο δίκην ἢ μείζω [s] δοίη δικαίως; ἐγὼ μὲν οἶμαι μείζω.

45 [t] Ἀπήγγειλε τοίνυν [u] τίς μοι [x] περιόντ᾽ αὐτὸν συλλέγειν καὶ πυθάνεσθαι, τίσι πώποτε συμβέβηκεν ὑβρισθῆναι, καὶ λέγειν τούτους καὶ διηγεῖσθαι πρὸς ὑμᾶς μέλλειν, οἷον ὦ ἄνδρες Ἀθηναῖοι τὸν πρόεδρον ὃν ποτέ φασιν ἐν ὑμῖν ὑπὸ Πολυζήλου πληγῆναι, καὶ τὸν [y] θεσμοθέτην ὃς ἔναγχος ἐπλήγη τὴν αὐλητρίδα ἀφαιρούμενος, καὶ τοιούτους τινάς, ὡς ἐὰν πολλοὺς ἑτέρους [z] πολλὰ καὶ δεινὰ πεπονθότας ἐπιδείξῃ, ἧττον ὑμᾶς ἐφ᾽ οἷς ἐγὼ πέ- 526
46 πονθα ὀργιουμένους. ἐμοὶ δ᾽ αὖ τοὐναντίον ὦ ἄνδρες Ἀθηναῖοι δοκεῖτε ποιεῖν ἂν εἰκότως, εἴπερ [a] τοῦ κοινῇ βελτίστου δεῖ [b] μέλειν ὑμῖν. τίς γὰρ οὐκ οἶδεν ὑμῶν τοῦ μὲν πολλὰ τοιαῦτα γίγνεσθαι τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτάνοντας αἴτιον [c] ὄν, τοῦ δὲ μηδένα ὑβρίζειν τὸ λοιπὸν τὸ δίκην τὸν ἀεὶ ληφθέντα, ἣν προσήκει, διδόναι μόνον αἴτιον ἂν γενόμενον; εἰ μὲν τοίνυν ἀποτρέψαι συμφέρει τοὺς ἄλλους, τοῦτον καὶ δι᾽ ἐκεῖνα κολαστέον, καὶ μᾶλ- 10
λόν γε ὅσῳ περ ἂν [d] ᾖ πλείω καὶ μείζω· εἰ δὲ παροξῦναι
47 καὶ τοῦτον καὶ [e] πάντας, ἑατέον. ἔτι τοίνυν οὐδ᾽ ὁμοίαν οὖσαν τούτῳ κἀκείνοις συγγνώμην [f] εὑρήσομεν. πρῶτον μὲν γὰρ ὁ τὸν θεσμοθέτην πατάξας τρεῖς εἶχε προφάσεις, 15 μεθην, ἔρωτα, ἄγνοιαν διὰ τὸ σκότους καὶ νυκτὸς τὸ πρᾶγμα [g] γενέσθαι. ἔπειθ᾽ ὁ Πολύζηλος [h] ἐκεῖνος ὀργῇ

[r] δῷ] δοίη correctus v.
[s] δοίη] Immo ἂν δοίη: monuit Spaldingus.
[t] Ἀπήγγειλε] ἀπήγγελλε F. P. S. Y. O. k. r. s.
[u] τίς μοι om. pr. Y.
[x] περιόντ᾽] περιὼν τ᾽ s. t.
[y] θεσμοθέτην] θεσμολόγην s.
[z] πολλὰ καὶ δεινὰ] δεινὰ καὶ πολλὰ P. S. Y. O. k. r. s.
[a] τοῦ] ὑπὲρ τοῦ F. k. r. t.
[b] μέλειν] μὲ μέλειν O.
[c] ὂν om. k. r.
[d] ᾖ om. k.
[e] πάντας] πάντας τοὺς ἄλλους k. r.
[f] εὑρήσομεν] εὕρομεν t.
[g] γενέσθαι] γεγενῆσθαι k. r.
[h] ἐκεῖνος om. F. Y. O. s. t. v.

καὶ τρόπου προπετείᾳ [i] φθάσας τὸν λογισμὸν [k] ἁμαρτεῖν
[l] ἔφησεν· οὐ γὰρ ἐχθρός γε ὑπῆρχεν ὤν, οὐδ' ἐφ' ὕβρει
τοῦτ' ἐποίησεν. ἀλλ' οὐ Μειδίᾳ τούτων οὐδὲν ἔστιν εἰπεῖν·
καὶ γὰρ ἐχθρὸς ἦν, καὶ μεθ' ἡμέραν εἰδὼς [m] ὕβριζε, καὶ
οὐκ ἐπὶ [n] τούτου μόνον ἀλλ' ἐπὶ πάντων φαίνεται προη-
48 ρημένος με ὑβρίζειν. καὶ μὴν οὐδὲ τῶν πεπραγμένων ἐμοὶ
καὶ τούτοις οὐδὲν ὅμοιον ὁρῶ. πρῶτον μὲν γὰρ ὁ θεσμο-
θέτης οὐχ ὑπὲρ ὑμῶν οὐδὲ τῶν νόμων φροντίσας οὐδ'
ἀγαναχτήσας φανήσεται, ἀλλ' ἰδίᾳ πεισθεὶς ὁπόσῳ δή-
ποτε ἀργυρίῳ, καθυφεὶς τὸν ἀγῶνα· ἔπειθ' ὁ πληγεὶς
ἐκεῖνος ὑπὸ τοῦ Πολυζήλου, ταὐτὸ τοῦτο, ἰδίᾳ διαλυσά-
μενος, ἐρρῶσθαι πολλὰ τοῖς νόμοις εἰπὼν καὶ ὑμῖν, οὐδ' 527
49 εἰσήγαγε τὸν Πολύζηλον. εἰ μὲν τοίνυν ἐκείνων κατηγο-
ρεῖν βούλεταί τις ἐν τῷ παρόντι, δεῖ λέγειν ταῦτα, εἰ δ'
ὑπὲρ ὧν ἐγὼ τούτου κατηγόρηκα ἀπολογεῖσθαι, πάντα
μᾶλλον ἢ ταῦτα [o] λεκτέον. [p] πᾶν γὰρ τοὐναντίον ἐκείνοις
αὐτὸς μὲν οὔτε λαβὼν [q] οὐδὲν οὔτ' ἐπιχειρήσας λαβεῖν
φανήσομαι, τὴν δ' ὑπὲρ τῶν νόμων καὶ τὴν ὑπὲρ τοῦ θεοῦ
καὶ τὴν ὑπὲρ ὑμῶν τιμωρίαν δικαίως φυλάξας καὶ νῦν
50 ἀποδεδωκὼς ὑμῖν. μὴ τοίνυν ἔατε [r] ταὐτ' αὐτὸν λέγειν,
μηδ', [s] ἂν βιάζηται, πείθεσθ' ὡς δίκαιόν τι [t] λέγοντι. ἂν
γὰρ ταῦθ' οὕτως ἐγνωσμένα ὑπάρχῃ παρ' ὑμῖν, οὐκ [u] ἐνέ-
σται αὐτῷ λόγος οὐδὲ εἷς. ποία γὰρ πρόφασις, τίς ἀν-
θρωπίνη καὶ μετρία σκῆψις φανεῖται τῶν πεπραγμένων

[i] φθάσας] προφθάσας γρ. S. φθάσαι F. φθάσαι S. Y. O. s. t.
[k] ἁμαρτεῖν H. Wolfius: libri ἁμαρτὼν.
[l] ἔφησεν F. P. S. Y. O. s. t. v. ἔπεσεν γρ. S. ἔπαισεν vulg.
[m] ὕβριζε] ὑβρίζειν Y. s.
[n] τούτου] τούτων F. τούτων t. v.
[o] λεκτέον] λεκτέα S.
[p] πᾶν] πάντα S. Y. v.
[q] οὐδὲν om. r.
[r] ταὐτ' αὐτὸν] αὐτὸν ταῦτα k. r.
[s] ἂν] ἐὰν r.
[t] λέγοντι] λέγει t. v.
[u] ἐνέσται] ἔνεστ' k. r. ἔτ' ἔσται correctus s.

51 αὐτῷ; ὀργὴ νὴ Δία· καὶ γὰρ τοῦτο [x] τυχὸν λέξει. [y] ἀλλ' ἃ μὲν ἄν τις ἄφνω τὸν λογισμὸν φθάσας [z] ἐξαχθῇ [a] πρᾶξαι, κἂν ὑβριστικῶς [b] τοῦτο ποιήσῃ, δι' ὀργήν [c] γ' ἔνι φῆσαι πεποιηκέναι· ἃ δ' ἂν ἐκ [d] πολλοῦ συνεχῶς ἐπὶ πολλὰς ἡμέρας παρὰ τοὺς νόμους πράττων τις φωρᾶται, οὐ μόνον δῆπου [e] τοῦ μὴ μετ' ὀργῆς ἀπέχει, ἀλλὰ καὶ [f] βεβουλευμένως ὁ τοιοῦτος ὑβρίζων ἐστὶν ἤδη [g] φανερός.

52 Ἀλλὰ μὴν ὁπηνικα καὶ πεποιηκὼς [h] ἃ κατηγορῶ καὶ [i] ὕβρει πεποιηκὼς φαίνεται, τοὺς νόμους ἤδη [k] σκοπεῖν δεῖ, ὦ ἄνδρες δικασταί· κατὰ γὰρ τούτους δικάσειν ὀμωμόκατε. καὶ θεωρεῖθ' ὅσῳ μείζονος ὀργῆς καὶ ζημίας ἀξιοῦσι τοὺς [l] ἑκουσίως καὶ δι' ὕβριν [m] πλημμελοῦντας

53 τῶν ἄλλως πως ἐξαμαρτανόντων. πρῶτον μὲν τοίνυν οἱ περὶ τῆς βλάβης οὗτοι νόμοι πάντες, ἵν' ἐκ τούτων ἄρξωμαι, [n] ἂν μὲν ἑκών [o] τις βλάψῃ, διπλοῦν, ἂν δ' ἄκων, ἁπλοῦν [p] τὸ βλαβος [q] κελεύουσιν ἐκτίνειν. εἰκότως· ὁ μὲν γὰρ παθὼν παντα χοῦ βοηθείας δικαίως [r] ἐστι τυγχάνειν, τῷ δράσαντι δ' οὐκ ἴσην τὴν ὀργήν, ἂν θ' ἑκὼν

54 ἂν τ' ἄκων, ἔταξεν ὁ νόμος. ἔπειθ' οἱ φονικοὶ τοὺς μὲν ἐκ προνοίας ἀποκτιννύντας θανάτῳ καὶ ἀειφυγίᾳ καὶ δημεύσει τῶν ὑπαρχόντων ζημιοῦσι, τοὺς δ' ἀκουσίως [s] αἱ-

[x] τυχὸν] τυχὼν O. r.
[y] ἀλλ' ἃ μὲν] ἀλλὰ μὴν S.
[z] ἐξαχθῇ] ἐξαφθῇ r.
[a] πρᾶξαι] τι πρᾶξαι F. k. r. t. v.
[b] τοῦτο] τι k. r. om. Y. O. s.
[c] γ' ἔνι] πάνυ pr. P. om. Y. O. s.
[d] πολλοῦ] τοῦ πολλοῦ O.
[e] τοῦ om. t.
[f] βεβουλευμένως P. S. Y. O. et correcti s. v. βεβουλευμένος t. vulg. βεβουλευμένος.
[g] φανερὸς] φανερῶς k. r.
[h] ἃ—πεποιηκὼς om. pr. P.
[i] ὕβρει] ὕβρει Y. O. s. t. ὕβρεῖ v.
[k] σκοπεῖν δεῖ P. S. Y. O. r. s. ceteri δεῖ σκοπεῖν.
[l] ἑκουσίως] ἑκουσίους t. ἑκουσίᾳ r. s. v.
[m] πλημμελοῦντας] τι πλημμελοῦντας r. k.
[n] ἂν] ἐὰν k.
[o] τις om. P. S. Y. O. s. t. v.
[p] τὸ βλάβος om. t.
[q] κελεύουσιν ἐκτίνειν] ἐκτίνειν κελεύουσιν r.
[r] ἐστι om. S.
[s] αἱδέσεως] Conf. Anecd. p. 361, 32.

δέσεως καὶ φιλανθρωπίας πολλῆς ἠξίωσαν. οὐ μόνον δ' ἐπὶ τούτων τοῖς ἐκ προαιρέσεως ὑβρισταῖς χαλεποὺς ὄν-
55 τας ἰδεῖν ἔστι τοὺς νόμους, ἀλλὰ καὶ ἐφ' ἁπάντων. τὶ [t]γὰρ δήποτ', [u]ἄν τις [x]ὄφλων δίκην μὴ [y]ἐκτίνῃ, [z]οὐκέτ' ἐποίησεν ὁ νόμος τὴν [a]ἐξούλης ἰδίαν, ἀλλὰ προστιμᾶν ἐπέταξε τῷ δημοσίῳ; καὶ πάλιν τὶ δήποτ', [b]ἂν μὲν ἐκὼν παρ' ἑκόντος τις λάβῃ τάλαντον ἓν ἢ δύο ἢ [c]δέκα
καὶ ταῦτ' ἀποστερήσῃ, οὐδὲν αὐτῷ πρὸς τὴν πόλιν ἐστίν, [d]ἂν δὲ μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, βίᾳ δὲ τοῦτο ἀφέληται, τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι
56 κελεύουσιν ὅσον περ [e]δὴ τῷ ἰδιώτῃ; [f]διὰ τί; ὅτι πάνθ', [g]ὅσα τις βιαζόμενος πράττει, κοινὰ ἀδικήματα καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων ἡγεῖτο ὁ νομοθέτης· τὴν μὲν γὰρ ἰσχὺν ὀλίγων, τοὺς δὲ νόμους ἁπάντων εἶναι, καὶ τὸν μὲν πεισθέντα ἰδίας, τὸν δὲ βιασθέντα δημοσίας
57 δεῖσθαι βοηθείας. διόπερ καὶ τῆς ὕβρεως αὐτῆς τὰς μὲν γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ, τὸ δὲ τίμημα ἐποίησεν ὅλον δημόσιον· τὴν γὰρ πόλιν ἡγεῖτο ἀδικεῖν, [h]οὐ τὸν παθόντα μόνον τὸν ὑβρίζειν ἐπιχειροῦντα, καὶ δίκην ἱκανὴν [i]τὴν τιμωρίαν εἶναι τῷ παθόντι, χρήματα δ' 529
58 οὐ προσήκειν τῶν τοιούτων ἐφ' ἑαυτῷ λαμβάνειν. καὶ τοσαύτη γ' ἐχρήσατο ὑπερβολῇ, ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις, ὁμοίως ἔδωκεν ὑπὲρ τούτου γραφήν. οὐ γὰρ ὅστις ὁ πάσχων ᾤετο δεῖν σκοπεῖν, ἀλλὰ τὸ πρᾶγμα ὁποῖόν τι [k]τὸ γιγνόμενον· ἐπειδὴ δ' εὗρεν οὐκ ἐπιτήδειον, μήτε

[t] γὰρ δήποτ'] δὴ γάρ ποτ' P. S. s. δὴ γὰρ δήποτε Y. O.
[u] ἄν] ἐάν P.
[x] ὄφλων] ὀφείλων k. r.
[y] ἐκτίνῃ] ἐκτίσῃ F. k. r. s. t. v.
[z] οὐκέτ'] οὐκ t. v.
[a] ἐξούλης] ἐξούλην F. S. k. r.
[b] ἂν] ἐὰν P. O.
[c] δέκα] καὶ δέκα F. v.
[d] ἂν] ἐὰν r.
[e] δὴ] ἂν k. r. om. F. t. v.
[f] διὰ τί om. S. Y. et pr. P. O.
[g] ὅσα—πράττει] ὅσ' ἄν—πράττῃ k. r.
[h] οὐ S. vulg. οὐχὶ.
[i] τὴν om. S.
[k] τὸ γιγνόμενον· ἐπειδὴ] γιγνόμενον ἐπεὶ r.

59 πρὸς δοῦλον μηθ' ὅλως ἐξεῖναι [l] πράττειν [m] ἐπέταξεν. οὐ γὰρ ἔστιν, [n] οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων οὐδὲν ὕβρεως ἀφορητότερον, οὐδ' ἐφ' ὅτῳ μᾶλλον ὑμῖν ὀργίζεσθαι προσηκει. Ἀνάγνωθι δ' αὐτόν μοι [o] λαβὼν τὸν τῆς ὕβρεως νόμον· οὐδεν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου.

ΝΟΜΟΣ.

60 Ἐάν τις [p] ὑβρίζῃ εἰς τινα, [q] ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα, τῶν ἐλευθέρων ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιήσῃ εἰς τούτων τινά, γραφέσθω πρὸς τοὺς θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων, οἷς ἔξεστιν, οἱ δὲ θεσμοθέται εἰσαγόντων εἰς τὴν ἡλιαίαν τριάκοντα ἡμερῶν ἀφ' ἧς ἂν ἡ γραφή, ἐὰν μή τι δημόσιον κωλύῃ, εἰ δὲ μή, ὅταν
61 ἧ πρῶτον οἷόν τε. ὅτου δ' ἂν [r] καταγνῷ [s] ἡ ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν [t] δοκῇ ἄξιος [u] εἶναι παθεῖν, ἢ ἀποτῖσαι. ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ [x] μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ. ἐὰν δὲ ἀργυρίου [y] τιμηθῇ τῆς ὕβρεως, δεδέσθω, ἐὰν [z] ἐλεύθερον ὑβρίσῃ, [a] μέχρι ἂν ἐκτίσῃ.

62 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ νόμου τῆς φιλανθρωπίας, ὃς οὐδὲ τοὺς δούλους ὑβριζεσθαι ἀξιοῖ. τί οὖν πρὸς 530
θεῶν; εἴ τις εἰς τοὺς βαρβάρους ἐνεγκὼν τὸν νόμον τοῦτον, παρ' ὧν τὰ ἀνδράποδα εἰς τοὺς Ἕλληνας [b] κομίζεται, ἐπαινῶν ὑμᾶς καὶ διεξιὼν [c] περὶ τῆς πόλεως εἶποι
63 πρὸς αὐτοὺς ὅτι "εἰσὶν [d] Ἕλληνές τινες ἄνθρωποι οὕτως "ἥμεροι καὶ φιλάνθρωποι τοὺς τρόπους, ὥστε πολλὰ

[l] πράττειν] ταῦτα πράττειν k. r.
[m] ἐπέταξεν] ἐπέτρεψεν P. S. Y. O. s. et γρ. F.
[n] οὐκ ἔστιν om. O.
[o] λαβὼν om. P. O. k. r. et pr. s.
[p] ὑβρίζῃ] ὑβρίσῃ k. Conf. Anecd. p. 176, 26.
[q] ἢ παῖδα om. r.
[r] καταγνῷ Taylorus: libri καταγοῦτε.
[s] ἡ ante ἡλιαία om. P. Y. O. r.
[t] δοκῇ] δόξῃ k.
[u] εἶναι om. r.
[x] μεταλάβῃ] καταλάβῃ s.
[y] τιμηθῇ om. pr. r.
[z] ἐλεύθερον] δὲ ἐλεύθερον F. P. S. Y. O. r. s. t. v.
[a] μέχρι P. Y. O. s. v. vulg. μέχρις.
[b] κομίζεται] νομίζεται Y. O. s.
[c] περὶ] ὑπὲρ P.
[d] Ἕλληνές τινες] τινες ἕλληνες F.

" ὑφ' ὑμῶν ἠδικημένοι, καὶ φύσει τῆς πρὸς ὑμᾶς ἔχ-
" θρας [c] αὐτοῖς ὑπαρχούσης πατρικῆς, ὅμως οὐδ' ὅσων ἂν
" τιμὴν καταθέντες δούλους κτήσωνται, οὐδὲ τούτους ὑβρί-
" ζειν ἀξιοῦσιν, ἀλλὰ νόμον δημοσίᾳ τὸν ταῦτα κωλύ-
" οντα [f] τεθεινται τουτονὶ καὶ πολλοὺς [g] ἤδη παραβάντας
64 " τὸν νόμον [h] τοῦτον ἐζημιώκασι θανάτῳ," εἰ ταῦτ' [i] ἀκού-
σαιεν καὶ συνεῖεν οἱ βάρβαροι, οὐκ ἂν οἴεσθε δημοσίᾳ
[k] πάντας ὑμᾶς [l] προξένους αὐτῶν ποιήσασθαι; τὸν τοίνυν
οὐ παρὰ τοῖς Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον, ἀλλὰ
καὶ παρὰ τοῖς βαρβάροις εὖ δόξαντ' [m] ἂν ἔχειν, [n] σκο-
πεῖσθ' ὁ παραβὰς ἥντινα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς.
65 Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ χορηγὸς ὢν
[o] ταῦτ' ἐπεπόνθειν ὑπὸ Μειδίου, ὕβριν ἄν τις [p] μόνον κατέ-
γνω τῶν πεπραγμένων αὐτῷ. νῦν δέ μοι δοκεῖ, κἂν ἀσέ-
βειαν εἰ [q] καταγιγνώσκοι, τὰ προσήκοντα ποιεῖν. ἴστε γὰρ
δήπου τοῦθ', ὅτι τοὺς χορεύς [r] ὑμεῖς ἅπαντας τούτους
[s] καὶ [t] τοὺς ὕμνους [u] τῷ θεῷ [x] ποιεῖτε οὐ μόνον κατὰ τοὺς
νόμους τοὺς περὶ τῶν Διονυσίων, ἀλλὰ καὶ κατὰ τὰς
μαντείας, ἐν αἷς ἁπάσαις ἀνηρημένον [y] εὑρήσετε τῇ πό-
λει, ὁμοίως ἐκ Δελφῶν καὶ ἐκ Δωδώνης, χορεύς ἱστά-
ναι κατὰ τὰ πάτρια καὶ [z] κνισσᾶν [a] ἀγυιὰς καὶ στε-

[c] αὐτοῖς] αὐτῆς k.
[f] τέθεινται] τεθῆναι Y. O. s.
[g] ἤδη om. S.
[h] τοῦτον om. t. v.
[i] ἀκούσαιεν] ἀκούσειαν k. r.
[k] πάντας] ἅπαντας k. r.
[l] προξ. αὐτῶν] αὐτῶν προξ. k. r.
[m] ἂν om. k. r.
[n] σκοπεῖσθ'] σκοπεῖθ' v.
[o] ταῦτ' post ἐπεπόνθειν ponit r. om. k.
[p] μόνον κατέγνω] κατέγνω μόνον F. t. v.
[q] καταγιγνώσκοι] καταγιγνώσκοιτις F. Y. O. s. t. v. et fortasse pr. P.
[r] ὑμεῖς om. t.
[s] καὶ om. F. k. r.
[t] τοὺς ὕμνους S. vulg. om. articulum.
[u] τῷ] οὓς τῷ P. S. Y. O. s.
[x] ποιεῖτε P. Y. O. k. r. vulg. ποιεῖσθε.
[y] εὑρήσετε] εὑρήσεται k.
[z] κνισσᾶν] κνισᾶν F. P. S. Y. O. k. r. s. et pr. v.
[a] ἀγυιὰς] ἀνιὰς O.

66 φανηφορεῖν. Ἀνάγνωθι δέ μοι λαβὼν αὐτὰς τὰς μαντείας.

ΜΑΝΤΕΙΑΙ. 531

Αὐδῶ [b] Ἐρεχθείδαισιν, [c] ὅσοι Πανδίονες ἄστυ
[d] ναίετε καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτάς,
μεμνῆσθαι Βάκχοιο, καὶ [e] εὐρυχόρους κατ' ἀγυιὰς
ἱστάναι [f] ὡραίαν Βρομίῳ χάριν ἄμμιγα πάντας,
καὶ κνισσᾷν βωμοῖσι κάρη στεφάνοις τυκάσαντας.

67 Περὶ ὑγιείας θύειν καὶ εὔχεσθαι Διὶ ὑπάτῳ, [g] Ἡρακλεῖ, Ἀπόλλωνι [h] προστατηρίῳ· περὶ τύχας ἀγαθᾶς Ἀπόλλωνι [i] ἀγυιεῖ, Λατοῖ, Ἀρτέμιδι, καὶ [k] κατ' ἀγυιὰς κρατῆρας ἱστάμεν καὶ χορούς καὶ στεφανηφορεῖν [l] κατὰ [m] τὰ πάτρια θεοῖς Ὀλυμπίοις πάντεσσι καὶ πάσαις, ἰδίας δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντες, καὶ μνασιδωρεῖν.

68 [n] ΕΚ ΔΩΔΩΝΗΣ [o] ΜΑΝΤΕΙΑΙ.

Τῷ δήμῳ [p] τῷ Ἀθηναίων ὁ τοῦ Διὸς σημαίνει. ὅτι τὰς ὥρας παρηνέγκατε τῆς θυσίας καὶ τῆς θεωρίας, αἱρετοὺς πέμπειν κελεύει θεωροὺς ἐννέα, καὶ [q] τούτους διὰ ταχέων τῷ Διὶ [r] τῷ ναρω τρεῖς βοῦς καὶ πρὸς ἑκάστῳ δύο [s] βοήσεις, τῇ [t] δὲ Διώνῃ βοῦν καὶ ἄλλα ἱερεῖα καὶ τράπεζαν χαλκῆν, καὶ πρὸς τὸ ἀνάθημα, ὃ ἀνέθηκεν ὁ δῆμος ὁ Ἀθηναίων.

[b] Ἐρεχθείδαισιν] ἐρεχθεΐδεσσιν t. ἐρεχθείδασσιν k. t. v. ἐρεχθῆεσσιν F. S.

[c] ὅσοι] ὅσσοι F.

[d] ναίετε] ναίοιτε Y. r. s. νέοιτε O.

[e] εὐρυχόρους] εὐρυχώρους t.

[f] ὡραίαν—χάριν] ὡραῖον—χορὸν Hemsterhus. ad Lucian. Nigrin. 15.

[g] Ἡρακλεῖ] καὶ ἡρακλεῖ F. P. S. Y. O. s. t. v.

[h] προστατηρίῳ] προστάτορι pr. r.

[i] ἀγυιεῖ Λατοῖ] ἀγυιλατου F. ἀγυιλατῶν S. ἀγυιλατοῖ s. ἀγυιᾶ λατοῖ O.

[k] κατ'] κατὰ τ' s.

[l] κατὰ] καὶ κατὰ s.

[m] τὰ om. P. Y. O. s. et pr. r.

[n] ΕΚ] ἐτέρα ἐκ k.

[o] ΜΑΝΤΕΙΑΙ] μαντεία P.

[p] τῷ Ἀθηναίων] τῶν Ἀθηναίων O. k. r. t. v.

[q] τούτους] τούτους τοὺς r. τούτου τοὺς F. S. Y. t. v. τοῦτο τοὺς P.

[r] τωναρωτρις S. τῶν ἀρω, τρὶς F. τῷ ναρω τρεῖς correctus r. τῶν αρω τρεῖς Y. τῶν αρωτρεῖς P. et (litteris ων macula opertis appositoque in margine τεμάρῳ) O. τῶν ἀρωτρεῖς s. t. v. vulg. τῷ δωδωναίῳ ἀρωτρεῖς.

[s] βοήσεις] βοήσεις F. P. Y. O. s. et correctus S. Correctus et ipse r. habuisse videtur βοωσῃ. Totum locum ita constituit Buttmannus: θεωροὺς ἔνεκα τούτου, τοὺς δὲ ἀπάγειν τῷ Διὶ τῷ ἐν Τεμάρῳ τρεῖς βοῦς καὶ πρὸς ἑκάστῳ δύο ὄις.

[t] δὲ om. F. P. S. et pr. Y.

69 [n] ΕΤΕΡΑ.

Ὁ τοῦ Διὸς σήμαιν' ἐν Δωδώνῃ Διονύσῳ [x] δημοτελεῖ ἱερεῖον τέλειον καὶ κρατῆρα κεράσαι καὶ χοροὺς ἱστάναι, Ἀπόλλωνι ἀποτροπαίῳ βοῦν [y] θῦσαι, καὶ στεφανηφορεῖν ἐλευθέρους καὶ δούλους, καὶ [z] ἐλινύειν μίαν ἡμέραν. Διὶ κτησίῳ βοῦν λευκόν.

70 [a] Εἰσίν, ὦ ἄνδρες Ἀθηναῖοι, [b] καὶ αὗται καὶ ἄλλαι πολλαὶ μαντεῖαι [c] τῇ πόλει [d] καλαὶ] κἀγαθαί. τί οὖν 532
ἐκ τούτων ὑμᾶς ἐνθυμεῖσθαι δεῖ; ὅτι τὰς μὲν ἄλλας θυσίας τοῖς ἐφ' ἑκάστης μαντείας προφαινομένοις θεοῖς προστάττουσι θύειν, ἱστάναι δὲ χοροὺς καὶ στεφανηφορεῖν κατὰ τὰ πάτρια πρὸς ἁπάσαις [e] ἀεὶ ταῖς ἀφικνουμέ-
71 ναις μαντείαις προσαναιροῦσιν ὑμῖν. οἱ τοίνυν χοροὶ πάντες οἱ γιγνόμενοι καὶ οἱ χορηγοὶ δῆλον ὅτι τὰς μὲν ἡμέρας ἐκείνας, ἃς συνερχόμεθα [f] ἐπὶ τὸν ἀγῶνα κατὰ τὰς μαντείας ταύτας, [g] ὑπὲρ ὑμῶν [h] στεφανούμεθα, ὁμοίως ὅ τε μέλλων νικᾶν καὶ [i] ὁ πάντων ὕστατος γενήσεσθαι, τὴν δὲ τῶν ἐπινικίων ὑπὲρ αὐτοῦ τότ' ἤδη στεφανοῦται ὁ νικῶν. τὸν οὖν εἴς τινα τούτων τῶν [k] χορευτῶν ἢ τῶν χορηγῶν ὑβρίζοντα ἐπ' ἔχθρᾳ, καὶ ταῦτ' ἐν αὐτῷ τῷ ἀγῶνι καὶ ἐν τῷ τοῦ θεοῦ ἱερῷ, τοῦτον ἄλλο τι [l] πλὴν ἀσεβεῖν
φήσομεν;

72 Καὶ μὴν ἴστε γε τοῦθ', ὅτι βουλόμενοι μηδὲν' [m] ἀγω-

[n] ΕΤΕΡΑ om. plerique omnes.

[x] δημοτελεῖ] δημοτελεῖ O. Buttmannus σημαίνει — δημοτελῆ ἱερὰ τελεῖν.

[y] θῦσαι om. r. et pr. Y.

[z] ἐλινύειν] ἐλεεινύειν S. ἐλεεῖν θύειν F. P. Y. r. s. t. v.

[a] Εἰσίν] εἰσὶ μὲν k. r.

[b] καὶ αὗται om. O.

[c] τῇ] ἐν τῇ F. t. v.

[d] καλαὶ καγαθαὶ] κἀγαθαὶ P. S. Y. καὶ καλαὶ κἀγαθαὶ k. πολλαὶ κἀγαθαὶ t. καὶ ἀγαθαὶ καὶ πολλαὶ r.

[e] ἀεὶ om. S. Y. s. t. v.

[f] ἐπὶ] εἰς O. s.

[g] ὑπὲρ ὑμῶν F. P. k. r. ὑπὲρ ὑμῶν αὐτῶν Y. O. s. t. v. ὑπὲρ αὐτῶν S. vulg. περὶ αὐτῶν.

[h] στεφανούμεθα] ἐστεφανούμεθα F. P. S. Y. O. s. t. v. ἐστεφανώμεθα k. r.

[i] ὁ πάντων] ὁπόταν pr. O.

[k] χορευτῶν] χορεύοντων k.

[l] πλὴν] ἢ r.

[m] ἀγωνίζεσθαι] ἀγωνίσεσθαι s.

νίζεσθαι ξένον οὐκ ἐδώκατε ἁπλῶς τῶν χορηγῶν οὐδενὶ [n] προσκαλέσαντι τοὺς χορευτὰς σκοπεῖν, ἀλλ' ἐὰν μὲν καλέσῃ, πεντήκοντα δραχμάς, ἐὰν δὲ καθίζεσθαι κελεύσῃ, χιλίας ἀποτίνειν [o] ἐτάξατε. τίνος [p] ἕνεκα; [q] ὅπως μὴ τὸν ἐστεφανωμένον καὶ λειτουργοῦντα τῷ θεῷ ταύτην τὴν ἡμέραν καλῇ μηδ' ἐπηρεάζῃ μηδ' ὑβρίζῃ μηδεὶς ἐξε-
73 πίτηδες. εἶτα τὸν μὲν χορευτὴν οὐδ' ὁ [r] προσκαλέσας κατὰ τὸν νόμον ἀζήμιος ἔσται, τὸν δὲ [s] χορηγὸν οὐδ' ὁ συγκόψας παρὰ πάντας τοὺς νόμους οὕτω φανερῶς [t] δώσει δίκην; ἀλλὰ μὴν οὐδέν ἐστ' ὄφελος καλῶς καὶ φιλανθρώπως τοὺς νόμους ὑπὲρ τῶν πολλῶν κεῖσθαι, εἰ τοῖς ἀπειθοῦσι καὶ βιαζομένοις αὐτοὺς ἡ παρ' ὑμῶν ὀργὴ τῶν 533
ἀεὶ κυρίων μὴ γενήσεται.

74 Φέρε δὴ πρὸς θεῶν κἀκεῖνο σκέψασθε. παραιτήσομαι δ' ὑμᾶς μηδὲν ἀχθεσθῆναί μοι, ἐὰν ἐπὶ συμφοραῖς τινῶν γεγονότων [u] ὀνομαστὶ μνησθῶ· [x] οὐ γὰρ [y] ὀνειδίσαι μὰ τοὺς θεοὺς οὐδενὶ δυσχερὲς οὐδὲν βουλόμενος τοῦτο ποιήσω, ἀλλὰ δεῖξαι τὸ βιάζεσθαι καὶ [z] ὑβρίζειν καὶ [a] τὰ τοιαῦ-
75 τα ποιεῖν ὡς ἅπαντες ὑμεῖς οἱ ἄλλοι φεύγετε. Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χορεὺς [b] διδάσκων· οὗτος ἀστρατείας ἑάλω καὶ κέχρηται συμφορᾷ. τοῦτον μετὰ τὴν ἀτυχίαν ταύτην ἐμισθώσατό τις [c] φιλονεικῶν χορηγὸς τραγῳδῶν, οἶμαι, [d] Θεοσδοτίδης. τὸ μὲν οὖν πρῶτον ἠγανάκτουν οἱ [e] ἀντιχορηγοὶ καὶ κωλύσειν ἔφα-

[n] προσκαλέσαντι] προκαλέσαντι t.
[o] ἐτάξατε] ἐξετάσατε O.
[p] ἕνεκα] εἵνεκα k. r.
[q] ὅπως] ὅτι t.
[r] προσκαλέσας] προκαλέσας F.
[s] χορηγὸν] χορηγὸν αὐτὸν F. k. r. t. v.
[t] δώσει S. ceteri οἱ δόσει.
[u] ὀνομαστὶ Reiskius: libri ὀνόματι.
[x] οὐ] οὐδὲ r.
[y] ὀνειδίσαι] ὀνειδίσου t.
[z] ὑβρίζειν] τὸ ὑβρίζειν F. S. k. r.
[a] τὰ] τὸ τὰ k. r.
[b] διδάσκων] διδιδάσκων rec. k.
[c] φιλονεικῶν] φιλονικων S.
[d] Θεοσδοτίδης] θεοζοτίδης S. θεοσδοτίτης t.
[e] ἀντιχορηγοὶ] ἀντιχόρηγοι k. r.

76 σαν, ὡς δ' ἐπληρώθη τὸ θέατρον καὶ τὸν ὄχλον συνειλεγ- 15
μένον εἶδον ἐπὶ τὸν ἀγῶνα, ὤκνησαν, εἴασαν, οὐδεὶς ἥψα-
το, ἀλλὰ τοσοῦτον τῆς [g] εὐσεβείας ἐν ἑκάστῳ τις ἂν [h] ὑμῶν
ἴδοι [i] συγκεχωρηκός, ὥστε πάντα τὸν μετὰ ταῦτα χρόνον
διδάσκει τοὺς χορεύς καὶ οὐδὲ τῶν ἰδίων ἐχθρῶν οὐδεὶς 20
77 κωλύει· [k] τοσοῦτ' ἀπέχει [l] τῶν χορηγῶν. ἄλλος ἐστὶν
Ἀριστείδης Οἰνηίδος φυλῆς, ἠτυχηκώς τι καὶ οὗτος τοιοῦ-
τον, ὃς νῦν μὲν καὶ γέρων ἐστὶν ἤδη καὶ ἴσως ἥττων χο-
ρευτής, ἦν δέ ποθ' ἡγεμὼν τῆς φυλῆς κορυφαῖος. [m] ἴστε 25
δήπου τοῦθ', ὅτι τὸν ἡγεμόνα [n] ἂν [o] ἀφέλῃ τις, οἴχεται ὁ
78 λοιτὸς χορός. ἀλλ' ὅμως πολλῶν χορηγῶν φιλονεικη-
σάντων οὐδεὶς πώποτε τοῦτ' εἶδε τὸ πλεονέκτημα, οὐδ'
ἐτόλμησε τοῦτον ἐξαγαγεῖν οὐδὲ κωλῦσαι· διὰ γὰρ τὸ
δεῖν αὐτὸν ἐπιλαβόμενον τῇ χειρὶ τοῦτο ποιῆσαι καὶ μὴ 534
προσκαλέσασθαι πρὸς τὸν ἄρχοντα ἐξεῖναι, ὥσπερ ἂν εἰ
ξένον τις ἐξαγαγεῖν ἠβούλετο, ἅπας τις ὤκνει τῆς ἀτελ-
79 γείας ταύτης αὐτόχειρ ὀφθῆναι [p] γιγνόμενος. οὐκ οὖν 5
δεινόν, ὦ [q] ἄνδρες δικασταί, καὶ σχέτλιον τῶν μὲν νικᾶν
ἂν [r] ταυτὶ παρὰ [s] τοῦτ' οἰομένων χορηγῶν, τῶν [t] ἀνηλωκό-
των πολλάκις πάντα τὰ ὄντα εἰς τὰς λειτουργίας, μη-
δένα τολμῆσαι πώποτε μηδ' ὧν οἱ νόμοι διδόασιν ἅψα-
σθαι, ἀλλ' οὕτως εὐλαβῶς, οὕτως εὐσεβῶς, οὕτω μετρίως 10
80 διακεῖσθαι, ὥστε ἀναλίσκοντας ἀγωνιῶντας ὅμως [u] ἀπ-

[g] εὐσεβείας] εὐεργεσίας O.
[h] ὑμῶν om. s.
[i] συγκεχωρηκὸς] τὸ συγκεχωρηκὸς k. r.
[k] τοσοῦτ'] τοσοῦτον γρ. S.
[l] τῶν χορηγῶν S. τῶν χορηγῶν τινὸς ἅψασθαι F. τῶν χορηγῶν τινὸς ἅψασθαι t. τοῦ τῶν χορηγῶν τινὸς ἅψασθαι Y. τοῦ χορηγῶν τινὸς ἅψασθαι P. O. k. et correctus v. τοῦ χορηγόν τινος ἅψασθαι r. s. τοῦ τὸν χορηγόν τινος ἅπτεσθαι γρ. S.
[m] ἴστε] ἴστε δὲ P. Y. O. s.
[n] ἂν] ἐὰν k.
[o] ἀφέλῃ] ἀφέληται k. r.
[p] γιγνόμενος] γενόμενος Y.
[q] ἄνδρες δικασταί] ἀθηναῖοι r.
[r] ταυτὶ] τουτὶ s. om. F. k. r.
[s] τοῦτ'] ταῦτ' k. r.
[t] ἀνηλωκότων] ἀνῃλωκότων F.
[u] ἀπέχεσθαι] ἀπέχθεσθαι F.

ἔχεσθαι καὶ προοράσθαι τὰς ὑμετέρας [x] βουλήσεις καὶ τὴν περὶ τὴν ἑορτὴν σπουδήν, Μειδίαν δὲ ἰδιώτην ὄντα, μηδὲν [y] ἀνηλωκότα, ὅτι τῷ προσέκρουσε καὶ ἐχθρὸς ὑπῆρ- 15
χε, τοῦτον ἀναλίσκοντα χορηγοῦντα [z] ἐπίτιμον ὄντα προπηλακίζειν καὶ τύπτειν, καὶ μήτε [a] τῆς ἑορτῆς μήτε τῶν νόμων μήτε τί ὑμεῖς ἐρεῖτε μήτε τοῦ θεοῦ φροντίζειν.

81 Πολλῶν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι γεγενημένων ἐχθρῶν ἀλλήλοις, οὐ μόνον ἐξ ἰδίων ἀλλὰ καὶ ἐκ κοινῶν πραγ- 20
μάτων, οὐδεὶς πώποτ' εἰς τοσοῦτ' ἀναιδείας ἀφίκετο ὥστε [b] τοιοῦτόν τι τολμῆσαι ποιεῖν. καίτοι φασὶν Ἰφικράτην [c] ποτ' ἐκεῖνον Διοκλεῖ τῷ [d] Πιτθεῖ τὰ μάλιστα ἐλθεῖν εἰς ἔχθραν, καὶ ἔτι πρὸς τούτῳ συμβῆναι Τισίαν τὸν Ἰφι- 25
82 κράτους ἀδελφὸν ἀντιχορηγῆσαι τῷ Διοκλεῖ. ἀλλ' ὅμως πολλοὺς [e] μὲν ἔχων φίλους Ἰφικράτης, πολλὰ δὲ χρήματα κεκτημένος, φρονῶν δ' ἐφ' ἑαυτῷ τηλικοῦτον ἡλίκον εἰκὸς ἄνδρα καὶ [f] δόξης καὶ τιμῶν τετυχηκότα ὧν ἐκεῖνος ἠξίωτο παρ' ὑμῶν, οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων 535
οἰκίας νύκτωρ, οὐδὲ κατερρήγνυε τὰ παρασκευαζόμενα ἱμάτια εἰς τὴν ἑορτήν, οὐδὲ διέφθειρε διδάσκαλον, [g] οὐδὲ
83 χορὸν μανθάνειν ἐκώλυεν, οὐδὲ τῶν ἄλλων οὐδὲν ὧν οὗτος [h] διεπράττετο ἐποίει, ἀλλὰ τοῖς νόμοις καὶ τῇ τῶν [i] ἄλ- 5
λων βουλήσει συγχωρῶν ἠνείχετο καὶ νικῶντα καὶ στεφανούμενον τὸν ἐχθρὸν ὁρῶν, εἰκότως· ἐν ᾗ γὰρ αὐτὸς εὐδαίμων ἥδει γεγονὼς πολιτείᾳ, ταύτῃ συγχωρεῖν τὰ τοι-

[x] βουλήσεις] βούσεις Y. βοήσεις P.
[y] ἀνηλωκότα] ἀνήλωκότα F.
[z] ἐπίτιμον] ἐπιτίμων O.
[a] τῆς om. F. t. v.
[b] τοιοῦτόν τι] τι τοιοῦτον r.
[c] ποτ' ἐκεῖνον] ἐκείνῳ ποτε r.
[d] Πιτθεῖ] πιθεῖ t. r. πειθεῖ Y.O. s.
[e] μὲν om. r.
[f] δόξης καὶ τιμῶν] τιμῶν καὶ δόξης k. r.
[g] οὐδὲ χορὸν] οὐ χορὸν k.
[h] διεπράττετο] διεπράξατο r.
[i] ἄλλων] πολλῶν k.

84 αὗτα ἠξίου. πάλιν Φιλόστρατον [k] πάντες ἴσμεν τὸν Κολωνῆθεν Χαβρίου κατηγοροῦντα, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν θανάτου, καὶ πάντων τῶν κατηγόρων πικρότατον [l] γενόμενον, καὶ μετὰ ταῦτα χορηγοῦντα παισὶ Διονύσια [m] καὶ νικῶντα, καὶ Χαβρίαν οὔτε τύπτοντα οὔτε ἁφαρπάζοντα τὸν στέφανον οὐθ' ὅλως προσιόνθ' [n] ὅποι μὴ
85 προσῆκεν αὐτῷ. πολλοὺς δ' ἂν ἔχων εἰπεῖν ἔτι καὶ διὰ πολλὰς προφάσεις ἐχθροὺς γεγενημένους ἀλλήλοις, οὐδένα πώποτε οὔτ' ἀκήκοα οὔτε [o] ἑώρακα ὅστις εἰς τοσοῦτον ἐλήλυθεν ὕβρεως, ὥστε τοιοῦτόν τι ποιεῖν. οὐδέ γε ἐκεῖνο οὐδεὶς ὑμῶν οἶδ' ὅτι μνημονεύει πρότερον, τῶν ἐπὶ τοῖς ἰδίοις ἢ καὶ τοῖς κοινοῖς ἐχθρῶν [p] ἀλλήλοις οὐδένα οὔτε καλουμένων τῶν κριτῶν παρεστηκότα, οὔθ' ὅταν ὀμνύωσιν ἐξορκοῦντα, οὔθ' ὅλως ἐπ' οὐδενὶ τῶν τοιούτων ἐχθρὸν
86 ἐξεταζομένον. [q] ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, [r] φιλονεικίᾳ μὲν ὑπαχθέντα χορηγὸν ὄντα ποιεῖν ἔχει τινὰ συγγνώμην· ἔχθρᾳ δ' ἐλαύνοντά τινα, ἐκ προαιρέσεως, ἐφ' ἅπασι, καὶ τὴν ἰδίαν [s] δύναμιν κρείττω τῶν νόμων οὖσαν ἐνδεικνύμενον, Ἡράκλεις, βαρὺ
87 καὶ [t] οὐχὶ δίκαιόν ἐστιν οὐδὲ συμφέρον ὑμῖν. εἰ γὰρ ἑκά- 536
στῳ τῶν [u] χορηγούντων τοῦτο πρόδηλον γένοιτο, ὅτι ἂν ὁ δεῖνα ἐχθρὸς ᾖ [x] μοι, Μειδίας [y] ἤ τις ἄλλος θρασὺς [z] οὕτω καὶ πλούσιος, πρῶτον μὲν ἀφαιρεθήσομαι τὴν νίκην, κἂν

[k] πάντες] ἅπαντες F. O. k. r. t. v.
[l] γενόμενον] γεγενημένον k. r.
[m] καὶ νικῶντα om. k. r.
[n] ὅποι] ὅπη r.
[o] ἑώρακα] ἑόρακα F. ἑόρακα Y. O.
[p] ἀλλήλοις] ἀλλήλοις γενομένων k. r.
[q] ταῦτα γὰρ πάντα] πάντα γὰρ ταῦτα k. r.
[r] φιλονεικίᾳ] φιλονικίᾳ O.
[s] δύναμιν κρείττω] δύναμιν καὶ βίαν κρείττω P. k. δύναμιν κρείττω καὶ βίαν F. t. v.
[t] οὐχὶ] οὐ s.
[u] χορηγούντων] χορηγῶν k. r.
[x] μοι om. v.
[y] ἤ τις] εἴ τις P. Y. O. s.
[z] οὕτω καὶ] καὶ οὕτω k. r.

ἄμεινον ἀγωνίσωμαί τινος, ἔπειτ' ἐφ' ἅπασιν ἐλαττωθή-
σομαι καὶ προπηλακιζόμενος διατελέσω, τίς οὕτως ἀλό-
γιστος ἢ τίς [a] οὕτως ἄθλιός ἐστιν, ὅστις ἐκὼν ἂν μίαν
88 δραχμὴν [b] ἐθελήσειεν ἀναλῶσαι; οὐδείς δήπου, ἀλλ', οἶ-
μαι, τὸ πάντας ποιοῦν καὶ φιλοτιμεῖσθαι καὶ ἀναλί-
σκειν ἐθέλειν ἐκεῖν' ἐστίν, ὅτι τῶν ἴσων καὶ τῶν δικαίων
ἕκαστος ἡγεῖται ἑαυτῷ μετεῖναι ἐν δημοκρατίᾳ. ἐγὼ τοί-
νυν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων οὐκ ἔτυχον διὰ τοῦτον,
ἀλλὰ [c] χωρὶς ὧν ὑβρισθην, καὶ τῆς νίκης προσαπεστε-
ρήθην. καίτοι πᾶσιν ὑμῖν ἐγὼ τοῦτο δείξω σαφῶς,
ὅτι μηδὲν ἀσελγὲς ἐξῆν ποιοῦντι Μειδίᾳ [d] μηδ' ὑβρί-
ζοντι μηδὲ τύπτοντι καὶ λυπεῖν ἐμὲ καὶ κατὰ τοὺς νό-
μους αὐτῷ φιλοτιμεῖσθαι πρὸς ὑμᾶς, καὶ μηδὲ διᾶραι
89 [e] τὸ στόμα περὶ αὐτοῦ [f] νῦν ἔχειν ἐμέ. ἐχρῆν γὰρ αὐτόν,
ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἐγὼ τῆς Πανδιονίδος χορηγὸς ὑπέ-
στην ἐν τῷ δήμῳ, τότε τῆς Ἐρεχθηίδος ἀναστάντα, τῆς
[g] ἑαυτοῦ φυλῆς, ἀνθυποστῆναι, καὶ καταστήσαντ' ἐαυτὸν
ἐξ ἴσου καὶ τὰ ὄντα ἀναλίσκοντα ὥσπερ ἐγώ, οὕτω μ'
ἀφαιρεῖσθαι τὴν νίκην, ὑβρίζειν δὲ τοιαῦτα καὶ τύπτειν
90 μηδὲ τότε. νῦν δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἐν ᾧ τὸν δῆμον
ἐτίμησεν ἄν, οὐδ' ἐνεανιεύσατο [h] τοιοῦτον οὐδέν· ἐμοὶ δ',
ὅς (εἴτε τις, ὦ ἄνδρες Ἀθηναῖοι, βούλεται νομίσαι [i] μα-
νίᾳ· μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμίν τι ποιεῖν· εἴτε
καὶ [k] φιλοτιμίᾳ) χορηγὸς ὑπέστην, οὕτω φανερῶς καὶ 537
μιαρῶς ἐπηρέαζων [l] παρηκολούθησεν, ὥστε μηδὲ τῶν ἱερῶν

[a] οὕτως ante ἄθλιος om. P.S.Y. O. s.
[b] ἐθελήσειεν] ἐθελήσῃ k. r.
[c] χωρὶς ὧν] χορηγὸς ὢν correctus S.
[d] μηδ' — μηδὲ] μήτε — μήτε k. r.
[e] τὸ στόμα περὶ αὐτοῦ] περὶ αὐτοῦ τὸ στόμα k. r.
[f] νῦν om. S. Y.
[g] ἑαυτοῦ] αὐτοῦ r.
[h] τοιοῦτον οὐδέν] τοῦτο S.
[i] μανίᾳ] μανίαν F. P. Y. O. k. s. t. v. et γρ. S. μανεὶς S.
[k] φιλοτιμίᾳ] φιλοτιμίαν k. t. v. et correctus O.
[l] παρηκολούθησεν] ἐπαρηκολούθησεν S. ἐπηκολούθησεν P. O. s.

ἱματίων μηδὲ τοῦ χοροῦ μηδὲ τοῦ σώματος τὼ χεῖρε τελευτῶν ἀποσχέσθαι μου.

91 Εἰ τοίνυν τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλως πως ἔχει τὴν ὀργὴν ἐπὶ Μειδίαν ἢ ὡς [m] δέον αὐτὸν τεθνάναι, οὐκ ὀρθῶς [n] ἔχει. οὐ γάρ ἐστι δίκαιον οὐδὲ προσῆκον τὴν τοῦ παθόντος εὐλάβειαν τῷ μηδὲν ὑποστειλαμένῳ πρὸς ὕβριν μερίδα [o] εἰς σωτηρίαν ὑπάρχειν, ἀλλὰ τὸν μὲν ὡς ἁπάντων τῶν ἀνηκέστων αἴτιον κολάζειν προσήκει, τῷ δ'
92 ἐπὶ τοῦ βοηθεῖν ἀποδιδόναι τὴν χάριν. οὐδὲ γὰρ αὖ τοῦτ' [p] ἔστιν εἰπεῖν, ὡς οὐ γεγενημένου πώποτ' οὐδενὸς ἐκ τῶν τοιούτων δεινοῦ τῷ λόγῳ τὸ πρᾶγμα ἐγὼ νῦν αἴρω καὶ φοβερὸν ποιῶ. πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἴσασιν ἅπαντες, εἰ δὲ μή, πολλοί γε, Εὔθυνον τὸν παλαίσαντά ποτ'
ἐκεῖνον, τὸν νεανίσκον, καὶ [q] Σώφιλον τὸν παγκρατιαστήν (ἰσχυρός τις ἦν, μέλας, εὖ οἶδ' ὅτι γιγνώσκουσί τινες ὑμῶν ὃν λέγω,) τοῦτον ἐν Σάμῳ ἐν συνουσίᾳ τινὶ καὶ διατριβῇ οὕτως ἰδίᾳ, ὅτι ὁ τύπτων αὐτὸν ὑβρίζειν ᾤετο, [r] ἀμυ-
93 νάμενον οὕτως ὥστε καὶ ἀποκτεῖναι. ἴσασιν Εὐαίωνα πολλοὶ τὸν [s] Λεωδάμαντος ἀδελφὸν ἀποκτείναντα Βοιωτὸν ἐν δείπνῳ καὶ συνόδῳ κοινῇ διὰ πληγὴν μίαν. οὐ γὰρ ἡ πληγὴ παρέστησε τὴν ὀργήν, ἀλλ' ἡ ἀτιμία· οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις ἐστὶ δεινόν, καίπερ ὂν δεινόν, ἀλλὰ τὸ ἐφ' ὕβρει. πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύπτων,
ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ὁ παθὼν ἕνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιθ' [t] ἑτέρῳ, τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ, ὅταν ὡς ὑβρίζων, ὅταν ὡς ἐχθρὸς ὑπάρχων, ὅταν κονδύλοις,
94 ὅταν ἐπὶ κόρρης. ταῦτα κινεῖ, ταῦτ' ἐξίστησιν ἀνθρώπους 538

[m] δέον] οὐ δέον F. P. Y. O. k. r. s. t. v.
[n] ἔχει] γινώσκει k. r.
[o] εἰς] πρὸς Y. O. s.
[p] ἔστιν] ἔνεστιν k. r.
[q] Σώφιλον] σόφιλον t.
[r] ἀμυνάμενον] ἀμυνόμενον F. t. v.
[s] Λεωδάμαντος] λαοδάμαντος k. r.
[t] ἑτέρῳ] ἑταίρῳ F. t.

αὐτῶν, ἀηθεῖς ὄντας τοῦ προπηλακίζεσθαι. οὐδεὶς [u] ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἀπαγγέλλων δύναιτο τὸ δεινὸν παραστῆσαι τοῖς ἀκούουσιν οὕτως, ὡς ἐπὶ τῆς ἀληθείας καὶ τοῦ πράγματος τῷ πάσχοντι καὶ τοῖς ὁρῶσιν ἐναργὴς ἡ ὕβρις φαίνεται. σκέψασθε [x] δὴ πρὸς Διὸς καὶ θεῶν, ὦ [y] ἄνδρες Ἀθηναῖοι, καὶ [z] λογίσασθε παρ' ὑμῖν αὐτοῖς, ὅσῳ πλείονα ὀργὴν ἐμοὶ προσῆκε παραστῆναι πάσχοντι τοιαῦτα ὑπὸ Μειδίου, ἢ τότε ἐκείνῳ τῷ Εὐαίωνι τῷ τὸν Βοιωτὸν ἀποκτείναντι. ὁ μέν γε ὑπὸ γνωρίμου, καὶ τούτου μεθύοντος, ἐναντίον ἓξ ἢ ἑπτὰ ἀνθρώπων ἐπλήγη, καὶ τούτων γνωρίμων, οἳ τὸν μὲν χαλεπῶς [a] ἐφ' οἷς ἔπραξε, τὸν δ' ἐπαινέσεσθαι μετὰ ταῦτα ἀνασχόμενον καὶ κατασχόνθ' ἑαυτὸν ἤμελλον, καὶ [b] ταῦτ' εἰς οἰκίαν ἐλθὼν [c] ἐπὶ δεῖπνον, οἳ [d] μὴ βαδίζειν [e] ἐᾷ αὐτῷ. ἐγὼ δ' ὑπ' ἐχθροῦ νήφοντος, ἔωθεν, ὕβρει καὶ οὐχ οἴνῳ [f] τοῦτο ποιοῦντος, ἐναντίον πολλῶν καὶ ξένων καὶ πολιτῶν ὑβριζόμην, καὶ ταῦτ' ἐν ἱερῷ καὶ [g] οἷ πολλή μοι ἦν ἀνάγκη βαδίζειν χορηγοῦντι. καὶ ἐμαυτὸν μέν γε, ὦ ἄνδρες Ἀθηναῖοι, σωφρόνως, μᾶλλον δ' εὐτυχῶς οἶμαι βεβουλεῦσθαι, ἀνασχόμενον τότε καὶ [h] οὐδὲν ἀνήκεστον ἐξαχθέντα πρᾶξαι· τῷ δ' Εὐαίωνι καὶ πᾶσιν, εἴ τις αὐτῷ βεβοήθηκεν [i] ἀτιμαζομένῳ, πολλὴν συγγνώμην ἔχω. δοκοῦσι δέ μοι καὶ τῶν [k] δικασάντων τότε πολλοί· ἀκούω γὰρ [l] αὐτὸν ἔγωγε μιᾷ μόνον ἀλῶναι ψήφῳ, καὶ ταῦτα οὔτε κλαύσαντα οὔτε δεηθέντα τῶν δικαστῶν οὐδενός, οὔτε φι-

[u] ἄν post δύναιτο ponunt k. r.
[x] δὴ om. O.
[y] ἄνδρες Ἀθηναῖοι] δικασταί k. r.
[z] λογίσασθε] λογίζεσθε k. r.
[a] ἐφ' soli habent k. r.
[b] ταῦτ'] ταῦτ' ἔπαθεν k. r.
[c] ἐπὶ] ἐπι το S.
[d] μὴ S. vulg. μηδέ.
[e] ἐᾷ] ἐᾷν F.
[f] τοῦτο] ταῦτα k. r.
[g] οἷ] ὧ F. S. k. r. t.
[h] οὐδὲν] μηδὲν F. k. r. t. v.
[i] ἀτιμαζομένῳ] ἀτιμαζόμενος F. S. r.
[k] δικασάντων] δικαστῶν k. r.
[l] αὐτὸν post μόνον ponunt k. r.

λάνθρωπον οὔτε μικρὸν οὔτε μέγα οὐδ' ὁτιοῦν πρὸς τοὺς δικαστὰς ποιήσαντα. θῶμεν τοίνυν οὑτωσί, τοὺς μὲν καταγνόντας αὐτοῦ μὴ ὅτι ἠμύναντο, διὰ τοῦτο [m] καταψηφίσασθαι, ἀλλ' ὅτι τοῦτον τὸν τρόπον ὥστε καὶ ἀποκτεῖναι, τοὺς δ' ἀπογνόντας καὶ ταύτην τὴν ὑπερβολὴν τῆς 98 τιμωρίας τῷ γε [n] τὸ σῶμα ὑβρισμένῳ δεδωκέναι. τί οὖν; ἐμοὶ [o] τῷ τοσαύτῃ κεχρημένῳ προνοίᾳ τοῦ μηδὲν ἀνήκεστον γενέσθαι, ὥστε μηδ' [p] ἀμύνασθαι, παρὰ τοῦ τὴν τιμωρίαν ὧν πέπονθα ἀποδοθῆναι προσήκει; ἐγὼ μὲν οἶμαι παρ' ὑμῶν καὶ τῶν νόμων, καὶ παράδειγμά [q] γε πᾶσι γενέσθαι τοῖς ἄλλοις, ὅτι τοὺς ὑβρίζοντας ἅπαντας καὶ τοὺς ἀσελγεῖς οὐκ αὐτὸν [r] ἀμύνεσθαι μετὰ τῆς ὀργῆς ἀλλ' ἐφ' ὑμᾶς ἄγειν δεῖ, ὡς βεβαιούντων ὑμῶν καὶ φυλαττόντων τὰς ἐν τοῖς νόμοις [s] κατὰ τῶν ἀδικούντων τοῖς παθοῦσι [t] βοηθείας.

99 Οἶμαι τοίνυν [u] τινὰς ὑμῶν, ὦ ἄνδρες δικασταί, ποθεῖν ἀκοῦσαι τὴν ἔχθραν, ἥτις ἦν ἡμῖν πρὸς ἀλλήλους· νομίζειν γὰρ οὐδένα [x] ἂν ἀνθρώπων οὕτως ἀσελγῶς καὶ βιαίως οὐδενὶ τῶν πολιτῶν [y] χρήσασθαι, μὴ μεγάλου τινὸς ὄντος ὃ αὐτῷ προωφείλετο. βούλομαι δὴ καὶ περὶ ταύτης ὑμῖν ἐξ ἀρχῆς εἰπεῖν καὶ διηγήσασθαι, ἵν' εἰδῆθ' ὅτι καὶ τούτων [z] ὀφειλῶν [a] δοῦναι δίκην φανήσεται. ἔσται δὲ περὶ αὐτῶν [b] βραχὺς ὁ λόγος, κἂν ἄνωθεν ἄρχεσθαι δο- 100 κῶ. ἠνίκα τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐπιτρό-

[m] καταψηφίσασθαι] καὶ ψηφίσασθαι P. Y. O. s.
[n] τὸ om. v.
[o] τῷ om. k.
[p] ἀμύνασθαι] ἀμύνεσθαι k.
[q] γε πᾶσι γενέσθαι] με πᾶσι γενέσθαι P. τοῦτων γενέσθαι k. γενέσθαι τοῦτων r.
[r] ἀμύνεσθαι] ἀμύνασθαι r. t. v.
[s] κατὰ τῶν ἀδικούντων om. S. r.
[t] βοηθείας] τιμωρίας k. r.
[u] τινὰς ὑμῶν] ὑμῶν τινὰς k. r.
[x] ἂν post οὐδένα om. S. k. r.
[y] χρήσασθαι] ἄν χρήσασθαι F. ἂν χρῆσθαι k. r.
[z] ὀφειλῶν] τὴν μεγίστην ὀφειλῶν k. r.
[a] δοῦναι om. S.
[b] βραχὺς ante περὶ ponunt k. r.

ποις, μειρακύλλιον [c] ὢν κομιδῇ καὶ τοῦτον οὐδ' εἰ γέγονεν εἰδὼς οὐδὲ γιγνώσκων, ὡς μηδὲ νῦν [d] ὤφελον, τότε μοι μελλουσῶν εἰσιέναι τῶν δικῶν εἰς ἡμέραν [e] ὥσπερεὶ τετάρτην ἢ πέμπτην [f] εἰσεπήδησαν ἀδελφὸς ὁ τούτου καὶ οὗτος εἰς τὴν οἰκίαν [g] ἀντιδιδόντες τριηραρχίαν. τοὔνομα μὲν δὴ παρέσχεν ἐκεῖνος, καὶ ἦν ὁ ἀντιδιδοὺς Θρασύλοχος· τὰ δ' ἔργα [h] πάντ' [i] ἦν καὶ τὰ πραττόμενα ὑπὸ τούτου. καὶ πρῶτον μὲν κατέσχισαν τὰς θύρας τῶν οἰκημάτων, ὡς αὐτῶν ἤδη γιγνομένας κατὰ τὴν ἀντίδοσιν· εἶτα τῆς ἀδελφῆς ἔτ' ἔνδον οὔσης τότε καὶ παιδὸς οὔσης κόρης ἐναντίον ἐφθέγγοντο αἰσχρὰ καὶ τοιαῦτα, οἷ [k] ἂν ἄνθρωποι τοιοῦτοι [l] φθέγξαιντο (οὐ γὰρ ἔγωγε προαχθείην [m] ἂν εἰπεῖν πρὸς ὑμᾶς τῶν τότε ῥηθέντων οὐδέν), καὶ τὴν μητέρα [n] κἀμὲ καὶ πάντας ἡμᾶς ῥητὰ καὶ ἄρρητα κακὰ ἐξεῖπον· ὁ δ' οὖν δεινότατον καὶ οὐ λόγος ἀλλ' ἔργον ἤδη· τὰς δίκας ὡς αὐτῶν οὔσας [o] ἠφίεσαν τοῖς ἐπιτρόποις. καὶ ταῦτ' ἐστὶ μὲν παλαιά, ὅμως δέ τινας [p] ὑμῶν μνημονεύειν οἶμαι· ὅλη γὰρ ἡ πόλις τὴν ἀντίδοσιν καὶ τὴν ἐπιβουλὴν τότε ταύτην καὶ τὴν ἀσέλγειαν [q] ἤσθετο. κἀγὼ τότε παντάπασιν ἔρημος ὢν καὶ νέος κομιδῇ, ἵνα μὴ τῶν παρὰ τοῖς ἐπιτρόποις ἀποστερηθείην, οὐχ ὅσα [r] ἐδυνήθην [s] ἀνακομίσασθαι [t] προσδοκῶν εἰσπράξειν, ἀλλ' ὅσων ἐμαυ-

101

102

103

540

[c] ὢν] ὢν correctus O.
[d] ὤφελον] ὄφελον P. Y. O. k. r. s. t. οἱ
[e] ὥσπερεὶ] ὡς περὶ v. ὡς περὶ s. t. et correctus k.
[f] εἰσεπήδησαν] εἰσεπήδησεν k. r.
[g] ἀντιδιδόντες] ἀντιδιδόντος r.
[h] πάντ'] ἅπαντ' S.
[i] ἦν ante ἐπὶ ponunt k. r.
[k] ἂν om. S. k. r.
[l] φθέγξαιντο] φθέγξωντο s.
[m] ἂν εἰπεῖν πρὸς ὑμᾶς] εἰπεῖν ἂν πρὸς ὑμᾶς εἰπεῖν r.
[n] κἀμὲ P. O. s. vulg. καὶ ἐμέ.
[o] ἠφίεσαν] ἀφίεσαν S. k. r.
[p] ὑμῶν μνημονεύειν] μνημονεύειν ὑμῶν k. r.
[q] ἤσθετο] Conf. Anecd. p. 122, 23.
[r] ἐδυνήθην] ἠδυνήθην k. t. v.
[s] ἀνακομίσασθαι] κομίσασθαι F. k. r.
[t] προσδοκῶν] καὶ προσδοκῶν k.

τῷ συνήδειν ἀπεστερημένῳ, δίδωμι εἴκοσι μνᾶς τούτοις, ὅσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες. τὰ μὲν δὴ τότε
104 [u] ὑβρίσματα τούτων εἰς ἐμὲ ταῦτ' ἐστίν. δίκην δὲ [x] τούτῳ λαχὼν ὕστερον τῆς [y] κακηγορίας εἶλον ἐρήμην· οὐ γὰρ [z] ἀπήντα. λαβὼν δ' ὑπερήμερον καὶ ἔχων οὐδενὸς ἠψάμην [a] πώποτε τῶν τούτου, ἀλλὰ λαχὼν ἐξούλης πάλιν οὐδέπω καὶ τήμερον εἰσελθεῖν δεδύνημαι· τοσαύτας τέχ-
105 νας καὶ σκήψεις οὗτος εὑρίσκων ἐκκρούει. κἀγὼ μὲν οὕτως εὐλαβῶς [b] τῇ δικῇ, τοῖς νόμοις [c] ἅπαντα πράττειν ἀξιῶ· ὁ δ', ὡς ὑμεῖς ἀκούετε, ἀσελγῶς οὐ μόνον εἰς ἐμὲ καὶ τοὺς ἐμοὺς ᾤετο δεῖν ὑβρίζειν, ἀλλὰ καὶ εἰς τοὺς φυλέτας δι' ἐμέ. ὡς οὖν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι 541
τούτων τοὺς μάρτυρας, ἵν' εἰδῆθ' ὅτι πρὶν κατὰ τοὺς νόμους δίκην ὧν πρότερον ἠδικήθην λαβεῖν, πάλιν τοιαῦτα οἷα ἀκηκόατε ὕβρισμαι.

[d] ΜΑΡΤΥΡΕΣ.

106 Καλλισθένης Σφήττιος, Διόγνητος [e] Θορίκιος, Μνησίθεος Ἀλωπεκῆθεν, οἶδαμεν [f] Δημοσθένη, ᾧ μαρτυροῦμεν, κρίσιν λελογχότα Μειδίᾳ ἐξούλης, τῷ καὶ νῦν ὑπ' [g] αὐτοῦ κρινομένῳ δημοσίᾳ, [h] καὶ ἤδη τῇ κρίσει ἐκείνῃ διαγεγονότα ἔτη ὀκτώ, καὶ τοῦ χρόνου γεγε-
107 νημένου παντὸς αἴτιον Μειδίαν [i] ἀεὶ προφασιζόμενον καὶ ἀναβαλλόμενον.

[d] Ὁ τοίνυν πεποίηκε [k] κακὸν ὦ ἄνδρες Ἀθηναῖοι περὶ τῆς δίκης, ἀκούσατε, καὶ θεωρεῖτε ἐφ' ἑκάστου τὴν ὕβριν

[u] ὑβρίσματα τούτων] τούτων ὑβρίσματα k. r. ἠσελγημένα τούτων γρ. F.

[x] τούτῳ] τούτων F. S. Y. O. s. t. v.

[y] κακηγορίας] κατηγορίας t.

[z] ἀπήντα] ἅπαντα S.

[a] πώποτε] πω k. r.

[b] τῇ δίκῃ, τοῖς νόμοις] τοῖς νόμοις τῇ δίκῃ k. r.

[c] ἅπαντα] πάντα k. r.

[d] ΜΑΡΤΥΡΕΣ] μαρτυρία r. Testimonium om. r.

[e] Θορίκιος] θεωρίσκος F. P. S. Y. O. s. t. v.

[f] Δημοσθένη P. S. Y. O. δημοσθένει s. vulg. δημοσθένην.

[g] αὐτοῦ] αὐτῶι P. S. Y. O.

[h] καὶ ante ἤδη om. O.

[i] ἀεὶ] δ' ἀεὶ O. s. v. et rec. Y. ὡς ἀεὶ correctus t.

[k] κακόν om. P. O. k. s.

καὶ τὴν ὑπερηφανίαν αὐτοῦ. τῆς γὰρ δίκης, [l] ταύτης λέ-
γω ἧς εἷλον αὐτόν, γίγνεταί μοι διαιτητὴς Στράτων Φα-
ληρεύς, ἄνθρωπος [m] πένης μέν τις καὶ ἀπράγμων, ἄλλως
δ' οὐ πονηρὸς ἀλλὰ καὶ πάνυ χρηστός· [n] ὅπερ τὸν τα-
λαίπωρον οὐκ ὀρθῶς [o] οὐδὲ δικαίως ἀλλὰ καὶ πάνυ αἰ-
108 σχρῶς ἀπολώλεκεν. [p] οὗτος διαιτῶν ἡμῖν ὁ Στράτων,
ἐπειδὴ ποθ' ἧκεν ἡ κυρία, πάντα δ' ἤδη [q] διεξεληλύθει
[r] τὰκ τῶν νόμων, ὑπωμοσίαι καὶ παραγραφαί, καὶ οὐδὲν
ἔτ' ἦν ὑπόλοιπον, τὸ μὲν πρῶτον ἐπισχεῖν ἐδεῖτό μου τὴν
διαιταν, ἔπειτα εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι· [s] τελευ-
τῶν δ', ὡς οὔτ' ἐγὼ συνεχώρουν οὔθ' οὗτος ἀπήντα, τῆς δ'
109 ὥρας ἐγίγνετο ὀψέ, κατεδιήτησεν. ἤδη δ' ἑσπέρας οὔσης 542
καὶ σκότους ἔρχεται Μειδίας οὑτοσὶ πρὸς τὸ τῶν ἀρχόν-
των οἴκημα, καὶ καταλαμβάνει τοὺς ἄρχοντας ἐξιόντας
καὶ τὸν Στράτωνα ἀπιόντ' ἤδη, τὴν ἔρημον δεδωκότα, ὡς
ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην. τὸ μὲν οὖν
πρῶτον οἷός [t] τ' ἦν πείθειν αὐτόν, [u] ἣν [x] καταδεδιητήκει,
ταύτην ἀποδεδιητημένην [y] ἀποφέρειν, καὶ τοὺς ἄρχοντας
μεταγράφειν, καὶ πεντήκοντα δραχμὰς αὐτοῖς ἐδίδου·
110 ὡς δ' ἐδυσχέραινον οὗτοι τὸ πρᾶγμα καὶ οὐδετέρους ἔπει-
θεν, ἀπειλήσας καὶ διαλοιδορηθεὶς ἀπελθὼν τί ποιεῖ; [z] καὶ
[a] θεάσασθε τὴν [b] κακοήθειαν. τὴν μὲν δίαιταν ἀντιλαχὼν
οὐκ ὤμοσεν, ἀλλ' εἴασε καθ' ἑαυτοῦ κυρίαν γενέσθαι, καὶ

[l] ταύτης λέγω ἧς] ἧς λέγω ταύτης ἣν γρ. S.
[m] πένης om. t.
[n] ὅπερ] ὅπερ καὶ O.
[o] οὐδὲ δικαίως post αἰσχρῶς ponunt F. P. S. Y. O. s. t. v.
[p] οὗτος P. Y. O. s. vulg. οὑτοσί.
[q] διεξεληλύθει] διεξεληλύθει ταῦτα S. διεληλύθει r.
[r] τὰκ P.S.O.s.t.v. vulg. τὰ ἐκ.
[s] τελευτῶν] τὸ τελευταῖον F. P. S. Y. O. s. t. v.
[t] τ' om. k.
[u] ἣν] τὴν δίκην ἣν k. r.
[x] καταδεδιητήκει] καταδιήτηκει t.
[y] ἀποφέρειν] ἀποφαίνειν O. k. r. s. cum γρ. F. et correcto v. ἀ-ποφέρειν Y. Conf. §. 123.
[z] καὶ post ποιεῖ om. k. r.
[a] θεάσασθε] θεάσασθαι k.
[b] κακοήθειαν] κακοηθίαν pr. S.

ἀνώμοτος ἀπηνέχθη· βουλόμενος δὲ τὸ μέλλον λαθεῖν, 15
111 φυλάξας τὴν τελευταίαν ἡμέραν τῶν διαιτητῶν, τὴν τοῦ θαργηλιῶνος [c] ἢ τοῦ σκιροφοριῶνος [d] γιγνομένην, εἰς ἣν ὁ μὲν ἦλθε τῶν διαιτητῶν ὁ δ' οὐκ ἦλθε, πείσας τὸν πρυτανεύοντα δοῦναι [e] τὴν ψῆφον παρὰ πάντας [f] τοὺς νόμους, κλητῆρα οὐδ' [g] ὀντινοῦν ἐπιγραψάμενος, [h] κατηγορῶν [i] ἔρη- 20
μον, οὐδενὸς παρόντος, ἐκβάλλει καὶ ἀτιμοῖ τὸν διαιτη-
112 τήν· καὶ νῦν εἷς Ἀθηναίων, ὅτι Μειδίας ἔρημον ὤφλε δίκην, ἀπάντων ἀπεστέρηται τῶν ἐν τῇ πόλει καὶ καθάπαξ ἄτιμος γέγονε, καὶ οὔτε [k] δίκην λαχεῖν ἀδικηθέντα οὔτε 25
διαιτητὴν γενέσθαι Μειδίᾳ οὔθ' ὅλως τὴν αὐτὴν ὁδὸν βα-
113 δίζειν, ὡς ἔοικεν, ἔστ' ἀσφαλές. δεῖ δὴ τοῦτο τὸ πρᾶγμα ὑμᾶς οὑτωσὶ σκέψασθαι, καὶ λογίσασθαι τί ποτ' ἐστὶν ὃ παθὼν Μειδίας οὕτως ὠμὸν [l] τηλικαύτην ἐπεβούλευσε λαβεῖν τῶν πεπραγμένων παρ' ἀνδρὸς πολίτου δίκην, κἂν 543
μὲν ἧ τι δεινὸν ὡς ἀληθῶς καὶ ὑπερφυές, συγγνώμην [m] ἔχειν, ἐὰν δὲ μηδέν, θεάσασθε τὴν ἀσέλγειαν καὶ τὴν ὠμότητα, ἣ καθ' [n] ἁπάντων χρῆται τῶν ἐντυγχανόντων. 5
114 τί οὖν ἔσθ' ὃ πέπονθεν; μεγάλην νὴ Δί' ὤφλε δίκην, καὶ τοσαύτην ὥστ' ἀποστερεῖσθαι τῶν ὄντων; ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν. πάνυ γε, ἀλλὰ δάκνει καὶ τοῦτο, φαίη τις ἄν, ὅταν ἐκτίνειν ἀδίκως δέῃ, συνέβη δὲ ὑπερημέρῳ γενομένῳ λαθεῖν αὐτῷ διὰ τὸ ἀδικηθῆναι. ἀλλ' 10
αὐθημερὸν μὲν ἤσθετο, [o] ὃ καὶ μέγιστόν ἐστι τεκμήριον τοῦ μηδὲν ἠδικηκέναι τὸν ἄνθρωπον, δραχμὴν δ' οὐδέπω μίαν

[c] ἢ] ἡ τὴν k. r.
[d] γιγνομένην] γενομένην r.
[e] τὴν ante ψῆφον om. Y. O. s.
[f] τοὺς om. P. t.
[g] ὀντινοῦν] ὄντιν' P. Y. O. s.
[h] κατηγορῶν r. vulg. κατηγόρων.
[i] ἔρημον] ἐρήμην γρ. F. S.
[k] δίκην ante λαχεῖν om. P.S.Y. O.s. post λαχεῖν ponunt F.t.v.
[l] τηλικαύτην ἐπεβούλευσε] ὥστε ἐπιβουλεῦσαι τηλικαύτην γρ. S.
[m] ἔχειν] ἔχει Y. O.
[n] ἁπάντων] πώντων ἀεὶ k.r. πάντων t.
[o] ὃ καὶ] καὶ ὃ P.

115 ἐκτέτικεν. ἀλλὰ μή πω τοῦτο. ἀλλὰ τὴν μὴ οὖσαν ἀντι-
λαχεῖν [p] αὐτῷ ἐξῆν δῆπου, καὶ πρὸς ἐμὲ τὸ πρᾶγμα κα- 15
ταστήσασθαι, πρὸς ὅνπερ ἐξ ἀρχῆς ἦν ἡ δίκη. ἀλλ' οὐκ
[q] ἠβούλετο. ἀλλ' ἵνα μὴ Μειδίας ἀτίμητον ἀγωνίσηται
δέκα μνῶν δίκην, πρὸς ἣν οὐκ ἀπήντα δέον, καὶ εἰ μὲν
ἠδίκηκε, δίκην δῶ, εἰ δὲ μή, ἀποφύγῃ, ἄτιμον Ἀθηναίων
[r] ἕνα εἶναι δεῖ καὶ μήτε [s] λόγου μήτε 20
ἐπιεικείας [t] μηδεμιᾶς τυχεῖν, ἃ καὶ τοῖς ὄντως ἀδικοῦσιν
116 ἅπανθ' ὑπάρχει. ἀλλ' ἐπειδή γε ἠτίμωσεν ὃν [u] ἐβουλήθη,
καὶ τοῦτ' ἐχαρίσασθε αὐτῷ, καὶ τὴν ἀναιδῆ γνώμην, ἢ
ταῦτα προαιρεῖται ποιεῖν, ἐνέπλησεν αὐτοῦ, ἐκεῖνο ἐποίη- 25
σε, τὴν καταδίκην [x] ἐκτέτικε, δι' [y] ἣν τὸν ἄνθρωπον ἀπώ-
λεσεν; [z] οὐδὲ χαλκοῦν οὐδέ πω καὶ τήμερον, [a] ἀλλὰ δί-
κην [b] ἐξούλης ὑπομένει [c] φεύγειν. οὐκοῦν ὁ μὲν ἠτίμωται
καὶ παραπόλωλεν, ὁ δ' οὐδ' ὁτιοῦν πέπονθεν, ἀλλ' [d] ἄνω
κάτω τοὺς νόμους, τοὺς διαιτητάς, [e] πάνθ' ὅσ' [f] ἂν βού- 544
117 ληται στρέφει. καὶ τὴν [g] μὲν κατὰ τοῦ διαιτητοῦ γνῶ-
σιν, [h] ἣν ἀπρόσκλητον κατεσκεύασεν, αὐτὸς κυρίαν ἑαυτῷ
[i] πεποίηται· ἣν δ' [k] αὐτὸς ὤφλεν ἐμοὶ προσκληθείς, εἰ- 5
δώς, οὐκ ἁπάντων, ἄκυρον ποιεῖ. καίτοι εἰ παρὰ τῶν
[l] ἔρημον καταδιαιτησάντων αὐτοῦ τηλικαύτην δίκην οὗτος

[p] αὐτῷ ἐξῆν] ἐξῆν αὐτῷ F. k. r. t. v.
[q] ἠβούλετο] ἐβούλετο P.
[r] ἕνα] ἕνεκα O. om. s. t. v.
[s] λόγου] ἐλέου vel ἐλέους γρ. S.
[t] μηδεμιᾶς τυχεῖν] τυχεῖν μηδεμιᾶς F. t. v.
[u] ἐβουλήθη] ἐβούλετο r. ἠβουλήθη P.
[x] ἐκτέτικε] ἐκτετίκει s.
[y] ἣν] ἣς P. Y. O. s. t. v.
[z] οὐδὲ χαλκοῦν] ἀλλ' οὐδέ χαλκὸν F. t. v.
[a] ἀλλὰ] ἀλλὰ καὶ s.
[b] ἐξούλης] ἐξουλῆς S. qui sic et alibi.
[c] φεύγειν] φεύγεν Y. φεύγων O. s.
[d] ἄνω] ἄνω καὶ F. k. r. t. v.
[e] πάνθ'] ἅπανθ' k. r.
[f] ἂν βούληται] βούλεται k. r.
[g] μὲν om. k. r.
[h] ἣν] ἦν καὶ r.
[i] πεποίηται] πεποίηκεν F. v.
[k] αὐτὸς] αὐτῷ s.
[l] ἔρημον] ἐρήμην Anecd. p. 150, 7.

ἀξιοῖ λαμβάνειν, τίν' ὑμῖν προσήκει παρὰ τούτου λαβεῖν τοῦ [m] φανερῶς τοὺς [n] ὑμετέρους νόμους ἐφ' ὕβρει παρα-
118 βαίνοντος; εἰ γὰρ ἀτιμία καὶ νόμων καὶ δίκων καὶ πάν- 10
των στέρησις ἐκείνου [o] τἀδικήματος προσήκουσά ἐστι δίκη, τῆς γε ὕβρεως μικρὰ θάνατος [p] φαίνεται. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων [q] τοὺς μάρτυρας, καὶ τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον.

[r] ΜΑΡΤΥΡΕΣ.

119 Νικόστρατος Μυρρινούσιος, Φανίας [s] Ἀφιδναῖος οἴδαμεν Δημο- 15
σθένην, ᾧ μαρτυροῦμεν, καὶ Μειδίαν τὸν κρινόμενον ὑπὸ Δημοσθέ-
νους, ὅτ' αὐτῷ Δημοσθένης ἔλαχε τὴν τοῦ [t] κακηγορίου δίκην,
ἑλομένους διαιτητὴν Στράτωνα, καὶ ἐπεὶ ἦκεν ἡ κυρία τοῦ νόμου, 20
οὐκ ἀπαντήσαντα Μειδίαν ἐπὶ τὴν δίαιταν ἀλλὰ καταλιπόντα.
120 γενομένης δὲ [u] ἐρήμου κατὰ Μειδίου, ἐπιστάμεθα Μειδίαν πεί-
θοντα τόν τε Στράτωνα τὸν διαιτητὴν καὶ ἡμᾶς, ὄντας ἐκείνοις
τοῖς χρόνοις ἄρχοντας, ὅπως τὴν δίαιταν αὐτῷ [x] ἀποδιαιτήσομεν, 25
καὶ διδόντα δραχμὰς πεντήκοντα, καὶ ἐπειδὴ οὐχ ὑπεμείναμεν,
προσαπειλήσαντα ἡμῖν καὶ οὕτως ἀπαλλαγέντα. καὶ διὰ ταύτην
τὴν αἰτίαν ἐπιστάμεθα Στράτωνα ὑπὸ Μειδίου καταβραβευθέντα 545
καὶ παρὰ πάντα τὰ δίκαια ἀτιμωθέντα.

121 [y] Λέγε δὴ [z] καὶ τὸν [a] τῶν διαιτητῶν νόμον.

ΝΟΜΟΣ.

Ἐὰν δέ τινες [b] περὶ συμβολαίων ἰδίων πρὸς ἀλλήλους ἀμφισ- 5
βητῶσι καὶ βούλωνται διαιτητὴν ἑλέσθαι ὁντινοῦν, ἐξέστω αὐτοῖς
αἱρεῖσθαι ὃν ἂν βούλωνται διαιτητήν. [c] ἐπειδὰν [d] δ' ἕλωνται κατὰ
κοινόν, μενέτωσαν ἐν τοῖς ὑπὸ τούτου διαγνωσθεῖσι, καὶ μηκέτι

[m] φανερῶς] φανερῶς οὕτω F. t. v.
[n] ὑμετέρους] ἡμετέρους r.
[o] τἀδικήματος P.S.Y.O.s. vulg. τοῦ ἀδικήματος.
[p] φαίνεται] ἔμοιγε φαίνεται F. t. v.
[q] τοὺς om. P. S. Y. O. s.
[r] ΜΑΡΤΥΡΕΣ] μαρτυρία νόμος S. μαρτυρία P. Y. O. s. t.
[s] Ἀφιδναῖος] ἀφνιδαῖος F. s. t. v.
[t] κακηγορίου] κακηγόρου P. κατηγόρου Y. O. s. t. v.
[u] ἐρήμου] ἐρήμης t.
[x] ἀποδιαιτήσομεν P. S. vulg. ἀποδιαιτήσωμεν.
[y] Λέγε—νόμον om. k. r.
[z] καὶ om. O.
[a] τῶν om. Y. t.
[b] περὶ] ὑπὸ v.
[c] ἐπειδὰν] ἑλέσθαι ἐπειδὰν F. P. S. Y. O s. t. v.
[d] δ' ἕλωνται] βούλωνται F. P. S. Y. O. s. t. v.

[c] μεταφερίτωσαν [f] ἀπὸ τούτου ἐφ' ἕ ἕτερον [h] δικαστήριον ταὐτὰ [i] ἐγκλήματα, ἀλλ' ἔστω τὰ κριθέντα ὑπὸ τοῦ διαιτητοῦ κύρια.

122 Κάλει [k] δὴ καὶ τὸν Στράτωνα αὐτὸν τὸν [l] τὰ τοιαῦτα πεπονθότα· ἐστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ.

Οὗτος ὦ ἄνδρες Ἀθηναῖοι πένης μὲν ἴσως ἐστίν, οὐ πονηρὸς δέ γε. οὗτος μέντοι πολίτης ὤν, ἐστρατευμένος ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας καὶ δεινὸν οὐδὲν εἰργασμένος, ἔστηκε [m] νυνὶ σιωπῇ, οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι [n] ἢ ὀδύρασθαι· καὶ [o] οὐδ' εἰ δίκαια ἢ ἄδικα πέπονθεν, οὐδὲ
123 ταῦτ' ἔξεστιν αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν. καὶ ταῦτα πέπονθεν ὑπὸ [p] Μειδίου καὶ τοῦ Μειδίου πλούτου καὶ τῆς ὑπερηφανίας [q] παρὰ τὴν πενίαν καὶ [r] ἐρημίαν καὶ τὸ τῶν πολλῶν εἶς εἶναι. καὶ εἰ μὲν παραβὰς τοὺς νόμους ἔλαβε τὰς πεντήκοντα δραχμὰς παρ' αὐτοῦ, καὶ τὴν δίκην ἣν [s] κατεδιήτησεν ἀποδεδιητημένην ἀπέφηνεν, ἐπίτιμος ἂν ἦν καὶ οὐδὲν ἔχων κακὸν τῶν ἴσων μετεῖχε τοῖς ἄλλοις ἡμῖν· ἐπειδὴ δὲ παρεῖδε πρὸς τὰ δίκαια Μειδίαν, καὶ τοὺς νόμους μᾶλλον ἔδεισε τῶν ἀπειλῶν [t] τῶν τούτου, [u] τηνικαῦτα τηλικαύτη 546
124 καὶ τοιαύτῃ συμφορᾷ περιπέπτωκεν [x] ὑπὸ τούτου. εἶθ' ὑμεῖς τὸν οὕτως ὠμόν, τὸν οὕτως ἀγνώμονα, τὸν τηλικαύτας δίκας λαμβάνοντα ὧν αὐτὸς ἠδικῆσθαι φησὶ μόνον (οὐ γὰρ ἠδικητό γε), τοῦτον ὑβρίζοντα [y] λαβόντες εἷς

[c] μεταφερίτωσαν] καταφερίτωσαν O. ceteri καταφερίτωσαν.
[f] ἀπὸ] ὑπὸ F. S.
[g] ἕτερον] ἑτέρου O. s.
[h] δικαστήριον] δικαστηρίου O.
[i] ἐγκλήματα] ἐκκλήματα S.
[k] δὴ] δὲ s.
[l] τὰ om. S.
[m] νυνὶ] νῦν k.
[n] ἢ ὀδύρασθαι] καὶ ὀδύρασθαι k.r.
[o] οὐδ'] οὔτ' k. r.
[p] Μειδίου καὶ om. s.
[q] παρὰ] παρὰ O.
[r] ἐρημίαν] τὴν ἐρημίαν k.r. Conf. Anecd. p. 163, 18.
[s] κατεδιήτησεν] καταδιήτησεν t. v. et correctus fortasse F.
[t] τῶν post ἀπειλῶν om. r.
[u] τηνικαῦτα—τούτου in margine rec. F.
[x] ὑπὸ] ἀδίκως ὑπὸ k. r.
[y] λαβόντες] λαμβάνοντες r.

τινα τῶν πολιτῶν ἀφήσετε, καὶ μήθ' ἑορτῆς μήτε ἱερῶν μήτε [z] νόμου μήτ' ἄλλου μηδενὸς πρόνοιαν ποιούμενον οὐ
125 καταψηφιεῖσθε; οὐ παράδειγμα [a] ποιήσετε; καὶ τί φήσετε, ὦ ἄνδρες δικασταί; [b] τίνα, ὦ πρὸς τῶν θεῶν, [c] ἕξετ' εἰπεῖν πρόφασιν δικαίαν ἢ καλήν; ὅτι νὴ Δία ἀσελγής ἐστι καὶ βδελυρός; ταῦτα [d] γάρ ἐστι [e] τἀληθῆ· ἀλλὰ μισεῖν ὀφείλετ', [f] ὦ ἄνδρες [g] Ἀθηναῖοι, [h] δήπου τοὺς τοιούτους μᾶλλον ἢ σώζειν. ἀλλ' ὅτι πλούσιός ἐστιν; ἀλλὰ τοῦτό γε τῆς ὕβρεως αὐτοῦ σχεδὸν αἴτιον εὑρήσετε ὄν, ὥστ'
15 ἀφελεῖν τὴν ἀφορμήν, δι' ἣν [i] ὑβρίζει, [k] προσῆκε μᾶλλον ἢ σῶσαι διὰ ταύτην· τὸ γὰρ χρημάτων πολλῶν θρασὺν καὶ βδελυρὸν καὶ τοιοῦτον ἄνθρωπον [l] ἐᾶν εἶναι κύριον
126 ἀφορμήν ἐστιν ἐφ' ὑμᾶς αὐτοὺς δεδωκέναι. τί οὖν ὑπόλοιπον; ἐλεῆσαι νὴ Δία· παιδία γὰρ πάρεστήσεται
20 καὶ κλαιήσει καὶ τούτοις αὐτὸν ἐξαιτήσεται· τοῦτο [m] γὰρ λοιπόν. ἀλλ' ἴστε [n] δήπου [o] ὅτι τοὺς ἀδίκως [p] τι πάσχοντας, ὃ μὴ δυνήσονται [q] φέρειν, ἐλεεῖν προσήκει, οὐ
127 τοὺς ὧν πεποιήκασι δεινῶν δίκην διδόντας. καὶ τίς ἂν
25 ταῦτ' ἐλεήσειε δικαίως, ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα [r] ὑπὸ τούτου, ἃ τῇ τοῦ πατρὸς συμφορᾷ χωρὶς τῶν ἄλλων κακῶν [s] οὐδ' ἐπικουρίαν ἐνοῦσαν [t] ὁρᾷ. οὐ γάρ ἐστιν ὄφλημα ὅ τι χρὴ καταθέντα ἐπίτιμον γενέσθαι [u] τουτονί, ἀλλ'

[z] νόμου] νόμου F.
[a] ποιήσετε] τοῖς ἄλλοις ποιήσετε k. r.
[b] τινά] καὶ τίνα P. S. Y. O. s.
[c] ἕξετ' εἰπεῖν] ἐξειπεῖν s.
[d] γάρ ἐστι] γὰρ ἔσται k. r.
[e] τἀληθῆ] ἀληθῆ t. v.
[f] ὦ om. P. O. s.
[g] Ἀθηναῖοι] δικασταί k.
[h] δήπου post τοιούτους ponunt F. k. r. om. t. v.
[i] ὑβρίζει] ὑβρίζειν r. t.
[k] προσῆκε] προσήκει k. r.
[l] ἐᾶν εἶναι] ἀνεῖναι r.
[m] γὰρ λοιπόν] γὰρ ὑπόλοιπον k. r.
[n] δήπου] που r.
[o] ὅτι] τοῦθ' ὅτι F. k. r. t. v.
[p] τι] τι κακὸν F. t. v.
[q] φέρειν] ἀφαιρεῖν γρ. S.
[r] ὑπὸ] παρὰ k.
[s] οὐδ' om. r.
[t] ὁρᾷ] ὁρῶ γρ. S.
[u] τουτονί] τοῦτον F. t. v.

ἁπλῶς [x] οὕτως ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς καὶ τῆς 547
128 ὕβρεως [y] τῆς Μειδίου. τίς οὖν ὑβριζων παύσεται καὶ
[z] δι' ἃ ταῦτα ποιεῖ χρήματα ἀφαιρεθήσεται, εἰ [a] τοῦτον
ὥσπερ δεινὰ πάσχοντα ἐλεήσετε; εἰ δέ τις [b] πέρης [c] μη-
δὲν ἠδικηκὼς ταῖς ἐσχάταις συμφοραῖς ἀδίκως ὑπὸ τού- 5
του περιπέπτωκε, τούτῳ [d] δ' οὐδὲ συνοργισθήσεσθε; μη-
δαμῶς· οὐδεὶς γάρ ἐστι δίκαιος τυγχάνειν ἐλέου τῶν
μηδένα ἐλεούντων οὐδὲ συγγνώμης τῶν ἀσυγγνωμόνων.
129 ἐγὼ γὰρ [e] οἶμαι [f] πάντας ἀνθρώπους φέρειν ἀξιοῦν παρ'
αὐτῶν εἰς τὸν βίον αὐτοῖς [g] ἔρανον παρὰ πάνθ' ὅσα πράτ- 10
τουσιν, [[h] οὐ ταῦτον μόνον, ὃν συλλέγουσι καὶ [i] οὗ πληρω-
ταὶ γιγνονταί τινες, ἀλλὰ καὶ ἄλλον.] οἷον ἐγώ τις οὐ-
τοσὶ μέτριος πρὸς ἅπαντάς εἰμι, ἐλείμων, εὖ ποιῶν πολ-
λούς· ἅπασι προσήκει τῷ τοιούτῳ [k] ταὐτὰ εἰσφέρειν, ἐάν 15
130 [l] που καιρὸς ἡ χρεία παραστῇ. ἕτερος οὑτοσί [m] τις [n] βί-
αιος, οὐδένα [o] οὔτ' ἐλεῶν οὔθ' ὅλως [p] ἄνθρωπον ἡγούμενος·
τούτῳ τὰς [q] ὁμοίας φορὰς παρ' ἑκάστου δικαιον ὑπάρ-
χειν. σὺ [r] δὴ πληρωτὴς τοιούτου γεγονὼς ἐράνου σεαυτῷ
τοῦτον δίκαιος εἶ συλλεξασθαι.
131 Ἡγοῦμαι [s] μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, [t] καὶ εἰ 20

[x] οὕτως] ὧδε S. r.
[y] τῆς Μειδίου] τοῦ μειδίου s.
[z] δι' ἃ ταῦτα] διὰ ταῦθ' ἃ k. r.
[a] τοῦτον] τοῦτον μὲν F.
[b] πένης] πένης ἂν k. r. t.
[c] μηδὲν] μὲν F.
[d] δ' οὐδὲ P. S. Y. O. s. v. οὐ F. k. r. οὐ καὶ t. vulg. δὲ μή.
[e] οἶμαι] ἡγοῦμαι k. r.
[f] πάντας] πάντας τοὺς O.
[g] ἔρανον—ἄλλον] ἐράνους οὐ τούτους μόνους οὓς οὗτοι συλλέγουσιν, ἀλλὰ καὶ ἄλλους γρ. S.
[h] [οὐ—ἄλλον] om. S. k. r. in margine habent Y. s.
[i] [οὗ—ἄλλον] ὃν—ἄλλον P. F. O. s. t. v. et margo Y.
[k] ταὐτὰ] ταῦτα F. P. Y. O. r. s. t. v.
[l] που] του S. που Y. O. s.
[m] τις om. t.
[n] βίαιος] βίαιος ἀμὲς k. r.
[o] οὔτ'] δ' οὔτ' P. S. Y. O.
[p] ἄνθρωπον ἡγούμενος] ἡγούμενος ἄνθρωπον F. t. v.
[q] ὁμοίας] αὐτὰς F. t. v.
[r] δὴ—τοιούτου] δὲ—τοῦ τοιούτου t. v.
[s] μὲν om. k. r.
[t] καὶ εἰ om. O.

μηδὲν [u] ἔτ' ἄλλο [x] εἶχον κατηγορεῖν Μειδίου, μηδὲ δεινότερα ἦν ἃ μέλλω λέγειν ὧν εἴρηκα, δικαίως ἂν ὑμᾶς ἐκ τῶν εἰρημένων [y] καὶ καταψηφίσασθαι καὶ τιμᾶν αὐτῷ τῶν ἐσχάτων. οὐ μὴν ἐνταῦθ' ἔστηκε τὸ πρᾶγμα, οὐδ' ἀπορήσειν μοι δοκῶ τῶν μετὰ ταῦτα· τοσαύτην ἀφθονίαν
132 οὗτος πεποίηκε [z] κατηγοριῶν. ὅτι μὲν δὴ [a] λιποταξίου γραφὴν κατεσκεύασε κατ' ἐμοῦ καὶ τὸν τοῦτο [b] ποιήσοντα ἐμισθώσατο, τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν Εὐκτήμονα, ἐάσω. καὶ γὰρ οὔτ' [c] ἀνεκρίνατο ταύτην ὁ 548
συκοφάντης ἐκεῖνος, οὔθ' οὗτος οὐδενὸς ἕνεκα αὐτὸν ἐμισθώσατο πλὴν ἵν' ἐκκέοιτο πρὸ τῶν ἐπωνύμων καὶ πάντες ὁρῷεν " Εὐκτήμων Λουσιεὺς [d] ἐγράψατο [e] Δημοσθένην Παι-
" ανιέα [f] λιποταξίου" καί μοι δοκεῖ κἂν προσγράψασθαι τοῦθ' ἡδέως, εἴ πως ἐνῆν, ὅτι Μειδίου μισθωσαμένου γέγραπται. ἀλλ' ἐῶ τοῦτο· ἐφ' [g] ᾗ γὰρ ἐκεῖνος [h] ἠτίμωκεν αὐτὸν οὐκ ἐπεξελθών, οὐδεμιᾶς ἔγωγ' ἔτι προσδέομαι
133 δίκης, ἀλλ' ἱκανὴν ἔχω. ἀλλ' ὃ καὶ δεινὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ σχέτλιον καὶ κοινὸν ἔμοιγ' ἀσέβημα, οὐκ ἀδίκημα μόνον τούτῳ πεπρᾶχθαι δοκεῖ, τοῦτ' ἐρῶ. τῷ γὰρ ἀβλίῳ καὶ ταλαιπώρῳ κακῆς καὶ χαλεπῆς συμβάσης αἰτίας Ἀριστάρχῳ τῷ Μόσχου, τὸ μὲν πρῶτον ὦ ἄνδρες Ἀθηναῖοι κατὰ τὴν ἀγορὰν [i] περιιὼν ἀσεβεῖς καὶ

[u] ἔτ' om. k. r.

[x] εἶχον κατηγορεῖν] κατηγορεῖν εἶχον k. r.

[y] καὶ ante καταψηφ. recepi ex F. P. Y. O. s. t. v. et Anecd. p. 175, 5.

[z] κατηγοριῶν] κατηγορῶν r. s.

[a] λιποταξίου P. S. Y. O. et pr. k. λἰποταξίου F. vulg. λειποταξίου. Similiter infra.

[b] ποιήσοντα] ποιήσαντα S. Y. O. k. s. t. v.

[c] ἀνεκρίνατο S. ἂν ἐκρίνετο t. vulg. ἀνεκρίνετο.

[d] ἐγράψατο in margine Y.

[e] Δημοσθένην] δημοσθένην δημοσθένους rec. S.

[f] λιποταξίου] λιποταξαρίου O. et pr. k.

[g] ᾗ] ἣ F. διὶ γρ. S.

[h] ἠτίμωκεν αὐτὸν] ἑαυτὸν ἠτίμωκεν k. r.

[i] περιιὼν] περιὼν P. s.

δεινοὺς λόγους ἐτόλμα περὶ ἐμοῦ λέγειν, ὡς ἐγὼ τὸ
134 πρᾶγμά εἰμι [k] τοῦτο δεδρακώς· ὡς δ' οὐδὲν ἦνυε τούτοις,
προσελθὼν τοῖς ἐπ' ἐκεῖνον ἄγουσι τὴν αἰτίαν τοῦ φόνου,
τοῖς τοῦ τετελευτηκότος οἰκείοις, χρήμαθ' ὑπισχνεῖτο δώ-
σειν εἰ τοῦ πράγματος αἰτιῷντο ἐμέ, καὶ οὔτε θεοὺς οὔθ'
ὁσίαν οὔτ' [l] ἄλλο οὐδὲν ἐποιήσατ' ἐμποδὼν [m] τοιούτῳ
135 λόγῳ, οὐδ' ὤκνησεν. ἀλλ' οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς
ἠσχύνθη, εἰ [n] τοιοῦτο κακὸν καὶ [o] τηλικοῦτον [p] ἀδίκως ἐπά-
γει τῳ, ἀλλ' ἕνα ὅρον θέμενος παντὶ τρόπῳ με ἀνελεῖν,
οὐδὲν ἐλλείπειν ὤετο δεῖν, ὡς δέον, εἴ τις ὑβρισθεὶς ὑπὸ
τούτου δίκης ἀξιοῖ τυχεῖν καὶ μὴ σιωπᾷ, τοῦτον ἐξόριστον
ἀπῃρῆσθαι καὶ μηδαμῇ παρεθῆναι, ἀλλὰ καὶ λιποταξίου
γραφὴν ἠλωκέναι καὶ ἐφ' αἵματι φεύγειν καὶ μόνον οὐ 549
136 προσηλῶσθαι. καίτοι ταῦθ' ὅταν [q] ἐξελεγχθῇ ποιῶν πρὸς
οἷς ὑβριζέ με χορηγοῦντα, τίνος συγγνώμης ἢ τίνος ἐλέου
δικαίως τεύξεται παρ' ὑμῶν; ἐγὼ μὲν γὰρ αὐτόν, [r] ὦ
ἄνδρες Ἀθηναῖοι, νομίζω αὐτόχειρά μου γεγενῆσθαι τού-
τοις τοῖς ἔργοις, καὶ τότε μὲν τοῖς Διονυσίοις τὴν παρα-
σκευὴν καὶ τὸ σῶμα καὶ [s] τἀναλώματ' [t] ὑβρίζειν, νῦν δὲ
τούτοις οἷς ἐποίει καὶ διεπράττετο ἐκεῖνά τε καὶ τὰ λοι-
πὰ πάντα, τὴν πόλιν, τὸ γένος, [u] τὴν ἐπιτιμίαν, τὰς ἐλ-
πίδας· εἰ γὰρ ἓν ὧν [x] ἐπεβούλευσε κατώρθωσεν, ἁπάν-
των ἂν [y] ἀπεστερήμην ἐγὼ καὶ [z] μηδὲ ταφῆναι [a] προσυ-

[k] τοῦτο δεδρακώς] δεδρακὼς τοῦτο F. t. v.
[l] ἄλλο om. P. S. Y. O. s. post οὐδὲν ponunt k. r.
[m] τοιούτῳ] τῷ τοιούτῳ F. t. v.
[n] τοιοῦτο] τοιοῦτον O.
[o] τηλικοῦτον] τηλικοῦτο P. Y. O. s. t. v.
[p] ἀδίκως om. r. et pr. k.
[q] ἐξελεγχθῇ] ἐξελέγχηται F. t. v.
[r] ὦ ἄνδρες Ἀθηναῖοι νομίζω] νομίζω ὦ Ἀθηναῖοι k. r.
[s] τἀναλώματ'] τἀναλώματα P. Y. s. vulg. τὰ ἀναλώματα.
[t] ὑβρίζειν] πάνθ' ὑβρίζειν k. r.
[u] τὴν ἐπιτιμίαν, τὰς ἐλπίδας] τὰς ἐλπίδας, τὴν ἐπιτιμίαν k. r.
[x] ἐπεβούλευσε] ἐβούλευσε pr. s.
[y] ἀπεστερήμην] ἀπεστερήμεν s.
[z] μηδὲ] οὐδὲ k. r.
[a] προσυπῆρχεν] προυπῆρξεν r.

137 πῆρχεν οἴκοι μοι. διὰ τί, ἄνδρες δικασταί; εἰ γάρ, ἐάν τις παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς ὑπὸ Μειδίου βοηθεῖν αὐτῷ πειρᾶται, ταῦτα καὶ τοιαῦθ' ἕτερ' αὐτῷ παθεῖν ὑπάρξει, προσκυνεῖν τοὺς ὑβρίζοντας ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ [b] ἀμύνεσθαι κράτιστον [c] ἔσται. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω καὶ [d] προσεξείργασται ταῦτα τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ, κάλει μοι [e] καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

138 Διονύσιος [f] Ἀφιδναῖος, Ἀντίφιλος Παιανιεὺς διαφθαρέντος Νικοδήμου τοῦ οἰκείου ἡμῶν βιαίῳ θανάτῳ ὑπὸ Ἀριστάρχου τοῦ Μόσχου [g] ἐπεξῆμεν τοῦ φόνου τὸν Ἀρίσταρχον. αἰσθόμενος δὲ ταῦτα Μειδίας ὁ νῦν κρινόμενος ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἔπειθεν ἡμᾶς διδοὺς κέρματα τὸν μὲν Ἀρίσταρχον ἀθῷον ἀφεῖναι, Δημοσθένει δὲ τὴν γραφὴν τοῦ φόνου παραγράψασθαι.

139 Λάβε δή μοι [h] καὶ τὸν περὶ τῶν [i] δώρων νόμον.

Ἐν ὅσῳ δὲ τὸν νόμον ὦ ἄνδρες Ἀθηναῖοι λαμβάνει, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν, δεηθεὶς ὑμῶν ἁπάντων πρὸς Διὸς [k] καὶ θεῶν, ὦ ἄνδρες δικασταί· περὶ πάντων ὧν ἂν [l] ἀκούητε, τοῦθ' ὑποθέντες ἀκούετε τῇ γνώμῃ, τί ἄν, εἴ τις ἔπασχε [m] ταῦθ' ὑμῶν, ἐποίει, καὶ τίν' ἂν εἶχεν 140 ὀργὴν ὑπὲρ αὐτοῦ πρὸς τὸν ποιοῦντα. ἐγὼ γὰρ ἐνηνοχὼς χαλεπῶς ἐφ' οἷς περὶ τὴν λειτουργίαν ὑβρίσθην, ἔτι πολλῷ χαλεπώτερον ὦ ἄνδρες Ἀθηναῖοι τούτοις [n] τοῖς μετὰ ταῦτα ἐνήνοχα καὶ μᾶλλον [o] ἠγανάκτηκα. τί γὰρ ὡς ἀληθῶς

[b] ἀμύνεσθαι] ἀμύνασθαι F. k. r. t. v. et pr. s.
[c] ἔσται] ἐστιν k. r.
[d] προσεξείργασται] προσεξειργάσθαι P. S. Y. O. s.
[e] καὶ post μοι om. F. t. v.
[f] Ἀφιδναῖος] ἀφνιδαῖος s. t. v.
[g] ἐπεξῆμεν] ἐπεξήειμεν k. r.
[h] καὶ om. S.
[i] δώρων] δωρεῶν O.
[k] καὶ θεῶν om. s.
[l] ἀκούητε F. ἀκούητέ μου k.r. ceteri ἀκούσητε.
[m] ταῦθ' P. S. Y. O. k. r. s. vulg. τοιαῦθ'.
[n] τοῖς] οἷς correctus O.
[o] ἠγανάκτηκα] ἠγανάκτησα k. r.

πέρας ἂν φήσειέ τις εἶναι [p] κακίας καὶ τὴν ὑπερβολὴν
ἀναιδείας καὶ ὠμότητος καὶ ὕβρεως, ἄνθρωπος εἰ ποιήσας
141 [q] δεινὰ νὴ Δία καὶ πολλὰ ἀδίκως [r] τινά, ἀντὶ τοῦ ταῦτ'
ἀναλαμβάνειν καὶ μεταγιγνώσκειν, [s] πολλῷ δεινότερα
[t] ὕστερον ἄλλα προσεξεργάζοιτο, καὶ χρῷτο τῷ πλουτεῖν
μὴ ἐπὶ ταῦτα, ἐν οἷς μηδὲν βλάπτων αὐτὸς ἄμεινόν τι
τῶν ἰδίων θήσεται, ἀλλ' ἐπὶ τἀναντία, ἐν οἷς ἀδίκως [u] ἐκ-
βαλών τινα καὶ προπηλακίσας αὐτὸν εὐδαιμονιεῖ τῆς πε-
142 ριουσίας; ταῦτα τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι πάντα τούτῳ
πέπρακται κατ' ἐμοῦ. καὶ γὰρ αἰτίαν ἐπήγαγέ μοι φό-
νου ψευδῆ καὶ [u] οὐδὲν ἐμοὶ προσήκουσαν, ὡς [x] τὸ πρᾶγμα
αὐτὸ ἐδήλωσε, καὶ γραφὴν λιποταξίου με ἐγράψατο
τρεῖς αὐτὸς τάξεις λελοιπώς, καὶ τῶν ἐν Εὐβοίᾳ πραγ-
μάτων (τοῦτο γὰρ [y] αὖ μικροῦ παρῆλθέ με εἰπεῖν), ἃ
Πλεύταρχος ὁ τούτου ξένος καὶ φίλος διεπράξατο, ὡς ἐγὼ
αἴτιός εἰμι, [z] κατεσκεύαζε πρὸ τοῦ τὸ πρᾶγμα γενέσθαι
143 πᾶσι φανερὸν διὰ Πλευτάρχου γεγονός. καὶ τελευ- 551
τῶν βουλεύειν μου λαχόντος [a] δοκιμαζομένου [b] κατηγό-
ρει, καὶ τὸ πρᾶγμα εἰς ὑπέρδεινόν μοι περιέστη· ἀντὶ
γὰρ τοῦ δίκην [c] ὑπὲρ ὧν ἐπεπόνθειν λαβεῖν, δοῦναι
πραγμάτων ὧν οὐδὲν ἐμοὶ προσῆκε [d] δίκην ἐκινδύνευον.
144 καὶ ταῦτα πάσχων ἐγώ, καὶ τοῦτον τὸν τρόπον ὃν
διεξέρχομαι [e] νυνὶ πρὸς ὑμᾶς ἐλαυνόμενος, οὐχ ὧν οὔτε
τῶν ἐρημοτάτων οὔτε τῶν ἀπόρων κομιδῇ, οὐκ ἔχω ὧ ἄν-

[p] κακίας καὶ] κακίας ἢ καὶ F.t.v.
[q] δεινὰ νὴ Δία] νὴ δία δεινὰ k.r.
[r] τινὰ om. S.
[s] Ante πολλῷ cum S. omisi ἔτι.
[t] ὕστερον om. F.t.v.
[u] ἐκβαλὼν] ἐκβάλλων S.
[u] οὐδὲν] οὐδὲ r.
[x] τὸ πρᾶγμα αὐτὸ] αὐτὸ τὸ πρᾶγμα k.r.
[y] αὖ om. k.r.
[z] κατεσκεύαζε] κατεσκεύασε k.r.
[a] δοκιμαζομένου] καὶ δοκιμαζομένου k.r.
[b] κατηγόρει] κατηγορεῖ F.
[c] ὑπὲρ recepi ex P.S.Y.O.s.
[d] δίκην ante ἐκινδύνευον dederunt P.S.Y.O. et rec. k.
[e] νυνὶ] νῦν F.t.v.

ἄνδρες Ἀθηναῖοι [f] ὅ τι χρὴ ποιῆσαι. εἰ γὰρ εἰπεῖν τι καὶ περὶ τούτων ἤδη δεῖ, οὐ μέτεστι τῶν ἴσων οὐδὲ τῶν [g] ὁμοίων ὦ ἄνδρες Ἀθηναῖοι πρὸς τοὺς πλουσίους τοῖς [h] πολλοῖς 145 [i] ἡμῶν, οὐ μέτεστιν, οὔ· ἀλλὰ καὶ χρόνοι τούτοις [k] τοῦ τὴν δίκην ὑποσχεῖν, οὓς [l] ἂν αὐτοὶ βούλωνται, δίδονται, καὶ τἀδικήματα ἔωλα τὰ τούτων ὡς [m] ὑμᾶς καὶ ψυχρὰ ἀφικνεῖται, τῶν δ' ἄλλων ἡμῶν ἕκαστος, [n] ἄν τι συμβῇ, πρόσφατος κρίνεται. καὶ μάρτυρές εἰσιν ἕτοιμοι τούτοις καὶ συνήγοροι πάντες [o] καθ' ἡμῶν εὐτρεπεῖς· ἐμοὶ δὲ οὐδὲ 146 τἀληθῆ μαρτυρεῖν ἐθέλοντας ὁρᾶτ' ἐνίους. ταῦτα μὲν [p] οὖν [q] ἀπείποι τις [r] ἄν, οἶμαι, [s] θρηνῶν. τὸν δὲ νόμον μοι λέγ' ἐφεξῆς, ὥσπερ ἠρξάμην. [t] λέγε.

ΝΟΜΟΣ.

Ἐάν τις Ἀθηναίων λαμβάνῃ παρά τινος, ἢ αὐτὸς διδῷ ἑτέρῳ, ἢ διαφθείρῃ τινὰς ἐπαγγελλόμενος, ἐπὶ βλάβῃ τοῦ δήμου καὶ [u] ἰδίᾳ τινὸς τῶν πολιτῶν, τρόπῳ ἢ μηχανῇ ἠτινιοῦν, ἄτιμος ἔστω καὶ παῖδες καὶ τὰ ἐκείνου.

147 Οὕτω τοίνυν οὗτός ἐστιν ἀσεβὴς [x] ἄνθρωπος καὶ μιαρὸς καὶ πᾶν ἂν ὑποστὰς εἰπεῖν καὶ [y] πρᾶξαι, εἰ δ' ἀληθὲς ἢ ψεῦδος ἢ πρὸς ἐχθρὸν ἢ φίλον [z] ἢ τὰ τοιαῦτα, ἀλλ' οὐδ' ὁτιοῦν διορίζων, ὥστ' [a] ἐπαιτιασάμενός με φόνου καὶ τοι- 552 οῦτο πρᾶγμα ἐπαγαγὼν εἴασε μέν με εἰσιτήρια ὑπὲρ τῆς βουλῆς ἱεροποιῆσαι καὶ θῦσαι καὶ κατάρξασθαι τῶν ἱερῶν

[f] ὅ τι] τι P. O. s.
[g] ὁμοίων] νόμων P. S. Y. O. s.
[h] πολλοῖς] λοιποῖς P. S. Y. s.
[i] ἡμῶν] ὑμῶν k. r. t. v.
[k] τοῦ τὴν P.S.Y. τὴν οὗ O. ceteri τοῦ.
[l] ἂν] ἐὰν F.
[m] ὑμᾶς] ὑμῶν k. r. t.
[n] ἄν] ἐάν k. r.
[o] καθ' ἡμῶν εὐτρεπεῖς] καθ' ὑμῶν εὐτρεπεῖς k. καθ' ὑμῶν εὐπρεπεῖς r. εὐτρεπεῖς καθ' ἡμῶν F. v. εὐπρεπεῖς καθ' ἡμῶν t.
[p] οὖν] ἃ s. οὖν ἃ P. Y.
[q] ἀπείποι S. vulg. εἴποι.
[r] ἄν om. k.
[s] θρηνῶν] θρήνων Y. O.
[t] λέγε] λέγων S.
[u] ἰδίᾳ] διά F. P. S. Y. O. t. v.
[x] ἄνθρωπος om. S.
[y] πρᾶξαι] διαπρᾶξαι P. Y. O. s.
[z] ἢ τὰ] καὶ τὰ s. ἢ καὶ τὰ t. v.
[a] ἐπαιτιασάμενος] αἰτιασάμενός k. r.

148 ὑπὲρ [b] ὑμῶν καὶ ὅλης τῆς πόλεως, εἴασε δ' ἀρχιθεωροῦντα ἀγαγεῖν τῷ Διὶ τῷ [c] Νεμείῳ τὴν κοινὴν ὑπὲρ τῆς πόλεως θεωρίαν, περιειδὲ δὲ ταῖς σεμναῖς θεαῖς [d] ἱεροποιὸν [e] αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων τρίτον αὐτὸν καὶ καταρξάμενον τῶν ἱερῶν. ἆρ' ἄν, εἰγ' εἶχε στιγμὴν ἡ σκιὰν τούτων ὧν [f] κατεσκεύαζε κατ' ἐμοῦ, ταῦτ' ἂν εἴασεν; ἐγὼ μὲν οὐκ οἶμαι. οὐκοῦν ἐξελέγχεται τούτοις ἐναργῶς ὕβρει ζητῶν με [g] ἐκβαλεῖν ἐκ τῆς πατρίδος.

149 Ἐπειδὴ τοίνυν τοῦτο τὸ πρᾶγμα οὐδὲ καθ' ἓν πανταχῇ στρέφων οἷός τ' ἦν ἀγαγεῖν ἐπ' ἐμέ, φανερῶς ἤδη [h] δι' ἐμοῦ τὸν Ἀρίσταρχον ἐσυκοφάντει. καὶ τὰ μὲν ἄλλα σιωπῶ· τῆς δὲ βουλῆς περὶ τούτων καθημένης καὶ σκοπουμένης, παρελθὼν οὗτος "ἀγνοεῖτ'" ἔφη "[i] ὦ βουλὴ τὸ πρᾶγμα; "καὶ τὸν αὐτόχειρα [k] ἔχοντες" [l] λέγων τὸν Ἀρίσταρχον "μέλλετε καὶ ζητεῖτε καὶ τετύφωσθε; [m] οὐκ ἀποκτενεῖτε;

150 οὐκ ἐπὶ τὴν οἰκίαν βαδιεῖσθε; οὐχὶ συλλήψεσθε;" καὶ ταῦτ' ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλὴ ἐξεληλυθὼς τῇ προτεραίᾳ παρ' Ἀριστάρχου, καὶ χρώμενος ὥσπερ ἂν ἄλλος τις [n] αὐτῷ τὰ πρὸ τούτου, καί, ὅτ' [o] εὐτύχει, πλεῖστα παρεσχηκότος [p] πάντων ἐκείνου πράγματά μοι περὶ τῶν πρὸς τοῦτον [q] διαλλαγῶν. εἰ μὲν οὖν [r] εἰργάσθαί τι [s] τούτων, ἐφ' οἷς ἀπόλωλεν, ἡγούμενος τὸν Ἀρίσταρχον καὶ πεπιστευκὼς τοῖς τῶν αἰτιασαμένων λόγοις ταῦτ'

[b] ἐμῶν] ἡμῶν O.
[c] Νεμείῳ] νεμέᾳ F. r. t.
[d] ἱεροποιὸν] ἱεροποιῶν r.
[e] αἱρεθέντα] ἀναρρηθέντα P.
[f] κατεσκεύαζε] κατεσκεύασε k. r.
[g] ἐκβαλεῖν] ἐκβάλλειν F. S. Y. O. s.
[h] δι' ἐμοῦ] δι' ἐμὲ Y. O.
[i] ὦ βουλὴ, τὸ πρᾶγμα] τὸ πρᾶγμα, ὦ βουλὴ F. k. r. t. v.
[k] ἔχοντες] λέγοντες r.
[l] λέγων] λέγω k.
[m] οὐκ ἀποκτ.] καὶ οὐκ ἀποκτ. P. Y. O. s.
[n] αὐτῷ om. S. Y. O. s.
[o] εὐτύχει] ηὐτύχει k. r.
[p] πάντων ἐκείνου] πάντων τούτου γρ. S. ipse om.
[q] διαλλαγῶν] ἀπαλλαγῶν P. S. ἢ ἀπαλλαγῶν s.
[r] εἰργάσθαι] εἴργασταί Y. O. s.
[s] τούτων] τῶν pr. O.

151 ἔλεγε, χρῆν μὲν οὐδ' οὕτως· μετρία γὰρ δίκη παρὰ τῶν 553
φίλων ἐστίν, ἄν τι δοκῶσι πεποιηκέναι δεινόν, μηκέτι τῆς
λοιπῆς φιλίας κοινωνεῖν, τὸ δὲ τιμωρεῖσθαι καὶ ἐπεξιέναι
τοῖς πεπονθόσι καὶ τοῖς ἐχθροῖς [t] παραλείπεται· ὅμως δ'
ἔστω [u] τούτῳ γε συγγνώμη. εἰ δὲ [x] λαλῶν μὲν καὶ ὁμω-
ρόφιος [y] γιγνόμενος ὡς οὐδὲν [z] εἰργασμένῳ φανήσεται, λέ-
γων δὲ καὶ καταιτιώμενος ταῦθ' ἕνεκα τοῦ συκοφαντεῖν
ἐμέ, πῶς οὐ δεκάκις, μᾶλλον δὲ μυριάκις [a] δίκαιός ἐστ'
152 ἀπολωλέναι; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ τῇ [b] μὲν
προτεραίᾳ, ὅτε ταῦτ' ἔλεγεν, εἰσεληλύθει καὶ διείλεκτο
ἐκείνῳ, τῇ δ' ὑστεραίᾳ [c] πάλιν (τοῦτο γάρ, τοῦτο οὐκ
[d] ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας, ἄνδρες Ἀθηναῖοι)
εἰσελθὼν οἴκαδε ὡς ἐκεῖνον καὶ ἐφεξῆς οὑτωσὶ [e] καθιζό-
153 μενος, τὴν δεξιὰν ἐμβαλών, παρόντων πολλῶν, μετὰ τοὺς
ἐν τῇ βουλῇ τούτους λόγους, ἐν οἷς αὐτόχειρα καὶ τὰ δει-
νότατα εἰρήκει τὸν Ἀρίσταρχον, ὤμνυε μὲν κατ' ἐξωλείας
μηδὲν εἰρηκέναι [f] περὶ αὐτοῦ [g] φλαῦρον, καὶ οὐδὲν ἐφρόν-
τιζεν ἐπιορκῶν, καὶ ταῦτα παρόντων τῶν συνειδότων, ἠξίου
δὲ καὶ πρὸς ἐμὲ αὐτῷ δι' ἐκείνου γίγνεσθαι τὰς διαλύ-
154 σεις, [h] τούτων τοὺς παρόντας ὑμῖν καλῶ [i] μάρτυρας. καί-
τοι πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον δὲ [k] ἀσεβές,

[t] παραλείπεται P.S.Y.O.s. ὑπολείπεται k.r. vulg. καταλείπεται.

[u] τούτῳ] τοῦτό k.

[x] λαλῶν μὲν F.S.t.v. cum margine O. et correcto P. ἄλλων μὲν Y.s. et pr. O. ἀλῶ μὲν k. μᾶλλον μὲν r. ἀλῶν μὲν κοινωνήσας H. Stephanus Thes. v. ἅλς.

[y] γιγνόμενος] γενόμενος k.r.

[z] εἰργασμένῳ] εἰργασμένων Y.O.

[a] δίκαιος post ἀπολωλέναι ponunt F.t.v.

[b] μὲν om. F.P.S.Y.O.s.t.v.

[c] πάλιν] πάλιν αὖ k.r.

[d] ἔχον] ἔχων r.

[e] καθιζόμενος] καθέζομενος F.k.r.t.v.

[f] περὶ] κατ' k.r.

[g] φλαῦρον] φαῦλον P.S.Y.O.s. quod est §. 157.

[h] Ante τούτων cum S. omisi καὶ.

[i] Post μάρτυρας in libris plerisque titulus est Μάρτυρες vel μαρτυρία. quem om. P. omittendum esse vidit Taylorus.

[k] ἀσεβές] ἀσελγές r.

λέγειν ὡς φονεύς, καὶ πάλιν ὡς οὐκ εἴρηκε ταῦτ' [l]ἀπομ- 25
νύναι, καὶ φόνον μὲν ὀνειδίζειν, τούτῳ [m]δ' ὁμωρόφιον γίγ-
νεσθαι; κἂν μὲν ἀφῶ τοῦτον ἐγὼ καὶ προδῶ τὴν ὑμετέραν
καταχειροτονίαν, οὐδέν, ὡς [n]ἔοικ', ἀδικῶ· [o]ἂν δ' ἐπέξιω,
λέλοιπα τὴν τάξιν, φόνου κοινωνῶ, δεῖ με ἀνηρπάσθαι. 554
155 ἐγὼ δ' αὖ τοὐναντίον οἶμαι, [p]εἰ τοῦτον ἀφῆκα, λελοιπέναι
μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὴν τοῦ δικαίου τάξιν, φόνου δ' ἂν
εἰκότως ἐμαυτῷ λαχεῖν· οὐ γὰρ ἦν [q]μοι δήπου βιωτὸν 5
τοῦτο ποιήσαντι. Ὅτι τοίνυν καὶ ταῦτ' ἀληθῆ λέγω, κά-
λει μοι καὶ τούτων τοὺς μάρτυρας.

[r]ΜΑΡΤΥΡΕΣ.

156 Λυσίμαχος Ἀλωπεκῆθεν, Δημέας [s]Σουνιεύς, [t]Χάρης [u]Θορί-
κιος, Φιλήμων Σφήττιος, Μόσχος Παιανιεύς, καθ' οὓς καιροὺς 10
ἡ εἰσαγγελία ἐδόθη ἡ εἰς τὴν βουλὴν ὑπὲρ Ἀριστάρχου τοῦ [x]Μόσ-
χου, ὅτι εἴη Νικόδημον ἀπεκτονώς, οἴδαμεν Μειδίαν τὸν κρινόμενον
ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἐλθόντα πρὸς τὴν βουλὴν καὶ
λέγοντα μηδένα ἕτερον εἶναι τὸν Νικοδήμου φονέα ἀλλ' Ἀρίσταρ- 15
χον, καὶ τοῦτον [y]αὐτοῦ γεγονέναι αὐτόχειρα, καὶ συμβουλεύοντα
τῇ βουλῇ βαδίζειν ἐπὶ τὴν οἰκίαν τὴν Ἀριστάρχου καὶ συλλαμβά-
157 νειν αὐτόν. ταῦτα δ' ἔλεγε πρὸς τὴν βουλὴν τῇ [z]προτεραίᾳ μετ'
Ἀριστάρχου καὶ μεθ' ἡμῶν συνδεδειπνηκώς. οἴδαμεν δὲ καὶ Μει- 20
δίαν, ὡς ἀπῆλθεν ἀπὸ τῆς βουλῆς τούτους τοὺς λόγους εἰρηκώς,
εἰσεληλυθότα πάλιν ὡς Ἀρίσταρχον καὶ τὴν δεξιὰν ὡς ἐμβεβλη-
κότα καὶ ὁμνύοντα κατ' ἐξωλείας μηδὲν κατ' αὐτοῦ πρὸς τὴν βου-
λὴν εἰρηκέναι φαῦλον, καὶ ἀξιοῦντα Ἀρίσταρχον ὅπως ἂν διαλ- 25
λάξῃ αὐτῷ Δημοσθένην.

158 Τίς οὖν ὑπερβολή; τίς ὁμοία τῇ τούτου γέγονεν ἢ γέ-

[l] ἀπομνύναι καὶ φόνον] ἐπομνύναι καὶ φόνου r.
[m] δ' ὁμωρόφιον] ὁμωρόφιον δὲ correctus O.
[n] ἔοικ'] P.S.Y.O.s. ceteri ἔοικεν.
[o] ἂν] ἐὰν r.
[p] εἰ om. r.
[q] μοι post δήπου ponunt k. r.
[r] ΜΑΡΤΥΡΕΣ] μαρτυρίαι P. S. Y. O. μαρτυρία s.
[s] Σουνιεὺς] σουνὶς P. S. s.
[t] Χάρης] χιάρης F.S.Y.O.s.t.v.
[u] Θορίκιος] θόρικος s. t. v.
[x] Μόσχου] Νικοδήμου Anecd. p. 176, 32.
[y] αὐτοῦ P.Y.O.s. ceteri αὐτὸν.
[z] προτεραίᾳ] προτέρᾳ P. S. O.

νοιτ' ἂν πονηρία; ὃς ἄνδρα ἀτυχοῦντα, οὐδὲν αὐτὸν ἠδικηκότα (ἐῶ γὰρ [a] εἰ φίλον), [b] ἅμα συκοφαντεῖν ᾤετο δεῖν καὶ πρὸς ἐμὲ αὐτὸν διαλύειν ἠξίου, καὶ ταῦτ' ἔπραττε καὶ χρήματ' ἀνήλισκεν ἐπὶ τῷ μετ' ἐκείνου κἀμὲ προσεκβαλεῖν ἀδίκως. 555

159 Ταῦτο μέντοι τὸ τοιοῦτον ἔθος καὶ τὸ κατασκεύασμα, ὦ [c] ἄνδρες Ἀθηναῖοι, τὸ τοῖς ὑπὲρ αὐτῶν ἐπεξιοῦσι δικαίως ἔτι πλείω περιστάναι κακά, οὐκ ἐμοὶ μὲν ἄξιόν ἐστ' ἀγαναχτεῖν καὶ βαρέως φέρειν, ὑμῖν δὲ τοῖς ἄλλοις παρ- ιδεῖν· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον, 160 ἐκλογιζομένοις καὶ θεωροῦσιν ὅτι τοῦ μὲν ὦ ἄνδρες Ἀθηναῖοι ῥᾳδίως κακῶς [d] παθεῖν ἐγγύτατα [e] ἡμῶν εἰσὶν οἱ πενέστατοι καὶ ἀσθενέστατοι, τοῦ δ' ὑβρίσαι καὶ τοῦ ποιήσαντάς [f] τι μὴ δοῦναι δίκην, ἀλλὰ τοὺς ἀντιπαρέξοντας πράγματα μισθώσασθαι, [g] οἱ βδελυροὶ καὶ χρήματ' ἔχον- 161 τές [εἰσιν ἐγγυτάτω.] [h] οὐ δὴ δεῖ [i] παροράν τὰ τοιαῦτα, [k] οὐδὲ τὸν ἐξειργοντα δέει καὶ φόβῳ τὸ δίκην ὧν ἂν ἡμῶν ἀδικηθῇ τις λαμβάνειν παρ' αὐτοῦ ἄλλο τι χρὴ νομίζειν ποιεῖν, ἢ τὰς [l] τῆς ἰσηγορίας καὶ τὰς τῆς ἐλευθερίας [m] ἡμῶν μετουσίας ἀφαιρεῖσθαι. ἐγὼ μὲν γὰρ ἴσως [n] διεωσάμην, καὶ ἄλλος τις [o] ἄν, ψευδῆ λόγον καὶ συκοφαντίαν, καὶ οὐκ ἀνήρπασμαι· οἱ δὲ πολλοὶ τί ποιήσετε, ἂν μὴ δη- μοσίᾳ [p] πᾶσι φοβερὸν καταστήσητε τὸ εἰς ταῦτα ἀπο-

[a] εἰ] εἰπεῖν k.
[b] ἅμα] ἀλλὰ r.
[c] ἄνδρες Ἀθηναῖοι] δικασταί, ut solet, r.
[d] παθεῖν] πάσχειν γρ. r. πάλιν r. et γρ. F.
[e] ἡμῶν] ὑμῶν P. S. Y. k. r. s.
[f] τι om. F. S. Y. O. s. t. v.
[g] οἱ] οἱ δὲ r.
[h] οὐ] εἰ correctus k.
[i] παροράν τὰ] παρορῶντα r.
[k] οὐδὲ] καὶ εἶναι rec. k.
[l] τῆς ἰσηγ. καὶ τὰς τῆς ἐλευθ.] τῆς ἐλευθ. καὶ τῆς ἰσηγ. k. r.
[m] ἡμῶν] ὑμῶν k. r.
[n] διεωσάμην] διεσωσάμην S. s.
[o] ἄν] ἐὰν k. r.
[p] πᾶσι φοβερὸν] πᾶσι φανερὸν P. O. s. φοβερὸν πᾶσι k. r.

162 χρῆσθαι τῷ πλουτεῖν; δόντα λόγον καὶ ὑποσχόντα κρίσιν περὶ ὧν ἄν τις [q] ἐγκαλῇ, τότ' [r] ἀμύνεσθαι τοὺς ἀδίκως [s] ἐφ' αὑτὸν ἐλθόντας χρή, καὶ τότ', ἂν [t] ἀδικοῦντας ὁρᾷ τις, οὐ προαναρπάζειν, οὐδ' ἐπάγοντ' αἰτίας ψευδεῖς ἄχριτον ζητεῖν ἀποφεύγειν, οὐδ' ἐπὶ τῷ δίδόναι δίκην ἀσχάλλειν, ἀλλὰ μὴ ποιεῖν ἐξ ἀρχῆς ἀσελγὲς μηδέν.

163 Ὅσα μὲν τοίνυν εἴς τε [u] τὴν λειτουργίαν καὶ τὸ σῶμ' ὑβρίσθην, καὶ [x] πάντ' ἐπιβουλευόμενος τρόπον καὶ πάσχων κακῶς ἐκπέφευγα, ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραλείπω δὲ πολλά· οὐ γὰρ ἴσως ῥᾴδιον πάντ' εἰπεῖν. ἔχει δ' οὕτως. οὐκ [y] ἔσθ' ἑφ' ὅτῳ τῶν πεπραγμένων ἐγὼ μόνος ἠδίκημαι, ἀλλ' ἐπὶ μὲν τοῖς εἰς τὸν χορὸν γεγενημένοις ἀδικήμασιν ἡ φυλή, τὸ δέκατον μέρος [z] ὑμῶν, συνηδίκηται, ἐπὶ δ' οἷς ἐμὲ ὕβρισε καὶ ἐπεβούλευσεν οἱ νόμοι, δι' οὓς [a] εἷς ἕκαστος ὑμῶν σῶς ἐστίν· ἐφ' ἅπασι δὲ τούτοις ὁ θεός, ᾧ [b] χορηγὸς ἐγὼ καθειστήκειν, καὶ τὸ τῆς ὁσίας, ὁτιδήποτ' ἐστί, τὸ σεμνὸν καὶ τὸ δαιμόνιον, συνηδίκηται. δεῖ δὴ τούς γε βουλομένους ὀρθῶς τὴν [c] κατ' ἀξίαν τῶν πεπραγμένων [d] παρὰ τούτου δίκην [c] λαβεῖν οὐχ ὡς ὑπὲρ [f] ἐμοῦ [g] ὄντος μόνου τοῦ λόγου τὴν ὀργὴν ἔχειν, ἀλλ' ὡς ἐν ταὐτῷ τῶν νόμων, τοῦ θεοῦ, τῆς πόλεως, [h] ὁμοῦ πάντων ἠδικημένων, οὕτω ποιεῖσθαι τὴν τιμωρίαν, καὶ τοὺς βοηθοῦντας καὶ [i] τοὺς συνεξεταζομένους μετὰ τούτου

[q] ἐγκαλῇ] ἐγκαλέσῃ k r.
[r] ἀμύνεσθαι] ἀμύνασθαι k. r. s.
[s] ἐφ' αὑτὸν] ἐπ' αὐτὸν k. r.
[t] ἀδικοῦντας] ἀδικοῦντα S.Y.O.s.
[u] τὴν om. t. v.
[x] πάντ'] ἅπαντ' k. r.
[y] ἔσθ'] ἔστιν k.
[z] ὑμῶν] ἡμῶν r.
[a] εἷς om. Y. k. r. s.
[b] χορηγὸς] χορὸς pr. Y.
[c] κατ' ἀξίαν] καταξίαν s.
[d] παρὰ] περὶ s.
[c] λαβεῖν] λαμβάνειν k. r.
[f] ἐμοῦ] ἡμῶν F.t.v. ὑμῶν P. S. Y. O. s.
[g] ὄντος μόνου] μόνου ὄντος k. r.
[h] ὁμοῦ k. r. ceteri ἐμοῦ.
[i] τοὺς ante συνεξετ. om. F. t. r.

μὴ συνηγόρους μόνον ἀλλὰ καὶ δοκιμαστὰς τῶν τούτῳ πεπραγμένων [k] ὑπολαμβάνειν εἶναι.

165 Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, σώφρονα καὶ μέτριον πρὸς τἆλλα παρεσχηκὼς αὑτὸν Μειδίας καὶ μηδένα τῶν ἄλλων πολιτῶν [l] ἠδικηκὼς εἰς ἐμὲ [m] μόνον ἀσελγὴς οὕτω καὶ βίαιος ἐγεγόνει, πρῶτον [n] μὲν ἔγωγ' ἀτύχημ' ἂν ἐμαυτοῦ τοῦτο ἡγούμην, ἔπειτ' ἐφοβούμην ἂν μὴ τὸν ἄλλον ἑαυτοῦ βίον [o] οὗτος μέτριον δεικνύων καὶ φιλάνθρωπον [p] διακρούσηται τούτῳ τὸ δίκην ὧν ἐμὲ ὕβρικε δοῦ-

166 ναι. [q] νυνὶ δὲ τοσαῦτ' [r] ἐστὶ [s] τἆλλα, ἃ πολλοὺς ὑμῶν ἠδίκηκε, καὶ τοιαῦτα, ὥστε τούτου μὲν τοῦ δέους ἀπήλλαγμαι, φοβοῦμαι δὲ πάλιν τοὐναντίον μή, ἐπειδὰν πολλὰ καὶ δεινὰ ἑτέρους [t] ἀκούηθ' ὑπ' αὐτοῦ πεπονθότας, τοιοῦτός τις ὑμῖν λογισμὸς ἐμπέσῃ " [u] τί οὖν σὺ δεινότερα

167 " ἢ τῶν ἄλλων εἷς ἕκαστος πεπονθὼς ἀγανακτεῖς;" πάντα μὲν δὴ τὰ τούτῳ πεπραγμένα οὔτ' ἂν [x] ἐγὼ δυναίμην πρὸς ὑμᾶς εἰπεῖν, οὔτ' ἂν ὑμεῖς [y] ὑπομείναιτ' ἀκούειν, οὐδ', εἰ τὸ παρ' ἀμφοτέρων ἡμῶν ὕδωρ ὑπάρξειε πρὸς τὸ λοιπὸν πᾶν, τό τ' ἐμὸν καὶ τὸ τούτου προστεθέν, οὐκ ἂν ἐξαρκέσειεν· ἃ δ' ἐστὶ μέγιστα καὶ φανερώτατα, ταῦτ' ἐρῶ.

168 μᾶλλον δ' ἐκεῖνο ποιήσω· ἀναγνώσομαι μὲν ὑμῖν, ὡς ἐμαυτῷ γέγραμμαι, [a] πάντα τὰ ὑπομνήματα, λέξω δ' ὅ

[k] ὑπολαμβάνειν k.r. ceteri ὑπολαμβάνετ'.

[l] ἠδικηκὼς] μηδὲν ἠδικηκὼς F.k.r. t. v.

[m] μόνον ἀσελγὴς] ἀσελγὴς μόνον S.k.r.

[n] μὲν om. S.

[o] οὗτος] οὕτως k.

[p] διακρούσηται τούτῳ τὸ δίκην—δοῦναι P.S.Y.O.s. τούτῳ τὸ δίκην—δοῦναι διακρούσηται t. v. τούτῳ τὸ δίκην δοῦναι—διακρούσηται k.r. τούτῳ τὸ δοῦναι—δίκην διακρούσηται F.

[q] νυνὶ] νῦν r.

[r] ἐστὶ] ἐστὶ δὴ F. t. v.

[s] τἆλλα om. k. r.

[t] ἀκούηθ'] ἀκούσητε F. t. v.

[u] τί οὖν om. pr. S.

[x] ἐγὼ] ἔγωγε F. v. t.

[y] ὑπομείναιτ'] ὑπομείναιτ' ἂν F. t. v. ὑπομενεῖτ' P.Y.O.k.r. ὑπομενεῖτ' ἂν s.

[a] πάντα τὰ ὑπομν.] τὰ ὑπομν. πάντα k. r.

τι [b] ἂν πρῶτον ἀκούειν βουλομένοις ὑμῖν ᾖ, [c] τοῦτο πρῶτον, εἶθ' ἕτερον, καὶ τἆλλα τὸν αὐτὸν τρόπον, ἕως ἂν ἀκούειν βούλησθε. ἔστι δὲ ταῦτα παντοδαπά, καὶ ὕβρεις πολλαὶ καὶ περὶ τοὺς οἰκείους κακουργήματα καὶ περὶ τοὺς θεοὺς ἀσεβήματα, καὶ τόπος οὐδεὶς ἐστιν ἐν ᾧ τοῦτον οὐ θανάτου πεποιηκότα ἄξια πολλὰ εὑρήσετε.

[d] ΥΠΟΜΝΗΜΑΤΑ ΤΩΝ [e] ΜΕΙΔΙΟΥ ΑΔΙΚΗΜΑΤΩΝ.

169 Ὅσα μὲν τοίνυν [f] ὦ ἄνδρες [g] Ἀθηναῖοι τὸν ἀεὶ προστυχόντ' αὐτῷ πεποιηκε, ταῦτ' ἐστίν. καὶ παραλέλοιφ' ἕτερα· οὐ γὰρ ἂν δύναιτ' οὐδεὶς [h] εἰσάπαξ εἰπεῖν, ἃ πολὺν χρόνον οὗτος ὑβριζων συνεχῶς ἅπαντα τὸν βίον εἴργασται. ἄξιον δ' ἰδεῖν, ἐφ' ὅσον φρονήματος ἤδη προελήλυθε τῷ 170 τούτων δίκην μηδενὸς δεδωκέναι. οὐ γὰρ [i] ἡγεῖθ', ὡς ἐμοὶ δοκεῖ, λαμπρὸν οὐδὲ [k] νεανικὸν [l] οὐδ' [m] ἄξιον [n] θανάτου, ὅ τι ἂν [o] τις πρὸς ἕνα εἷς διαπράττηται, ἀλλ' εἰ μὴ [p] φυλὴν ὅλην καὶ βουλὴν καὶ ἔθνος προπηλακιεῖ καὶ πολλοὺς [q] ἀθρόους ὑμῶν ἅμα ἐλᾷ, ἀβίωτον [r] ᾠήθ' ἕσεσθαι τὸν βίον 558 ἑαυτῷ. καὶ τὰ μὲν ἄλλα σιωπῶ, μυρία [s] εἰπεῖν ἔχων, 171 περὶ δὲ τῶν συστρατευσαμένων ἱππέων εἰς [t] Ἀργουραν ἴστε δήπου πάντες ἃ ἐδημηγόρησε παρ' ὑμῖν, ὅθ' ἥκεν ἐκ Χαλκίδος, κατηγορῶν καὶ φάσκων ὄνειδος ἐξελθεῖν τὴν [u] στρατιὰν ταύτην τῇ πόλει· καὶ τὴν λοιδοριαν [x] ἣν ἐλοι-

[b] ἂν om. O.
[c] τοῦτο om. F. t. v.
[d] Titulum om. r. in margine ponit P.
[e] ΜΕΙΔΙΟΥ] τοῦ μειδίου v.
[f] ὦ om. k. s.
[g] Ἀθηναῖοι] διασταὶ P.
[h] εἰσάπαξ] ἅπαξ pr. S.
[i] ἡγεῖθ'] ἡγεῖσθ' s. t.
[k] νεανικὸν] νεανικὸν αἰδὶν Y. O. k. r. s.
[l] οὐδ' om. Y. O. s.
[m] ἄξιον] ἄξιον εἶναι F. t. v.
[n] θανάτου] αὐτοῦ Buttmannus.
[o] τις] τι F.
[p] φυλὴν] βουλὴν r.
[q] ἀθρόους P. Y. vulg. ἀθρόους.
[r] ᾠήθ'] ὄεται r. ὄστ' s.
[s] εἰπεῖν ἔχων] ἂν ἔχων εἰπεῖν F. k. r. t. v.
[t] Ἀργουραν] ἄρειραν pr. O.
[u] στρατιὰν] στρατείαν P. Y. O. s.
[x] ἣν om. F.

δορήθη Κρατίνῳ περὶ τούτων, ὡς ἐγὼ πυνθάνομαι, μέλλοντι βοηθεῖν αὐτῷ, μέμνησθε. τὸν δὴ τοσούτοις ἀθρόοις τῶν πολιτῶν ἔχθραν ἐπ' οὐδενὶ τηλικαύτην ἀράμενον πόσῃ πονηρίᾳ καὶ θρασύτητι ταῦτα χρὴ νομίζειν πράττειν; καίτοι 172 [y] πότερ' εἰσὶν ὄνειδος ᾧ Μειδίᾳ τῇ πόλει οἱ διαβάντες ἐν τάξει καὶ τὴν σκευὴν ἔχοντες, ἣν προσῆκε τοὺς ἐπὶ τοὺς πολεμίους ἐξιόντας καὶ [z] συμβαλουμένους τοῖς συμμάχοις, ἢ σὺ ὁ [a] μὴ λαχεῖν εὐχόμενος τῶν ἐξιόντων, ὅτ' ἐκληροῦ, τὸν θώρακα δὲ οὐδεπώποτ' ἐνδύς, ἐπ' ἀστράβης δὲ ὀχούμενος [b] ἐξ [c] Ἀργούρας τῆς Εὐβοίας, χλανίδας [d] δὲ καὶ [e] κυμβία καὶ κάδους ἔχων, ὧν ἐπελαμβάνοντο οἱ πεντηκοστολόγοι; ταῦτα γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς [f] ἀπηγγέλλετο· οὐ γὰρ εἰς [g] ταὐτὸν ἡμεῖς τούτοις διέβημεν. εἶτα εἴ σε [h] ἐπὶ τούτοις [i] ἔσκωψεν Ἀρχετίων [k] ἤ τις ἄλλος, πάντας ἤλαυνες; εἰ μὲν γὰρ ἐποίεις ταῦτα, ὦ Μειδία, ἃ σέ φασιν οἱ συνιππεῖς καὶ κατηγόρεις ὡς λέγοιεν περὶ σοῦ, δικαίως [l] κακῶς ἤκουες· καὶ γὰρ ἐκείνους καὶ [m] τουτουσὶ καὶ ὅλην τὴν πόλιν ἠδίκεις καὶ κατήσχυνες. εἰ δὲ μὴ ποιοῦντός σου [n] κατεσκευάζόν τινες καταψευδόμενοί σου, οἱ δὲ λοιποὶ τῶν στρατιωτῶν οὐκ ἐκείνοις ἐπετίμων ἀλλὰ σοὶ [o] ἐπέχαιρον, δῆλον ὅτι ἐκ τῶν ἄλλων ὧν ἔζης ἄξιος [p] αὐτοῖς ἐδόκεις εἶναι τοῦ [q] τοιαῦτ' ἀκούειν· σαυτὸν οὖν μετριώτερον ἐχρῆν παρέχειν, οὐκ ἐκείνους δια- 559

[y] πότερ'] πότεροι k. r.
[z] συμβαλουμένους] συμβαλλομένους s. συμβαλομένους O. et rec. Y. pr. enim Y. hæc ἐξιόντας καὶ συμβ. om.
[a] μὴ S. vulg. μηδέ.
[b] ἐξ ante Εὐβοίας ponunt P. S. Y. O. s. et γρ. k.
[c] Ἀργούρας] ἀργυρᾶς S. et γρ. k. Conf. Pierson. ad Moer. p. 57.
[d] δὲ καὶ om. k. r.
[e] κυμβία] κυμβεῖα k. r.
[f] ἀπηγγέλλετο] ἐπηγγέλλετο k. r.
[g] ταὐτὸν] ταὐτὸ P. Y. s.
[h] ἐπὶ om. s.
[i] ἔσκωψεν] εἰσκώψομεν S.
[k] ἤ] εἴ F.
[l] κακῶς] καὶ κακῶς O.
[m] τουτουσὶ] τούτους t. v.
[n] κατεσκ.] καὶ κατεσκ. s.
[o] ἐπέχαιρον] ἐπεχείρουν S.
[p] αὐτοῖς ante ἄξιος ponunt P. Y. O. s. post ἐδόκεις k. r.
[q] τοιαῦτ'] τὰ τοιαῦτα k. r.

175 βάλλειν. σὺ δ' ἀπειλεῖς πᾶσιν, ἐλαύνεις πάντας· τοὺς ἄλλους ἀξιοῖς ὅ τι [r] σὺ βούλει σκοπεῖν, οὐκ αὐτὸς σκοπεῖς ὅ τι μὴ [s] λυπήσεις τοὺς ἄλλους ποιῶν. καὶ τὸ δὴ σχετλιώτατον καὶ μέγιστον [t] ἔμοιγε δοκοῦν ὕβρεως εἶναι σημεῖον· τοσούτων ἀνθρώπων, ὦ μιαρὰ κεφαλή, σὺ παρελθὼν [u] ἀθρόων [x] κατηγόρεις, [y] ὃ τίς οὐκ ἂν ἔφριξε [z] ποιῆσαι τῶν ἄλλων;

176 Τοῖς μὲν τοίνυν ἄλλοις ἅπασιν [a] ἀνθρώποις ὁρῶ τοῖς κρινομένοις, ὦ ἄνδρες δικασταί, ἓν μὲν ἢ δύο ὄντα τἀδικήματα ἃ [b] κατηγορεῖται, λόγους δὲ ἀφθόνους τοιούτους ὑπάρχοντας "τίς ὑμῶν ἐμοί τι σύνοιδε [c] τοιοῦτον; τίς" ὑμῶν ἐμὲ ταῦθ' [d] ἑώρακε ποιοῦντα; οὐκ ἔστιν, ἀλλ' "οὗτοι δι' ἔχθραν [e] καταψεύδονταί μου, καταψευδο-
177 μαρτυροῦμαι," τὰ τοιαῦτα· τούτῳ δ' αὖ τἀναντία τούτων. πάντας γὰρ [f] ὑμᾶς εἰδέναι νομίζω τὸν τρόπον [g] τὸν τούτου [h] καὶ τὴν ἀσέλγειαν καὶ τὴν ὑπερηφανίαν [i] τοῦ βίου, καὶ πάλαι θαυμάζειν ἐνίους οἶμαι ὧν αὐτοὶ μὲν ἴσασιν, οὐκ ἀκηκόασι δὲ νῦν ἐμοῦ. πολλοὺς δὲ τῶν πε-
178 πονθότων οὐδὲ πάνθ' ὅσα ἠδίκηνται μαρτυρεῖν ἐθέλοντας ὁρῶ, τὴν βίαν καὶ τὴν φιλοπραγμοσύνην [k] ὀρρωδοῦντας τὴν τούτου καὶ τὴν ἀφορμήν, ἥπερ ἰσχυρὸν [l] ποιεῖ καὶ φοβερὸν τὸν κατάπτυστον [m] τουτονί. τὸ γὰρ ἐπ' ἐξουσίας

[r] σὺ βούλει] σοι βούλει k.
[s] λυπήσεις] λυτήσῃς S.
[t] ἔμοιγε om. r.
[u] ἀθρόων] ἁθρόον k. r. t. v.
[x] κατηγορεῖς] κατηγορεῖς F.r.s.t.
[y] ὃ] ὅτι s.
[z] ποιῆσαι τῶν ἄλλων] τῶν ἄλλων ποιῆσαι k. r.
[a] ἀνθρώποις om. k.
[b] κατηγορεῖται S.k.r. vulg. κατηγορεῦνται.
[c] τοιοῦτον P.Y.O.s. τοιοῦτον ἢ r.
[d] ἑώρακε] ἑόρακε O.
[e] καταψεύδονται] καὶ ψεύδονται μου καὶ s.
[f] ὑμᾶς εἰδέναι] εἰδέναι ὑμᾶς k. r.
[g] τὸν τούτου om. S. k. r. τούτου καὶ om. P.
[h] καὶ τὴν ἀσέλγειαν om. F.
[i] τοῦ] τὴν τοῦ F.
[k] ὀρρωδοῦντας Taylorus: διδιότας k. r. ὀρῶντας ceteri.
[l] ποιεῖ καὶ φοβ.] καὶ φοβ. ποιεῖ F. k. s. t. v.
[m] τουτονί] P. Y. O. s.

καὶ πλούτου [n] πονηρὸν εἶναι καὶ ὑβριστὴν τεῖχός ἐστι πρὸς τὸ μηδὲν [o] ἂν αὐτὸν ἐξ ἐπιδρομῆς παθεῖν, ἐπεὶ περιαιρεθεὶς οὗτος τὰ ὄντα ἴσως μὲν οὐκ ἂν ὑβρίζοι, εἰ δ' ἄρα, ἐλάττονος ἄξιος ἔσται τοῦ μικροτάτου παρ' ὑμῖν· μάτην γὰρ λοιδορήσεται καὶ βοήσεται, δίκην δ', ἂν ἀσελγαίνῃ
179 τι, τοῖς ἄλλοις [p] ἡμῖν ἐξ ἴσου δώσει. νῦν δ', οἶμαι, τούτου [q] προβέβληται [r] Πολύευκτος, Τιμοκράτης, Εὐκτήμων ὁ κονιορτός· τοιοῦτοί τινές εἰσι μισθοφόροι περὶ αὐτόν, καὶ πρὸς ἔτι [s] ἕτεροι τούτοις, μαρτύρων συνεστῶσα [t] ἑταιρία, φανερῶς μὲν οὐκ ἐνοχλούντων [u] ὑμῖν, σιγῇ δὲ τὰ ψευδῆ ῥᾴστ' ἐπινευόντων. οὓς μὰ τοὺς θεοὺς οὐδὲν ὠφελεῖσθαι νομίζω παρὰ τούτου· ἀλλὰ δεινοί τινές εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, φθείρεσθαι πρὸς τοὺς πλουσίους καὶ παρεῖναι καὶ μαρτυ-
180 ρεῖν. πάντα δὲ ταῦτ', οἶμαι, φοβερά ἐστι τῶν ἄλλων ὑμῶν [x] ἑκάστῳ, καθ' ἑαυτὸν ὅπως δύναται ζῶντι. οὗπερ ἕνεκα συλλέγεσθε ὑμεῖς, ἵνα, ὧν καθ' ἕνα ἐστὶν ἕκαστος ὑμῶν ἐλάττων ἢ φίλοις ἢ τοῖς οὖσιν ἢ τῶν ἄλλων τινί, τούτων συλλεγέντες ἑκάστου κρείττους [y] τε [z] γίγνησθε καὶ παύητε τὴν ὕβριν.

181 Τάχα [a] τοίνυν καὶ τοιοῦτός τις ἥξει πρὸς ὑμᾶς λόγος, "τί δῆτα καὶ τὰ πεπονθὼς ὁ δεῖνα οὐκ ἐλάμβανε δίκην "παρ' ἐμοῦ;" ἢ "τί δῆτα" πάλιν [b] ἄλλον ἴσως τινὰ τῶν ἠδικημένων ὀνομάζων. ἐγὼ δὲ δι' ἃς μὲν προφάσεις ἕκαστος ἀφίσταται τοῦ βοηθεῖν ἑαυτῷ, πάντας ὑμᾶς εἰδέναι

[n] πονηρὸν] θρασὺν k. r.
[o] ἂν om. k. r.
[p] ἡμῖν] ὑμῖν k.
[q] προβέβληται] προβέβληνται F. k. r. t. v.
[r] Πολύευκτος in margine S. πολύευκτων Y. O. s.
[s] ἕτεροι τούτοις] τούτοις ἕτεροι F. t. v.
[t] ἑταιρία] ἑταιρεία pr. S. et correcti k. v.
[u] ὑμῖν] ἡμῖν t.
[x] ἑκάστῳ] ἑκάστω ἀνθρώπων P.
[y] τε om. k. r.
[z] γίγνησθε] γίγνεσθε F. O.
[a] τοίνυν] τοίνυν ἴσως k. r.
[b] ἄλλον ἴσως] ἴσως ἄλλον r.

νομίζω· καὶ γὰρ ἀσχολία καὶ ἀπραγμοσύνη καὶ τὸ μὴ
182 δύνασθαι λέγειν καὶ ἀπορία καὶ μυρί' ἐστὶν [c]αἰτία· προσ-
ήκειν μέντοι τούτῳ μὴ ταῦτα λέγειν ἡγοῦμαι [d]νυνί, ἀλλ' 25
ὡς οὐ πεποίηκέ [e]τι τούτων ὧν αὐτοῦ κατηγόρηκα διδάσ-
κειν, ἐὰν δὲ μὴ δύηται, διὰ ταῦτ' ἀπολωλέναι πολὺ
[f]μᾶλλον. εἰ γὰρ τηλικοῦτός τίς ἐστιν, ὥστε τοιαῦτα
ποιῶν δύνασθαι καθ' ἕνα [g]ἕκαστον ἡμῶν ἀποστερεῖν τοῦ
δίκης παρ' αὐτοῦ [h]τυχεῖν, κοινῇ πᾶν, ἐπειδήπερ εἴληπται, 561
πᾶσιν ὑπὲρ ἁπάντων [i]ἐστὶ τιμωρητέος ὡς κοινὸς ἐχθρὸς
τῇ πολιτείᾳ.

183 Λέγεται τοίνυν ποτὲ ἐν τῇ πόλει [k]κατὰ τὴν παλαιὰν
ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι, ᾧ σκέψασθε, 5
τίνων εὐεργεσιῶν ὑπαρχουσῶν καὶ ποίων [l]τινῶν πρὸς τὸν
δῆμον, πῶς ἐχρήσαντ' ὑμῶν οἱ πρόγονοι, ἐπειδὴ βδελυρὸς
καὶ ὑβριστὴς ᾤετο δεῖν εἶναι. καὶ οὐκ ἀπεικάσαι δηπου
Μειδίαν Ἀλκιβιάδῃ βουλομένους τούτου [m]μέμνησθαι τοῦ 10
λόγου, [n]οὐχ οὕτως εἰμὶ ἄφρων οὐδ' ἀπόπληκτος ἐγώ,
ἀλλ' ἵν' εἰδῆθ' ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γνῶθ' ὅτι
οὐδὲν [o]οὔτ' ἔστιν οὔτ' ἔσται, οὐ γένος, οὐ πλοῦτος, οὐ
δύναμις, [p]ὃ τοῖς πολλοῖς [q]ὑμῶν, ἂν ὕβρις [r]προσῇ,
184 προσηκεν φέρειν. ἐκεῖνος γὰρ ὦ ἄνδρες Ἀθηναῖοι λέγεται 15
πρὸς πατρὸς μὲν [s]Ἀλκμαιωνιδῶν εἶναι (τούτους δὲ φα-
σιν ὑπὸ τῶν τυράννων [t]ὑπὲρ τοῦ δήμου [u]στασιάζοντας

[c] αἰτια] ἕτερα k. r. ἕτερα αἰτια γρ. F.
[d] νυνί] νῦν F. t. v.
[e] τι τούτων ὧν] ταῦτ' ἐφ' οἷς k.r. et γρ. F.
[f] μᾶλλον] μᾶλλόν ἐστι δίκαιος F. k. r. t. v.
[g] ἕκαστον ἡμῶν] ἡμῶν ἕκαστον F. s. t. v.
[h] τυχεῖν] τυγχάνειν k.r. et γρ. F.
[i] ἐστὶ om. Y. O. s.
[k] κατὰ] μετὰ O.
[l] τινῶν] τιμῶν k. r. et γρ. F.
[m] μέμνησθαι] μέμνηται t.
[n] οὐχ] οὐδ' F.
[o] οὔτ' ἔστιν] ἔτ' ἔστιν P.
[p] ὃ] ὅτι P. S. Y. O.
[q] ἡμῶν] ἡμῖν F.
[r] προσῇ] ᾖ F. t.
[s] Ἀλκμαιωνιδῶν] ἀλκμεωνιδῶν t. ἀλκμεωνιδῶν F. S. Y. O. s. v.
[t] ὑπὲρ] ὑπὸ F. t.
[u] στασιάζοντας] στασιάζοντας F.

ἐκπεσεῖν, καὶ δανεισαμένους χρήματ' ἐκ Δελφῶν ἐλευθερῶσαι τὴν πόλιν καὶ [x] τοὺς Πεισιστράτου παῖδας ἐκβαλεῖν), πρὸς δὲ μητρὸς Ἱππονίκου καὶ [y] ταύτης τῆς [z] οἰκίας, [a] ἧς [b] ὑπάρχουσι πολλαὶ καὶ μεγάλαι πρὸς τὸν δῆμον
185 εὐεργεσίαι. οὐ μόνον δὲ ταῦθ' [c] ὑπῆρχεν αὐτῷ, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου θέμενος τὰ ὅπλα δὶς μὲν ἐν Σάμῳ, τρίτον δ' ἐν αὐτῇ τῇ πόλει, [d] τῷ σώματι τὴν εὔνοιαν, οὐ χρήμασιν οὐδὲ λόγοις ἐνεδείξατο τῇ πατρίδι. ἔτι δὲ [e] ἵπ-πων Ὀλυμπιάσιν ἀγῶνες ὑπῆρχον αὐτῷ καὶ νίκαι [f] καὶ στέφανοι, καὶ στρατηγὸς ἄριστος, καὶ λέγειν ἐδόκει πάν-
186 των, ὥς φασιν, εἶναι δεινότατος. ἀλλ' ὅμως οἱ κατ' [g] ἐκεῖνον [h] ὑμέτεροι πρόγονοι οὐδενὸς τούτων αὐτῷ συνεχώ- 562
ρησαν ὑβρίζειν αὐτούς, ἀλλὰ ποιήσαντες [i] φυγάδα ἐξέβαλον, καὶ Λακεδαιμονίων [k] ὄντων ἰσχυρῶν τότε καὶ Δεκέλειαν αὐτοῖς ἐπιτειχισθῆναι καὶ τὰς ναῦς ἁλῶναι καὶ πάντα ὑπέμειναν, ὅτιοῦν ἄκοντες παθεῖν κάλλιον εἶναι νο-
187 μίζοντες ἢ ἑκόντες ὑβρίζεσθαι συγχωρῆσαι. καίτοι τί τοσοῦτον [l] ἐκεῖνος ὕβρισεν, ἡλίκον [m] οὗτος νῦν ἐξελήλεγκται; Ταυρέαν ἐπάταξε χορηγοῦντα ἐπὶ κόρρης. ἔστω ταῦτα, ἀλλὰ χορηγῶν [n] γε χορηγοῦντα τοῦτ' ἐποίησεν, οὔπω τόνδε τὸν νόμον παραβαίνων· οὐ γὰρ ἔκειτό πω. εἶρξεν Ἀγάθαρχον τὸν γραφέα· καὶ γὰρ ταῦτα λέγουσιν. λαβὼν [o] γέ τι πλημμελοῦντα, ὥς φασιν, ὅπερ οὐδ' ὀνει-

[x] τοὺς] τοῦ v.
[y] ταύτης] ταύτης δὴ k. r.
[z] οἰκίας] οἰκίας συγγενὴς rec. S. οἰκίας συγγενεῖς γρ. F.
[a] ἧς] οἷς S.
[b] ὑπάρχουσι] ὑπάρχουσαι r.
[c] ὑπῆρχεν] ὑπῆρχον t.
[d] τῷ] καὶ τῷ s.
[e] ἵππων] ἱππέων Y. O. s. t. v.
[f] καὶ στέφανοι om. P.Y.O.k r.s.
[g] ἐκεῖνον] ἐκεῖνον χρόνον t. ἐκεῖνον τὸν χρόνον F. P. Y. O. s. v.
[h] ὑμέτεροι] ἡμέτεροι F. P. Y. O. t. v.
[i] φυγάδα] ἄτιμον καὶ φυγάδα γρ. F.
[k] ὄντων ἰσχυρῶν] ἰσχυρῶν ὄντων F. t. v.
[l] ἐκεῖνος ὕβρισεν] ὕβρισεν ἐκεῖνος r.
[m] οὗτος νῦν] νῦν οὗτος r. νῦν οὕτως k.
[n] γε om. F.
[o] γέ τι] γ' ἔτι O. s. γέ τοι t.

δίζειν ἄξιον. τοὺς Ἑρμᾶς περιέκοπτεν. ἅπαντα μέν, οἶ- 15
μαι, τἀσεβήματα τῆς αὐτῆς [p]ὀργῆς δίκαιον ἀξιοῦν· τὸ
δ' ὅλως ἀφανίζειν [q]ἱερὰν ἐσθῆτα ἔσθ' ὅ τι τοῦ [r]περικόπ-
τειν τοὺς Ἑρμᾶς διαφέρει; οὐκοῦν οὗτος ἐξελήλεγκται
188 τοῦτο ποιῶν. ἀντιθῶμεν [s]δή τίς ὢν καὶ τίσι ταῦτ' [t]ἐν-
δεικνύμενος. [u]μὴ τοίνυν [x]ὑμῖν, [y]πρὸς τῷ μὴ καλόν, μηδὲ 20
θεμιτὸν νομίζετε ἄνδρες δικασταὶ μηδ' ὅσιον εἶναι τοιού-
των ἀνδρῶν οὖσιν ἀπογόνοις, πονηρὸν καὶ βίαιον [z]καὶ
ὑβριστὴν λαβοῦσιν ἄνθρωπον καὶ μηδένα μηδαμόθεν, συγ-
189 γνώμης ἢ φιλανθρωπίας ἢ χάριτός τινος ἀξιῶσαι. τίνος 25
γὰρ ἕνεκα; τῶν [a]στρατηγιῶν; ἀλλ' οὐδὲ καθ' αὑτὸν στρα-
τιώτης [b]οὗτος οὐδενός ἐστ' ἄξιος, μή [c]τι [d]γε τῶν ἄλλων
ἡγεμόνων. ἀλλὰ τῶν λόγων; ἐν οἷς κοινῇ μὲν οὐδὲν πώποτ'
εἶπεν ἀγαθόν, κακῶς δὲ ἰδίᾳ πάντας ἀνθρώπους λέγει.
γένους ἕνεκα νὴ Δία; καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορ- 563
190 ῥήτους, ὥσπερ ἐν τραγῳδίᾳ, [τὰς] τούτου γονάς; ᾧ δύο
[e]τὰ ἐναντιώτατα συμβέβηκεν εἶναι· ἡ μὲν [f]γὰρ ὡς ἀλη-
θῶς μήτηρ, ἡ τεκοῦσα αὐτόν, πλεῖστον ἀπάντων ἀνθρώπων
εἶχε νοῦν, ἡ δὲ δοκοῦσα καὶ [g]ὑποβαλομένη πασῶν ἦν ἀνο- 5
ητοτάτη γυναικῶν. σημεῖον δὲ· ἡ μὲν γὰρ ἀπέδοτο εὐ-
θὺς [h]γενόμενον, ἡ δ' ἔχουσ' αὐτῇ βελτίω [i]πρίασθαι [k]ταύτης
191 τῆς τιμῆς τοῦτον ἠγόρασεν. καὶ γάρ τοι διὰ τοῦτο [l]τῶν

[p] ὀργῆς—οἰκοῦν rec. in margine P.
[q] ἱερὰ, εσθῆτα in margine S.
[r] περικόπτειν] κόπτειν S.
[s] δὴ] δὲ k. r.
[t] Post ἐνδεικνύμενος margo S. addit haec: ἐνύρθη ταῦτα ποιῶν.
[u] μὴ τοίνυν] μήτ' οὖν γρ. S.
[x] ὑμῖν om. F. post καλὸν ponunt k. r. ὑμεῖς γρ. S.
[y] πρὸς τῷ] πρὸς τὸ k.
[z] καὶ ante ὑβριστὴν om. O.
[a] στρατηγιῶν] στρατιῶν O.
[b] οὗτος om. t. οὗτός γε r.
[c] τι] τοι k.
[d] γε om. P.
[e] τὰ om. S. k. r.
[f] γὰρ om. pr. Y.
[g] ὑποβαλομένη] ὑποβαλλομένη P. Y. O. s. ὑπολαμβανομένη k. r.
[h] γενόμενον] γενομένου Y. γενομένου Y. γενέμενον k.
[i] πρίασθαι] πριάσασθαι pr. Y.
[k] ταύτης τῆς] τῆς ἴσης F. k. r. t. v.
[l] τῶν ante οὐ om. F. k. r. t. v.

οὐ προσηκόντων ἀγαθῶν κύριος γεγονώς, καὶ πατρίδος [l]τετευχὼς ἣ νόμοις τῶν ἁπασῶν πόλεων μάλιστα οἰκεῖσθαι δοκεῖ, οὐδένα οἶμαι τρόπον φέρειν οὐδὲ χρῆσθαι τούτοις δύναται, ἀλλὰ τὸ τῆς φύσεως [m]βάρβαρον ἀληθῶς καὶ θεοῖς ἐχθρὸν ἕλκει καὶ βιάζεται, καὶ φανερὸν ποιεῖ τοῖς παροῦσιν ὥσπερ ἀλλοτρίοις, ὅπερ ἔστιν, αὐτὸν χρώμενον.

192 Τοσούτων τοίνυν καὶ τοιούτων [n]ὄντων τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ [o]ὧν βεβίωται, ἔνιοί μοι προσιόντες ὦ ἄνδρες δικασταὶ τῶν χρωμένων αὐτῷ, παραινοῦντες ἀπαλλαγῆναι καὶ καθυφεῖναι τὸν ἀγῶνα [p]τουτονί, ἐπειδή με μὴ πείθοιεν, ὡς μὲν οὐ [q]πολλὰ καὶ δεινὰ πεποίηκεν [r]οὗτοσὶ καὶ δίκην ἠντινοῦν ἂν δοίη [s]δικαίως τῶν πεπραγμέ-
193 νων, οὐκ ἐτόλμων λέγειν, ἐπὶ ταῦτα δ' ἀπήντων ὡς "ἤλωκεν ἤδη καὶ κατεψήφισται· τίνος τιμήσειν [t]αὐτῷ "προσδοκᾷς τὸ δικαστήριον; οὐχ ὁρᾷς ὅτι πλουτεῖ καὶ "τριπαραρχίας ἐρεῖ καὶ λειτουργίας; σκόπει [u]δὴ μὴ τού-"τοις αὐτὸν [x]ἐξαιτήσηται, καὶ ἐλάττω πολὺ τῇ πόλει
194 "καταθεὶς ἢ ὅσα σοι δίδωσι [y]καταγελάσῃ." ἐγὼ δὲ πρῶτον μὲν οὐδὲν ἀγεννὲς ὑμῶν καταγιγνώσκω, οὐδ' ὑπολαμβάνω τιμήσειν οὐδενὸς ἐλάττονος τούτῳ [z]ἢ ὅσον [a]κα- 564
ταθεὶς [b]οὑτοσὶ παύσεται τῆς ὕβρεως· τοῦτο δ' ἐστὶ μάλιστα μὲν θάνατος, εἰ δὲ μή, πάντα τὰ ὄντα ἀφελέσθαι.

[l] τετευχὼς] τετυχηκὼς F.k.r.t.v.
[m] βάρβαρον ἀληθῶς] ὡς ἀληθῶς βάρβαρον F. k. r. t. v.
[n] ὄντων] ὄντων ἃ F. k. r. t. v.
[o] ὧν] μάλα t. v. om. k. r.
[p] τουτονί] τοῦτον t. v.
[q] πολλὰ καὶ δεινὰ] δεινὰ καὶ πολλὰ k. r.
[r] οὑτοσὶ] οὗτος P. S. Y. O. s.
[s] δικαίως ante ἂν ponunt k. r. post ἂν F. t. v.
[t] αὐτῷ] αὐτὸν k.
[u] δὴ] δὲ s. t.
[x] ἐξαιτήσηται] ἐξαιτήσεται F. ἐξαιτήσεται P. S. Y. O. s.
[y] καταγελάσῃ] καταγελάσει F. k. t. v.
[z] ἢ ὅσον] ἧς ὃν S.
[a] καταθεὶς] καθεὶς k. r.
[b] οὑτοσὶ] οὗτος S. k. οὑτωσὶ F. r.

ἔπειθ' ὑπὲρ τῶν τούτου λειτουργιῶν καὶ [c] τριηραρχιῶν καὶ τῶν τοιούτων λόγων ὠδὶ γιγνώσκω. εἰ μέν ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι τὸ λειτουργεῖν τοῦτο, τὸ ἐν ὑμῖν [d] λέγειν [e] ἐν ἁπάσαις ταῖς ἐκκλησίαις καὶ πανταχοῦ "ἡμεῖς οἱ λει-" τουργοῦντες, ἡμεῖς οἱ [f] προεισφέροντες ὑμῖν, ἡμεῖς οἱ "πλούσιοί ἐσμεν," εἰ τὸ [g] τὰ τοιαῦτα λέγειν, τοῦτ' ἔστι [h] λειτουργεῖν, ὁμολογῶ Μειδίαν ἁπάντων τῶν ἐν τῇ πόλει λαμπρότατον [i] γεγενῆσθαι· ἀποκναίει γὰρ ἀηδίᾳ δῆπου καὶ ἀναισθησίᾳ καθ' ἑκάστην [k] τὴν ἐκκλησίαν ταῦτα λέ-196 γων. εἰ μέντοι τί ποτ' ἐστὶν ἃ λειτουργεῖ τῇ [l] ἀληθείᾳ δεῖ σκοπεῖν, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. καὶ θεάσασθε ὡς δικαίως αὐτὸν ἐξετάσω, πρὸς ἐμαυτὸν κρίνων. οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, γεγονὼς ἔτη περὶ πεντήκοντα ἴσως ἢ μικρὸν [m] ἔλαττον, οὐδεν ἐμοῦ πλείους λειτουργίας ὑμῖν λελει-197 τούργηκεν, ὃς δύο καὶ τριάκοντα ἔτη γέγονα. κἀγὼ μὲν κατ' ἐκείνους τοὺς χρόνους ἐτριηράρχουν, εὐθὺς ἐκ παίδων ἐξελθών, ὅτε σύνδυο [n] ἦμεν οἱ τριήραρχοι καὶ [o] τἀναλώματα πάντα ἐκ τῶν ἰδίων [p] οἴκων] [q] ἐδαπανῶμεν καὶ τὰς ναῦς [r] ἐπληρούμεθ' αὐτοί· οὗτος δέ, ὅτε μὲν κατὰ ταύτην τὴν ἡλικίαν [s] ἦν ἣν ἐγὼ νῦν, οὐδέπω λειτουργεῖν [t] ἤρχετο, 198 τηνικαῦτα δὲ τοῦ πράγματος ἥπται, ὅτε πρῶτον μὲν διακοσίους καὶ χιλίους πεποιήκατε συντελεῖς ὑμεῖς, παρ'

[c] τριηραρχιῶν] τῶν τριηραρχιῶν P. S. Y. O. s.
[d] λέγειν post ἁπάσαις ponunt Y. O. s.
[e] ἐν ante ἁπάσαις om. pr. v.
[f] προεισφέροντες ὑμῖν] προσφέροντες ἡμῖν O.
[g] τὰ om. O.
[h] λειτουργεῖν] τὸ λειτουργεῖν F. s. t. v.
[i] γεγενῆσθαι] γενέσθαι k. r.
[k] τὴν om. F. k. r. s. t. v.
[l] ἀληθείᾳ] ἀληθείᾳ μειδίας k. r.
[m] ἔλαττον S. vulg. ἐλάττω.
[n] ἦμεν] ἦσαν F.
[o] τἀναλώματα P. O. s. vulg. τὰ ἀναλώματα.
[p] οἴκων om. k. r.
[q] ἐδαπανῶμεν om. P. S. Y. O. v.
[r] ἐπληρούμεθ'] ἐπληρῶμεν F. k. r. t. v.
[s] ἦν om. P. S. Y. O. s. t. v.
[t] ἤρχετο] ἦρτα. γρ. S.

ὧν εἰσπραττόμενοι [u] τάλαντον ταλάντου μισθοῦσι τὰς τριηραρχίας οὗτοι, [x] εἶτα [y] πληρώματα ἡ πόλις παρέχει καὶ σκεύη δίδωσιν, ὥστ' αὐτῶν ἐνίοις τῇ ἀληθείᾳ τὸ [z] μηδὲν ἀναλῶσαι καὶ δοκεῖν λελειτουργηκέναι καὶ τῶν ἄλ-
199 λων λειτουργιῶν [a] ἀτελέσι γεγενῆσθαι περίεστιν. ἀλλὰ μὴν τί ἄλλο; τραγῳδοῖς κεχορήγηκέ ποθ' οὗτος, ἐγὼ δὲ αὐληταῖς ἀνδράσι. καὶ ὅτι τοῦτο τὸ ἀνάλωμα ἐκείνης τῆς δαπάνης [b] πλέον ἐστὶ πολλῷ, οὐδεὶς ἀγνοεῖ δήπου. κἀγὼ μὲν ἐθελοντὴς νῦν, οὗτος δὲ καταστὰς ἐξ ἀντιδόσεως τότε, οὗ χάριν οὐδεμίαν [c] αὐτῷ δήπου δικαίως ἄν τις [d] ἔχοι. [e] τί ἔτι; [f] εἰστίακα τὴν φυλὴν ἐγὼ καὶ Παν-
200 αθηναίοις κεχορήγηκα, οὗτος δ' [g] οὐδέτερα. ἡγεμὼν συμμορίας ὑμῖν ἐγενόμην ἐγὼ ἔτη δέκα, ἴσον Φορμίωνι καὶ Λυσιθείδῃ καὶ Καλλαίσχρῳ καὶ τοῖς πλουσιωτάτοις, εἰσφέρων οὐκ ἀπὸ ὑπαρχούσης [h] οὐσίας (ὑπὸ γὰρ τῶν ἐπιτρόπων ἀπεστερήμην), ἀλλ' ἀπὸ τῆς δόξης ὧν ὁ πατήρ μοι κατέλιπε καὶ ὧν δίκαιον ἦν με δοκιμασθέντα κομίσασθαι. ἐγὼ μὲν [i] οὖν οὕτως ὑμῖν προσενήνεγμαι, Μειδίας δὲ πῶς; οὐδέπω καὶ τήμερον [k] συμμορίας ἡγεμὼν γέγονεν, οὐδὲν τῶν πατρῴων ἀποστερηθεὶς ὑπ' οὐδενός, ἀλλὰ παρὰ τοῦ πατρὸς πολλὴν οὐσίαν παραλαβών.
201 τίς οὖν [l] ἐστὶν ἡ λαμπρότης, ἢ τίνες αἱ λειτουργίαι καὶ

[u] τάλαντον] ταλάντων S.
[x] εἶτα] ἔπειτα k. r.
[y] πληρώματα] τὰ πληρώματα F. k. t. v.
[z] μηδὲν] μηδένα Y.
[a] ἀτελέσι] ἀτελεῖς P. Y. k. r. s.
[b] πλέον ἐστὶ πολλῷ S. r. πλεῖόν ἐστι πολλῷ P. Y. O. s. ἐστὶ πολλῶ (adscriptis rec. in margine his: λείπει τὸ μεῖζον) k. vulg. πολλῷ πλεῖόν ἐστιν.
[c] αὐτῷ om. S. post δήπου ponunt F. k. r.
[d] ἔχοι] ἔχῃ t. v.
[e] τί ἔτι om. pr. k.
[f] εἰστίακα] ἑστίακα k. r.
[g] οὐδέτερα] οὐδέτερον r.
[h] οὐσίας] αἰτίας r.
[i] οὖν om. t. v.
[k] συμμορίας ἡγεμὼν] ἡγεμὼν συμμορίας k. r.
[l] ἐστὶν om. F. t. v.

τὰ σεμνὰ ἀναλώματα [m]τὰ τούτου; ἐγὼ μὲν [n]γὰρ οὐχ ὁρῶ, πλὴν εἰ ταῦτά τις θεωρεῖ· οἰκίαν ᾠκοδόμηκεν [o]Ἐλευσῖνι τοσαύτην ὥστε πᾶσιν ἐπισκοτεῖν τοῖς ἐν τῷ τόπῳ, [2] καὶ εἰς μυστήρια τὴν γυναῖκα ἄγει, κἂν ἄλλοσέ ποι βούληται, ἐπὶ τοῦ λευκοῦ ζεύγους τοῦ ἐκ Σικυῶνος, καὶ τρεῖς ἀκολούθους ἢ τέτταρας αὐτὸς ἔχων διὰ τῆς ἀγορᾶς σοβεῖ, κυμβία καὶ ῥυτὰ καὶ [p]φιάλας ὀνομάζων οὕτως 566
202 ὥστε τοὺς [q]παριόντας ἀκούειν. ἐγὼ δ' ὅσα μὲν τῆς ἰδίας τρυφῆς ἕνεκα [r]Μειδίας καὶ περιουσίας κτᾶται, οὐκ οἶδ' ὅ τι τοὺς πολλοὺς ὑμῶν ὠφελεῖ· ἃ δ' ἐπαιρόμενος [s]τούτοις ὑβριζει, ἐπὶ πολλοὺς καὶ τοὺς τυχόντας [t]ὑμῶν ἀ- 5 φικνούμενα ὁρῶ. οὐ [u]δεῖ δὴ τὰ τοιαῦτα ἑκάστοτε τιμᾶν οὐδὲ θαυμάζειν ὑμᾶς, οὐδὲ τὴν φιλοτιμίαν ἐκ τούτων κρίνειν, εἴ τις οἰκοδομεῖ λαμπρῶς ἢ θεραπαίνας κέκτηται πολλὰς ἢ σκεύη [x]καλά, ἀλλ' ὃς ἂν ἐν τούτοις λαμπρὸς καὶ φιλότιμος [y]ᾖ, ὧν ἅπασι [z]μέτεστι τοῖς πολλοῖς 10 ὑμῶν· ὧν οὐδὲν εὑρήσετε τούτῳ πρόσον.

203 Ἀλλὰ [a]νὴ Δία [b]τριήρη ἐπέδωκεν· ταύτην γὰρ [c]οἶδ' ὅτι [d]θρυλήσει, καὶ φήσει "ἐγὼ ὑμῖν τριήρη ἐπέδωκα." οὑτωσὶ [e]δὴ ποιήσατε. εἰ μὲν ὦ ἄνδρες Ἀθηναῖοι φιλοτιμίας [f]εἵνεκα ταύτην ἐπέδωκεν, ἣν προσήκει τῶν τοιούτων 15 ἔχειν χάριν, ταύτην ἔχετε αὐτῷ καὶ ἀπόδοτε, ὑβριζειν δὲ

[m] τὰ ante τούτου om. F. P. S. Y. O. s. t. v.
[n] γὰρ om. k. r.
[o] Ἐλευσῖνι] ἐν ἐλευσῖνι F. k. r. t. v.
[p] φιάλας] φιάλας καὶ τὰ τοιαῦτα k. r.
[q] παριόντας] παρόντας F. v.
[r] Μειδίας om. r.
[s] τούτοις] τούτους P. s.
[t] ὑμῶν] ἡμῶν P. S. Y. O. s.
[u] δεῖ δὴ S. vulg. δὴ δεῖ.
[x] καλὰ Y. O. s. λαμπρὰ P. k. r. vulg. πολλά.
[y] ᾖ] ᾖν Y. s.
[z] μέτεστι post πολλοῖς ponit r.
[a] νὴ Δία] μὴν γρ. F. μὴν διὰ correctus S.
[b] τριήρη] τριήρη ἣν F. P. S. Y. O. s. t. v.
[c] οἶδ'] εἶδ' οἶδ' F. O. k. r. t. v.
[d] θρυλήσει] θρυλλήσει r. t. v.
[e] δὴ] δὲ S.
[f] εἵνεκα] ἕνεκα F. ἕνεκα k. r.

μὴ δῶτε· οὐδενὸς γὰρ πράγματος οὐδ' ἔργου τοῦτο συγχωρητέον. εἰ δὲ δὴ καὶ δειλίας καὶ ἀνανδρίας [g] ἕνεκα δειχθήσεται τοῦτο πεποιηκώς, μὴ [h] παρακρουσθῆτε. πῶς οὖν εἴσεσθε; ἐγὼ καὶ τοῦτο διδάξω, [i] ἄνωθεν δέ· βραχὺς [k] γὰρ ἔσθ' ὁ λόγος, ὃν λέξω, [l] κἂν ἄνωθεν ἄρχεσθαι δοκῇ.

204 ἐγένοντο εἰς Εὔβοιαν ἐπιδόσεις παρ' ὑμῖν πρῶται· τούτων οὐκ ἦν Μειδίας, ἀλλ' ἐγώ, καὶ συντριήραρχος ἦν μοι Φιλῖνος ὁ Νικοστράτου. ἕτεραι δεύτεραι μετὰ ταῦτα εἰς [x] Ὀλυνθον· οὐδὲ τούτων ἦν Μειδίας. καίτοι τόν γε [m] δὴ φιλότιμον [n] πανταχοῦ προσῆκεν ἐξετάζεσθαι. τρίται [o] νῦν αὗται γεγόνασιν ἐπιδόσεις· ἐνταῦθα ἐπέδωκε. πῶς; ἐν τῇ βουλῇ γιγνομένων ἐπιδόσεων [p] παρὼν οὐκ ἐπεδίδου 567

205 τότε· ἐπειδὴ δὲ πολιορκεῖσθαι τοὺς ἐν Ταμύναις στρατιώτας ἐξηγγέλλετο, καὶ πάντας ἐξιέναι τοὺς ὑπολοίπους ἱππέας, ὧν εἷς οὗτος ἦν, προεβούλευσεν ἡ βουλή, τηνικαῦτα φοβηθεὶς τὴν [q] στρατείαν ταύτην εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν, πρὶν καὶ προέδρους καθίζεσθαι, [r] παρελθὼν ἐπέδωκεν. τῷ [s] δῆλον, ὥστε μηδ' ἀντειπεῖν αὐτὸν ἔχειν, ὅτι τὴν [t] στρατείαν φεύγων, οὐ φιλοτιμίᾳ, τοῦτ'

206 ἐποίησεν; τοῖς μετὰ ταῦτα πραχθεῖσιν ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ πρῶτον, ὡς οὐκ ἐδόκει, [u] προϊούσης τῆς ἐκκλησίας καὶ λόγων γιγνομένων, τῆς τῶν ἱππέων βοηθείας ἤδη δεῖν, ἀλλ' ἀναπεπτώκει τὰ τῆς ἐξόδου, οὐκ [x] ἀνεβαινεν ἐπὶ τὴν ναῦν ἣν ἐπέδωκεν, ἀλλὰ τὸν μέτοικον ἐξέ-

[g] ἕνεκα] εἵνεκα v.
[h] παρακρουσθῆτε] παρακρουσητε pr. S.
[i] ἄνωθεν—λέξω om. r. et pr. k.
[k] γὰρ in margine S.
[l] κἂν—δοκῇ om. S. k. r.
[m] δὴ om. k. r.
[n] πανταχοῦ] πανταχῆ k. r.
[o] νῦν] τοίνυν P. Y. s.
[p] παρὼν] παρ' ὃν F.
[q] στρατείαν] στρατιὰν k. r.
[r] παρελθὼν] πρὸ παρελθὼν F.
[s] δῆλον] δήμῳ correctus F.
[t] στρατείαν] στρατιὰν k. r.
[u] προϊούσης] προϊούσης ἤδη k. r.
[x] ἀνέβαινεν] ἐνέβαινεν F. r. t. v.

πεμψε τὸν Αἰγύπτιον, Πάμφιλον, αὐτὸς δὲ μένων ἐνθάδε [y] τοῖς Διονυσίοις διεπράττετο ταῦτ' ἐφ' οἷς νυνὶ κρίνεται·
207 ἐπειδὴ δὲ ὁ στρατηγὸς Φωκίων μετεπέμπετο τοὺς ἐξ Ἀργούρας ἱππέας ἐπὶ τὴν διαδοχὴν καὶ κατείληπτο σοφιζόμενος, τότε ὁ δειλὸς καὶ κατάρατος [z] οὑτοσὶ λιπὼν τὴν τάξιν ταύτην ἐπὶ [a] τὴν ναῦν ᾤχετο, καὶ ὧν ἱππαρχεῖν ἠξίωσε παρ' ὑμῖν ἱππέων, τούτοις οὐ συνεξῆλθεν. εἰ δ' ἐν τῇ θαλάττῃ κίνδυνός τις ἦν, εἰς τὴν γῆν δῆλον ὅτι ᾤχετ'
208 ἄν. οὐ μὴν Νικήρατός γε [b] οὕτως ὁ [c] τοῦ Νικίου, [d] ὁ ἀγαπητός, [e] ὁ ἄπαις, ὁ παντάπασιν ἀσθενὴς τῷ σώματι· οὐδ' Εὐκτήμων ὁ τοῦ Αἰσίωνος, οὐχ οὕτως· οὐδ' Εὐθύδημος ὁ τοῦ Στρατοκλέους· ἀλλ' αὐτῶν ἕκαστος ἑκὼν ἐπιδοὺς τριήρη οὐκ ἀπέδρα [f] ταύτην τὴν [g] στρατείαν, ἀλλὰ τὴν μὲν [h] ἐπίδοσιν ἐν χάριτος μέρει καὶ δωρεᾶς παρεῖχον 568
πλέουσαν τῇ πόλει, οὗ [i] δ' ὁ νόμος προσέταττεν, ἐνταῦθα
209 τοῖς σώμασιν αὐτοὶ λειτουργεῖν ἠξίουν. ἀλλ' οὐχ ὁ ἵππαρχος Μειδίας, ἀλλὰ τὴν ἐκ τῶν νόμων τάξιν λιπών, οὗ δίκην ὀφείλει τῇ πόλει δοῦναι, τοῦτ' ἐν εὐεργεσίας ἀριθμήσει μέρει. καίτοι τὴν τοιαύτην τριηραρχίαν, ὦ πρὸς [k] θεῶν, πότερον [l] τελωνίαν καὶ πεντηκοστὴν καὶ [m] λιποταξίαν καὶ [n] στρατείας ἀπόδρασιν καὶ πάντα τὰ τοιαῦτα ἁρμόττει καλεῖν, ἢ φιλοτιμίαν; οὐδένα γὰρ τρόπον ἄλλον ἐν τοῖς ἱππεῦσιν αὐτὸν ἀτελῆ ποιῆσαι [o] στρατείας δυνά-

[y] τοῖς] ἐν τοῖς P. Y. O. s. t.
[z] οὑτοσὶ] οὗτος F. t.
[a] τὴν ante ναῦν om. s.
[b] οὕτως] οὗτος Y. O. s. οὐχ οὕτως F. k. r. om. t.
[c] τοῦ om. v.
[d] ὁ ante ἀγαπητὸς om. k. r.
[e] ὁ ἄπαις] ἄπαις k. ὁ παῖς F. r.
[f] ταύτην] Malim ταύτῃ.
[g] στρατείαν] στρατιὰν r.
[h] ἐπίδοσιν nescio an rectius abesset: displicet enim ἐπίδοσις πλέουσα.
[i] δ' ὁ] δὲ S.
[k] θεῶν] τῶν θεῶν F. k. r.
[l] τελωνίαν] τελωνείαν F. v. et correctus k.
[m] λιποταξίαν F. P. S. Y. O. k. vulg. λειποταξίαν.
[n] στρατείας] στρατιᾶς k. r.
[o] στρατείας δυνάμενος] δυνάμενος στρατιᾶς k. r.

μενος ταύτην εὕρηκε Μειδίας [p] καινὴν ἱππικῆς τινὰ πεν-
210 τηκοστήν. καὶ γὰρ [q] αὖ τοῦτο. τῶν ἄλλων ἁπάντων τῶν
ἐπιδόντων [r] τριηράρχων παραπεμπόντων ὑμᾶς, ὅτε δεῦρ'
[s] ἀπεπλεῖτε ἐκ [t] Στύρων, μόνος οὗτος οὐ παρέπεμπεν, 15
ἀλλ' ἀμελήσας ὑμῶν χάρακας καὶ βοσκήματα καὶ θυ-
ρώματα ὡς αὑτὸν [u] καὶ ξύλα εἰς τὰ ἔργα [x] τὰ ἀργύρεια
ἐκόμιζε, καὶ χρηματισμός, [y] οὐ λειτουργία γέγονεν ἡ
τριηραρχία τῷ καταπτύστῳ τούτῳ. ἀλλὰ μὴν ὡς ἀληθῆ 20
λέγω, σύνιστε [z] μὲν τὰ πολλὰ τούτων [a] ὑμεῖς, ὅμως δὲ
καὶ μάρτυρας ὑμῖν καλῶ.

211 ΜΑΡΤΥΡΕΣ.

[b] Κλεών Σουνιεύς, Ἀριστοκλῆς Παιανιεύς, Πάμφιλος, Νικήρατος Ἀχερδούσιος, Εὐκτήμων Σφήττιος, καθ' ὃν καιρὸν ἐκ Στύ- 25
ρων ἀπεπλέομεν δεῦρο τῷ στόλῳ παντί, ἐτύχομεν τριηραρχοῦντες
καὶ αὐτοὶ [c] καὶ Μειδίας ὁ νῦν κρινόμενος ὑπὸ Δημοσθένους, ᾧ
212 μαρτυροῦμεν. παντὸς [d] δὲ τοῦ στόλου πλεόντων ἐν τάξει, καὶ τῶν 569
[e] τριηράρχων ἐχόντων παράγγελμα μὴ χωρίζεσθαι ἕως ἂν δεῦρο
καταπλεύσωμεν, [f] Μειδίας ὑπολειφθεὶς τοῦ στόλου, καὶ γεμίσας
τὴν ναῦν ξύλων καὶ χαράκων καὶ βοσκημάτων καὶ ἄλλων τινῶν, 5
κατέπλευσεν εἰς Πειραιᾶ μόνος μεθ' ἡμέρας δύο, καὶ οὐ συγκατέστησε τὸν στόλον μετὰ τῶν ἄλλων τριηράρχων.

213 Εἰ τοίνυν ὡς ἀληθῶς, [g] ὦ ἄνδρες Ἀθηναῖοι, [h] οἷάπερ
[i] φήσει [k] καὶ [l] καταλαζονεύσεται πρὸς ὑμᾶς αὐτίκα δὴ 10

[p] καινὴν ἱππικῆς] κενὴν ἱππικὴν S.
[q] αὖ τοῦτο P. k. r. αὐτοῦ τὸ S. Y. s. vulg. αὖ τότε.
[r] τριηράρχων F. vulg. τριηραρχῶν.
[s] ἀπεπλεῖτε] ἐπεπλεῖτε P. O. s.
[t] Στύρων] σκυθῶν correctus S. et margo Y.
[u] καὶ ξύλα om. r.
[x] τὰ ἀργύρεια] τὰ ἀργύρια k. r. ἀργύρια P. S. Y. O. s.
[y] οὐ] οὐχὶ k. r. t. v.
[z] μὲν τὰ] μετὰ Y. s.
[a] ὑμεῖς om. F. S. Y. O. s. t. v.
[b] Κλέων] λέων t. v.
[c] καὶ post αὐτοὶ om. P. S. O. s.
[d] δὲ] δέκα Y. O. s. δὲ καὶ S.
[e] τριηράρχων] τριηραρχῶν S. Y. s. t. τριηραρχικῶν O.
[f] Μειδίας] Μειδίας δὲ Y. cum Anecd. p. 177, 17.
[g] ὦ om. P.
[h] οἷάπερ Reiskius: libri ἅπερ.
[i] φήσει] φησὶ P. Y. O. k. r. s. et correctus v.
[k] καὶ om. s.
[l] καταλαζονεύσεται] καταλαζονεύεται P. S. Y. O. k. r. s. v.

μάλα, τοιαῦτ' ἦν [m] αὐτῷ τὰ λελειτουργημένα καὶ πεπραγμένα, καὶ μὴ τοιαῦτα οἷα ἐγὼ δεικνύω, οὐδ' οὕτω δήπου τό γε δοῦναι δίκην [n] ὧν ὕβρικεν [o] ἐκφεύγειν ταῖς
214 λειτουργίαις δίκαιος ἂν ἦν. ἐγὼ γὰρ οἶδ' ὅτι πολλοὶ πολλὰ κἀγαθὰ [p] ὑμᾶς εἰσὶν εἰργασμένοι, οὐ κατὰ τὰς Μειδίου λειτουργίας, οἱ μὲν ναυμαχίας νενικηκότες, οἱ δὲ πόλεις εἰληφότες, οἱ δὲ πολλὰ καὶ καλὰ [q] ὑπὲρ τῆς πόλεως στήσαντες τρόπαια· ἀλλ' [r] ὅμως οὐδενὶ [s] πώποτε τούτων [t] ἐδώκατε τὴν δωρεὰν ταύτην οὐδ' ἂν δοίητε, ἐξεῖναι τοὺς ἰδίους ἐχθροὺς ὑβρίζειν αὐτῶν ἑκάστῳ, [u] ὁπότ'
215 ἂν βούληται καὶ ὃν ἂν δύηται τρόπον. οὐδὲ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι· τούτοις γὰρ [x] δὴ μέγισται [y] δέδονται δωρεαὶ παρ' ὑμῶν καὶ ὑπὲρ [z] μεγίστων. οὐδ' ἂν [a] ἠνέσχεσθε, εἰ προσέγραψέ τις ἐν τῇ στήλῃ "ἐξεῖναι [b] δὲ "καὶ ὑβρίζειν αὐτοῖς ὃν ἂν βούλωνται·" ὑπὲρ γὰρ αὐτοῦ τούτου τὰς ἄλλας ἔλαβον δωρεάς, ὅτι τοὺς ὑβριζοντας ἔπαυσαν.

216 Ὅτι τοίνυν [c] καὶ κεκόμισται χάριν ὦ ἄνδρες Ἀθηναῖοι παρ' ὑμῶν, οὐ μόνον ὧν αὐτὸς λελειτούργηκε λειτουργιῶν ἀξίαν (μικρὰ γὰρ αὖτη γέ τις ἦν) ἀλλὰ καὶ τῶν μεγί- 570
στων, καὶ τοῦτο βούλομαι δεῖξαι, ἵνα μηδ' ὀφείλειν οἴησθέ τι τῷ καταπτύστῳ τούτῳ. ὑμεῖς γὰρ ὦ ἄνδρες Ἀθηναῖοι [d] ἐχειροτονήσατε τοῦτον τῆς παράλου ταμίαν, ὄντα

[m] Post αὐτῷ cum S.r. omisi καί.

[n] δν] ὧν ἐμὲ F. t. v.

[o] ἐκφυγεῖν P. Y. O. r. s. et correctus v.

[p] ὑμᾶς εἰσὶν] εἰσὶν ὑμᾶς k. εἰσὶν εἰς ὑμᾶς r.

[q] ὑπὲρ τῆς πόλεως] τῇ πόλει k. r.

[r] ὅμως] ὅμως ὑμεῖς Y. k. r.

[s] πώποτε post τούτων ponunt F. t. v.

[t] ἐδώκατε] δεδώκατε P. S. Y. O. s.

[u] ὁπότ' ἄν] ὅπου ἐὰν S. Y. s. et pr. P.

[x] δὴ om. γρ. S.

[y] δέδονται ante μέγισται ponit γρ. S. post δωρεαὶ k. r. δίδονται s.

[z] μεγίστων] μεγίστων οὐ δίδοται τοῦτο γρ. S.

[a] ἠνέσχεσθε] ἠνέχεσθε s.

[b] δὲ om. t.

[c] καὶ ante κεκόμισται om. S. ante τοῦτο om. k.

[d] ἐχειροτ. τοῦτω] τοῦτον ἐχειροτ. k. r.

τοιοῦτον οἷός ἐστι, καὶ πάλιν ἵππαρχον, ὀχεῖσθαι διὰ τῆς ἀγορᾶς ταῖς πομπαῖς οὐ δυνάμενον, καὶ μυστηρίων ἐπιμελητὴν καὶ ἱεροποιόν [e] ποτε καὶ βοώνην, καὶ τὰ τοιαῦτα [f] δή. εἶτα πρὸς τῶν θεῶν τὸ τὴν τῆς φύσεως κακίαν καὶ ἀνανδρίαν καὶ πονηρίαν ταῖς παρ' ὑμῶν ἀρχαῖς καὶ τιμαῖς καὶ χειροτονίαις ἐπανορθοῦσθαι μικρὰν ὑπολαμβάνετε εἶναι δωρεὰν καὶ χάριν; καὶ μὴν εἴ τις αὐτοῦ ταῦτ' ἀφέλοιτο "ἱππάρχηκα, τῆς παράλου ταμίας γέγονα," τίνος [g] ἄλλου ἔστ' ἄξιος [h] οὗτος; ἀλλὰ μὴν κἀκεῖνό γ' ἐπίστασθε, ὅτι τῆς μὲν παράλου ταμιεύσας Κυζικηνῶν ἥρπασε πλεῖον ἢ πέντε τάλαντα, ὑπὲρ ὧν ἵνα μὴ δῷ δίκην, πάντα τρόπον [i] περιωθῶν καὶ ἐλαύνων τοὺς ἀνθρώπους καὶ τὰ σύμβολα συγχέων τὴν [k] μὲν πόλιν ἐχθρὰν τῇ πόλει πεποίηκε, τὰ χρήματα δ' αὐτὸς ἔχει, ἵππαρχος δὲ χειροτονηθεὶς λελύμανται τὸ ἱππικὸν ὑμῶν, τοιούτους θεὶς νόμους οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τεθεικέναι. καὶ τῆς μὲν παράλου ταμιεύων τότε, ὅτε τὴν ἐπὶ Θηβαίους ἔξοδον εἰς Εὔβοιαν [l] ἐποιεῖσθ' ὑμεῖς, δώδεκα τῆς πόλεως τάλαντα ἀναλίσκειν ταχθείς, ἀξιούντων ὑμῶν πλεῖν καὶ παραπέμπειν τοὺς στρατιώτας οὐκ ἐβοήθησεν, ἀλλ' ἤδη τῶν σπονδῶν γεγονυιῶν, ἃς Διοκλῆς ἐσπείσατο Θηβαίοις, ἦκεν. καὶ τότε ἡττᾶτο [m] πλέων τῶν [n] ἰδιωτικῶν τριήρων μιᾶς· οὕτως εὖ τὴν ἱερὰν τριήρη [o] παρεσκευάκει. [p] ἱππαρχῶν τοίνυν, τί οἴεσθε τἆλλα; ἀλλ' [q] ἵππον οὐκ ἐτόλμησεν ὁ λαμπρὸς καὶ πλούσιος

[e] ποτε] τε r.
[f] δή om. k. r.
[g] ἄλλου ἔστ' ἄξιος] ἐστ' ἄλλου ἄξιος F. t. v. ἄξιός ἐστιν k. r.
[h] οὗτος] οὗτος οὐδενός margo O.
[i] περιωθῶν] περιάγων margo F.
[k] μὲν om. v.
[l] ἐποιεῖσθ'] ἐποιεῖθ' O.
[m] πλέων] πλέον v.
[n] ἰδιωτικῶν] ἰδιωτῶν ἰδιωτικῶν s.
[o] παρεσκευάκει] κατεσκευάκει r.
[p] ἱππαρχῶν] ἱππάρχω Y. O.
[q] Alterum ἵππον om. k. v.

οὗτος [r] πρίασθαι, ἀλλ' ἐπ' ἀλλοτρίου τὰς πομπὰς [s] ἠγείτο, τοῦ [t] Φιλομήλου τοῦ Παιανιέως ἵππου. καὶ [u] ταῦτα [x] πάντες ἴσασιν οἱ [y] ἱππεῖς. [z] Ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων [a] τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

221 Βούλομαι τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὅσων ἤδη καταχειροτονήσαντος τοῦ δήμου περὶ τὴν [b] ἑορτὴν ἀδικεῖν ὑμεῖς κατεγνώκατε, εἰπεῖν, καὶ δεῖξαι τί πεποιηκότες [c] αὐτῶν ἔνιοι τίνος [d] ὀργῆς τετυχήκασι παρ' ὑμῶν,
222 [e] ἵνα ταῦτα πρὸς τὰ τούτῳ πεπραγμένα [f] ἀντιθῆτε. πρῶτον μὲν τοίνυν, ἵνα [g] πρώτης τῆς [h] τελευταίας γεγονυίας μνησθῶ καταγνώσεως, περὶ τὰ μυστήρια ἀδικεῖν Εὐάνδρου κατεχειροτόνησεν ὁ δῆμος τοῦ Θεσπιέως, [i] προβαλομένου αὐτὸν Μενίππου, Καρός τινος ἀνθρώπου. ἔστι δ' ὁ αὐτὸς νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων ὁ περὶ τῶν μυ-
223 στηρίων, κἀκεῖνος ὕστερος τοῦδε ἐτέθη. τί οὖν ποιήσαντος ὦ ἄνδρες Ἀθηναῖοι κατεχειροτονήσατε τοῦ Εὐάνδρου; ταῦτ' ἀκούσατε, ὅτι δίκην ἐμπορικὴν καταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον λαβεῖν αὐτόν, ὡς ἔφη, τοῖς μυστηριοις ἐπιδημοῦντος ἐπελάβετο. κατεχειροτονήσατε μὲν διὰ ταῦτα, καὶ οὐδ' ὁτιοῦν ἄλλο προσῆν, εἰσελ-
224 θόντα δὲ εἰς τὸ δικαστήριον [k] ἠβούλεσθε μὲν θανάτῳ [l] κολάσαι, τοῦ δὲ [m] προβαλομένου πεισθέντος τὴν δίκην [n] τε

[r] πρίασθαι] πρᾶσθαι O. s.
[s] ἠγεῖτο] ἐποιεῖτο γρ. S.
[t] Φιλομήλου] φιλομήδου r.
[u] ταῦτα] ταῦτα ἐξιόντων P. S. Y. O. s.
[x] πάντες] πάντα t. v.
[y] ἱππεῖς] συνειδεῖς k. r.
[z] ἀλλὰ μὴν] καὶ P. S. Y. O. s.
[a] τοὺς om. F. P. S. Y. O.
[b] ἑορτὴν] ἡμέραν t.
[c] αὐτῶν om. k. r.
[d] ὀργῆς] ἀρχῆς O.
[e] ἵνα ταῦτα] ἵν' αὐτὰ F. k. r. t. v.
[f] ἀντιθῆτε] τιθῆτε P. Y. O. s.
[g] πρώτης] πρῶτον k. r.
[h] τελευταίας] τελευτῆς s.
[i] προβαλομένου F. S. vulg. προβαλλομένου.
[k] ἠβούλεσθε S. Y. O. s. ἐβούλεσθε F. P. t. v. vulg. ἐβουλεύσασθε.
[l] κολάσαι] ζημιῶσαι F. t. v.
[m] προβαλομένου] προβαλλομένου O.
[n] τε om. F. O. t. v.

πᾶσαν ἀφεῖναι ἠναγκάσατε αὐτόν, ἣν [o] ἠρήκει πρότερον (ἦν δὲ δυοῖν αὕτη ταλάντοιν), καὶ προσετιμήσατε τὰς βλάβας, ἃς ἐπὶ τῇ καταχειροτονίᾳ μένων ἐλογίζετο αὐ- 572
225 τῷ γεγενῆσθαι πρὸς ὑμᾶς ἄνθρωπος. εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος, οὐδεμιᾶς ὕβρεως προσούσης, ὑπὲρ αὐτοῦ τοῦ παραβῆναι τὸν νόμον τοσαύτην ἔδωκε δίκην. εἰκότως· τοῦτο γὰρ ἐσθ' ὃ φυλάττειν ὑμᾶς δεῖ, [p] τοὺς νόμους, 5
τὸν ὅρκον. ταῦτ' ἔχεθ' ὑμεῖς οἱ δικάζοντες ἀεὶ παρὰ τῶν ἄλλων [q] ὥσπερεὶ παρακαταθήκην, ἣν ἅπασιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς ἔρχονται, [r] σῴαν ὑπάρχειν δεῖ.
226 ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν ὑμῖν περὶ τὰ Διονύσια, καὶ 10
κατεχειροτονήσατ' αὐτοῦ παρεδρεύοντος [s] ἄρχοντι τῷ υἱεῖ, ὅτι θέαν τινὸς [t] καταλαμβάνοντος ἥψατο, ἐξείργων ἐκ τοῦ θεάτρου· ἦν δ' οὗτος ὁ τοῦ βελτίστου πατὴρ Χαρικλείδου, τοῦ ἄρξαντος. καὶ μέγα γ' ὑμῖν τοῦτ' ἐδόκει [u] καὶ
227 δίκαιον [x] ἔχειν ὁ [y] προβαλλόμενος λέγειν, " εἰ κατελάμ- 15
" βανον, [z] ἄνθρωπε, θέαν, εἰ μὴ τοῖς κηρύγμασιν, ὡς σύ
" [a] με φῄς, ἐπειθόμην, τίνος ἐκ τῶν νόμων εἶ κύριος, καὶ
" ὁ ἄρχων αὐτός; τοῖς ὑπηρέταις ἐξείργειν εἰπεῖν, οὐκ
" αὐτὸς τύπτειν. οὐδ' οὕτω πείθομαι; [b] ἐπιβολὴν ἐπι- 20
" βάλλειν, πάντα [c] μᾶλλον πλὴν αὐτὸς ἅψασθαι τῇ
" χειρί· πολλὰ γὰρ [d] πρὸς τὸ μὴ τὸ σῶμα ἕκαστον
" ὑβρίζεσθαι πεποιήκασιν οἱ νόμοι." ταῦτ' ἔλεγε μὲν ἐκεῖνος, [e] κατεχειροτονήσατε δὲ ὑμεῖς· οὐ μὴν εἰσῆλθεν

[o] ἠρήκει] εἰρήκει P. Y. O. r. s.
[p] τοὺς νόμους] πρὸς νόμους s.
[q] ὥσπερεὶ] ὥσπερ pr. F.
[r] σῴαν] σῶν k. r.
[s] ἄρχοντι] ἄρχοντος t.
[t] καταλαμβάνοντος] καταλαβόντος k. r.
[u] καὶ post ἐδόκει om. k. r.
[x] ἔχειν om. r.
[y] προβαλλόμενος P. S. O. r. ceteri προβαλόμενος.
[z] ἄνθρωπε, θέαν om. k. r.
[a] με φῄς] φῄς k. r. μ' ἔφης Y. O. s.
[b] ἐπιβολὴν] ἐπιβολὴν ζημίαν P.
[c] μᾶλλον om. k. r.
[d] πρὸς τὸ] πρὸ τοῦ P. S. Y. O. k. r. s.
[e] κατεχειροτονήσατε] ἐχειροτονήσατε S.

228 εἰς τὸ δικαστήριον οὗτος, ἀλλ' ἐτελεύτησε πρότερον. ἑτέρου τοίνυν ὅ τε δῆμος ἅπας κατεχειροτόνησεν ἀδικεῖν περὶ τὴν ἑορτὴν καὶ ὑμεῖς εἰσελθόντα [f] ἀπεκτείνατε, Κτησικλέα [g] λέγω. διὰ τί δή; [h] ὅτι [i] σκύτος ἔχων ἐπόμπευε, καὶ τούτῳ μεθύων ἐπάταξέ τινα ἐχθρὸν ὑπάρχοντ' αὐτῷ· ἐδόκει [k] γὰρ ὕβρει καὶ οὐκ οἴνῳ τύπτειν, ἀλλὰ τὴν ἐπὶ τῆς 573
πομπῆς καὶ τοῦ μεθύειν πρόφασιν [l] λαβὼν ἀδικεῖν, ὡς
229 δούλοις χρώμενος τοῖς ἐλευθέροις. ἁπάντων τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων, ὧν ὁ μὲν [m] ὧν εἵλεν ἀποστάς, ὁ δὲ καὶ θανάτῳ ζημιωθεὶς φαίνεται, πολλῷ δεινότερ' [n] εὖ 5
οἶδ' ὅτι [o] πάντες ἂν εἶναι [p] φήσειαν τὰ Μειδία πεπραγμένα· οὔτε γὰρ πομπεύων οὔτε δικην ἠρηκὼς οὔτε παρεδρεύων οὔτ' ἄλλην σκῆψιν [q] οὐδεμίαν ἔχων, πλὴν ὕβριν, τοιαῦτα πεποίηκεν οἷα οὐδεὶς ἐκείνων. καὶ τούτους μὲν
230 [r] ἐάσω. ἀλλὰ Πύῤῥην ὦ ἄνδρες Ἀθηναῖοι τὸν Ἑτεοβουτάδην, ἐνδειχθέντα δικάζειν ὀφείλοντα τῷ δημοσίῳ, [s] θανάτῳ ζημιῶσαι [t] τινες ὑμῶν ᾠοντο χρῆναι, καὶ τεθνηκεν ἀλοὺς παρ' ὑμῖν· καίτοι τοῦτο τὸ λῆμμα δι' ἔνδειαν, οὐ δι' ὕβριν λαμβάνειν ἐπεχείρησεν ἐκεῖνος. καὶ πολλοὺς [u] ἂν ἑτέρους ἔχοιμι λέγειν, ὧν οἱ μὲν τεθνᾶσιν, οἱ δ' ἠτιμωμέ- 15
231 νοι διὰ [x] πολλῷ [y] τούτων εἰσὶν ἐλάττω πράγματα. [z] ὑμεῖς δ' ὦ ἄνδρες Ἀθηναῖοι [a] Σμίκρῳ δέκα ταλάντων ἐτιμήσατε

[f] ἀπεκτείνατε] ἀπεκτείνατε τοῦτον P. S. Y. O.
[g] λέγω διὰ τί δὴ om. S.
[h] ὅτι] ἀπεκτείνατε τοῦτον ὅτι k. r. τοῦτον ἀπεκτείνατε ὅτι F. t. v.
[i] σκύτος] σκίτος t.
[k] γὰρ om. r.
[l] λαβὼν] λαμβάνων k. r.
[m] ὧν ante εἵλεν om. F. P. S. Y. O. s. t. v.
[n] εὖ om. t. v.
[o] πάντες] ἅπαντες k. r.
[p] φήσειαν] φήσετε k. r.
[q] οὐδεμίαν ἔχων] ἔχων οὐδεμίαν F. k. r. t. v.
[r] ἐάσω] δὴ ἐῶμεν F. t. v.
[s] θανάτῳ] θάνατον k. r.
[t] τινες] τινας t.
[u] ἂν om. r.
[x] πολλῷ] πολλῶν O. s. t.
[y] τούτων om. s.
[z] ὑμεῖς δὲ] ἀλλ' ὑμεῖς k. r. ἔτι τοίνυν ὑμεῖς γρ. S.
[a] Σμικρῷ] μικρῷ r. σμικροῦ F. S. t. v.

καὶ Σκίτωνι τοσούτων ἑτέρων, δόξαντι παράνομα [b] γράφειν, καὶ οὔτε παιδία οὔτε φίλους οὔτε συγγενεῖς οὔθ' 20
232 [c] ὁντινοῦν ἠλεήσατε τῶν παρόντων ἐκείνοις. μὴ τοίνυν, [d] ἂν μὲν εἴπῃ τις παράνομα, οὕτως ὀργιζόμενοι φαίνεσθε, ἂν [e] δὲ [f] ποιῇ, μὴ λέγῃ, πράως διάκεισθε. οὐδὲν γὰρ ῥῆμα οὐδ' ὄνομα [g] οὕτως [h] ἐστὶ τοῖς πολλοῖς ὑμῶν χαλεπόν, ὡς ὅσα ὑβρίζων τις τὸν [i] ἐντυχόντα ὑμῶν διαπράττεται. 25 μὴ τοίνυν αὐτοὶ καθ' ὑμῶν αὐτῶν δεῖγμα τοιοῦτον [k] ἐξενέγκητε, [l] ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἄρα ὑμεῖς, [m] ἂν μὲν τῶν μετρίων τινὰ καὶ δημοτικῶν λάβητε ὁτιοῦν ἀδικοῦντα, οὔτ' ἐλεήσετε οὔτ' ἀφήσετε, ἀλλ' [n] ἀποκτενεῖτε ἢ ἀτιμώ- 574
σετε, [o] ἂν δὲ πλούσιος ὢν [p] τις ὑβρίζῃ, συγγνώμην ἔξετε. μὴ δῆτα· οὐ γὰρ δίκαιον· ἀλλ' ἐπὶ πάντων [q] ὁμοίως ὀργιζόμενοι φαίνεσθε.

233 [r] Ἃ τοίνυν οὐδενὸς τῶν εἰρημένων ἧττον ἀναγκαῖον εἶναι 5
νομίζω πρὸς ὑμᾶς εἰπεῖν, ταῦτ' εἰπὼν ἔτι καὶ [s] βραχέα περὶ τούτων διαλεχθεὶς καταβήσομαι. [s] ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλη τοῖς ἀδικοῦσιν ἅπασι μερὶς καὶ πλεονεξία ἡ τῶν ὑμετέρων τρόπων πραότης. ὅτι [t] δὴ ταύτης οὐδ' ὁτιοῦν ὑμῖν μεταδοῦναι [u] τούτῳ προσήκει, [x] ταῦτ' 10
234 ἀκούσατέ μου. ἐγὼ νομίζω πάντας ἀνθρώπους ἐράνους

[b] γράφειν] λέγειν margo t.
[c] ὁντινοῦν] ὃν οἷν O. s. ὁντινοῦν ἄλλον F. t. ἄλλον οὐδένα k. r.
[d] ἂν—ἂν] ἐὰν—ἐὰν P. O. s.
[e] δὲ] δ' ἃ Y. O. t. v.
[f] ποιῇ] ποιεῖ t. v. et pr. k.
[g] οὕτως om. k.
[h] ἐστὶ post πολλοῖς r. et rec. k. pr. enim om.
[i] ἐντυχόντα] ἐντυγχάνοντα k.
[k] ἐξενέγκητε] ἐξενέγκοιτε s.
[l] ὦ om. P. O. k. s.
[m] ἂν μὲν] ἐὰν μὲν k. r.
[n] ἀποκτενεῖτε] ἀποκτείνετε P. S. Y. O. s.
[o] ἂν] ἐὰν P. O. k. r. s.
[p] τις om. k. r.
[q] ὁμοίως om. k. r.
[r] βραχέα om. F. post τούτων ponunt k. r.
[s] ἔστιν] εἰπὼν v.
[t] δὴ] δὴ F. δὲ k. r.
[u] τούτῳ προσήκει] μειδία προσήκει k. r. προσήκει μειδία F. t. v.
[x] ταῦτ' P. S. Y. O. vulg. τοῦτ'.

[y] φέρειν παρὰ [z] τὸν βίον αὐτοῖς, οὐχὶ [a] τούσδε μόνους, οὓς συλλέγουσί τινες καὶ ὧν πληρωταὶ γίγνονται, ἀλλὰ καὶ ἄλλους. οἷον ἔστι [b] τις μέτριος καὶ φιλάνθρωπος [c] ἡμῶν καὶ πολλοὺς ἐλεῶν· τούτῳ ταὐτὸ [d] δίκαιον [e] ὑπάρχειν παρὰ πάντων, ἂν ποτ' εἰς χρείαν καὶ ἀγῶνα ἀφίκηται. ἄλλος αὖτοσί τις ἀναιδὴς καὶ πολλοὺς ὑβρίζων, καὶ τοὺς μὲν [f] πτωχοὺς τοὺς δὲ καθάρματα τοὺς δ' οὐδὲν [g] ὑπολαμβάνων [h] εἶναι· τούτῳ τὰς αὐτὰς [i] δίκαιον ὑπάρχειν φοράς, [k] ἅσπερ αὐτὸς εἰσενήνοχε τοῖς ἄλλοις. ἂν τοίνυν ὑμῖν [l] ὀρθῶς ἐπὶῃ σκοπεῖν, τούτου πληρωτὴν εὑρήσετε Μειδίαν ὄντα τοῦ ἐράνου, [m] καὶ οὐκ ἐκείνου.

Οἶδα τοίνυν [n] ὅτι τὰ παιδία ἔχων ὀδυρεῖται, καὶ πολλοὺς λόγους καὶ ταπεινοὺς ἐρεῖ, δακρύων καὶ ὡς ἐλεεινότατον ποιῶν ἑαυτόν. ἔστι δ', ὅσῳ περ [o] ἂν αὐτὸν νῦν [p] ταπεινότερον ποιῇ, τοσούτῳ μᾶλλον ἀξιον μισεῖν αὐτόν, ὦ ἄνδρες Ἀθηναῖοι. [q] διὰ τί; ὅτι εἰ μὲν μηδαμῶς δυνηθεὶς ταπεινὸς γενέσθαι [r] οὕτως ἀσελγὴς καὶ βίαιος ἦν ἐπὶ τοῦ παρεληλυθότος βίου, τῇ φύσει καὶ τῇ τύχῃ, δι' ἣν τοιοῦτος ἐγένετο, ἄξιον ἦν ἂν τι τῆς ὀργῆς ἀνεῖναι. εἰ δ' ἐπιστάμενος μέτριον [s] παρέχειν ἑαυτὸν [t] ὅταν βούληται, [u] τὸν ἐναντίον ἢ τοῦτον τὸν τρόπον εἵλετο ζῆν, εὔδηλον δή-

[y] φέρειν] εἰσφέρειν k. r.
[z] τὸν] πάντα τὸν k. r.
[a] τούσδε μόνους] τοὺς λεγομένους Y. O. s.
[b] τις post φιλάνθρωπος ponunt P. S. Y. O. s.
[c] ἡμῶν] ἐμῶν k. r.
[d] δίκαιον] δίκαιον εἶναι margo F.
[e] ὑπάρχειν] ὑπάρχειν εἶναι k. r.
[f] πτωχοὺς—καθάρματα] καθάρματα—πτωχούς k. r.
[g] ὑπολαμβάνων] ἀντιλαμβάνων O.
[h] εἶναι om. F. k. r.
[i] δίκαιον ὑπάρχειν φοράς] δίκαιόν ἐστι φορὰς ὑπάρχειν k. r.
[k] ἅσπερ] ἅπερ r.
[l] ὀρθῶς om. pr. S. post σκοπεῖν ponit rec. S.
[m] καὶ ante οὐκ dederunt P. S. O. s.
[n] ὅτι] ὅτι καὶ F. k. r. t. v.
[o] ἂν om. P. Y. O. s.
[p] ταπεινότερον] ταπεινότατον k.
[q] διὰ τί om. pr. t.
[r] οὕτως] οὕτος k.
[s] παρέχειν] ἔχειν O.
[t] ὅταν βούληται om. k. r.
[u] τὸν ἐναντίον] τοὐναντίον k. r.

που τοῦθ', ὅτι καὶ ὧν [x] ἂν διακρούσηται, πάλιν [y] αὐτὸς
238 ἐκεῖνος ὃν ὑμεῖς ἴστε γενήσεται. οὐ [z] δεῖ δὴ προσέχειν,
οὐδὲ τὸν παρόντα καιρόν, ὃν οὗτος ἐξεπίτηδες [a] πλάττε-
ται, κυριώτερον [b] οὐδὲ πιστότερον τοῦ παντός, ὃν αὐτοὶ
σύνιστε, χρόνου ποιήσασθαι. ἐμοὶ παιδία οὐκ ἔστιν, οὐδ' 10
ἂν ἔχοιμι ταῦτα παραστησάμενος κλαίειν καὶ δακρύειν
ἐφ' οἷς ὑβρίσθην. διὰ [c] τοῦτ' ἄρα τοῦ πεποιηκότος ὁ πε-
239 πονθὼς ἔλαττον ἔξω παρ' ὑμῖν; μὴ δῆτα· ἀλλ' ὅταν
[d] οὗτος ἔχων τὰ παιδία τούτοις ἀξιοῖ δοῦναι τὴν ψῆφον 15
ὑμᾶς, τόθ' ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε
παρεστάναι καὶ τὸν ὅρκον ὃν ὠμώμοκατε, τούτοις ἀξιοῦντα
καὶ ἀντιβολοῦντα ἕκαστον ὑμῶν ψηφίσασθαι. οἷς ὑμεῖς
κατὰ πολλὰ δικαιότερον [e] προσθεῖσθ' ἂν ἢ τούτῳ· καὶ
γὰρ ὠμωμόκατε ὦ ἄνδρες Ἀθηναῖοι τοῖς νόμοις πείθεσθαι, 20
καὶ τῶν ἴσων μέτεστιν ὑμῖν διὰ τοὺς νόμους, καὶ πάνθ'
ὅσα ἐστὶν ἀγαθὰ ὑμῖν διὰ τοὺς νόμους ἐστίν, οὐ διὰ Μει-
δίαν οὐδὲ διὰ τοὺς Μειδίου παῖδας.

240 Καὶ ῥήτωρ ἐστὶν οὗτος, ἴσως ἐμὲ φήσει λέγων. ἐγὼ
δ', εἰ μὲν ὁ συμβουλεύων ὅ τι ἂν συμφέρειν ὑμῖν [f] ἡγῆ- 25
ται, καὶ τοῦτ' ἄχρι τοῦ μηδὲν ὑμῖν ἐνοχλεῖν, μηδὲ βιά-
ζεσθαι, ῥήτωρ ἐστίν, οὔτε φύγοιμ' ἂν οὔτ' ἀπαρνοῦμαι
[g] τοῦτο τοὔνομα· εἰ μέντοι ῥήτωρ ἐστὶν οἵους ἐνίους τῶν
241 λεγόντων ἐγὼ καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀναιδεῖς καὶ ἐξ ὑμῶν 576
πεπλουτηκότας, οὐκ ἂν εἴην οὗτος ἐγώ· εἴληφα μὲν γὰρ
οὐδ' ὁτιοῦν [h] παρ' ὑμῶν, τὰ δὲ ὄντα εἰς ὑμᾶς πλὴν πάνυ

[x] ἂν] ἐὰν k. r. om. pr. t. qui et διακρούσεται.
[y] αὐτὸς] ὁ αὐτὸς k. r.
[z] δεῖ δὴ] δὴ δεῖ F. k. r. t. v.
[a] πλάττεται] διαπλάττεται F.
[b] οὐδὲ πιστότερον om. k. r.
[c] τοῦτ'] ταῦτ' k. r.
[d] οὗτος] οὕτως t. v.
[e] προσθεῖσθ' v. πρόσθεισθ' t. vulg. πρόσθοισθ'.
[f] ἡγῆται] ἡγῶμαι k. r. et γρ. F. ...
[g] τοῦτο] του F. om. t. v.
[h] παρ'] ἐξ t.

[i]μικρῶν ἅπαντ' [k]ἀνήλωκα. καίτοι [l]καὶ εἰ τούτων ἦν πονηρότατος, κατὰ τοὺς νόμους ἔδει παρ' ἐμοῦ δίκην λαμ-
242 βάνειν, οὐχ ἑφ' οἷς ἐλειτούργουν ὑβρίζειν. ἔτι τοίνυν οὐδείς ἐστιν ὅστις ἐμοὶ τῶν λεγόντων συναγωνίζεται. καὶ οὐδενὶ μέμφομαι· [m]οὐδὲ γὰρ αὐτὸς οὐδενὸς ἕνεκα τούτων [n]οὐδὲν ἐν ὑμῖν πώποτ' εἶπον, ἀλλ' [o]ἁπλῶς κατ' ἐμαυτὸν ἔγνων καὶ λέγειν καὶ πράττειν ὅ τι [p]ἂν συμφέρον ὑμῖν [q]ἡγῶμαι. ἀλλὰ τούτῳ πάντας αὐτίκα δὴ μάλα [r]συνεξεταζομένους τοὺς ῥήτορας ὄψεσθ' ἐφεξῆς. καίτοι πῶς ἐστὶ δίκαιον τοὔνομα μὲν τοῦτο [s]ὡς ὄνειδος προφέρειν [t]ἐμοί, διὰ [u]τούτων δ' [x]αὐτὸν τῶν ἀνδρῶν ἀξιοῦν σωθῆναι;
243 Τάχα τοίνυν ἴσως καὶ [y]τὰ τοιαῦτ' ἐρεῖ, ὡς ἐσκεμμένα καὶ παρεσκευασμένα πάντα λέγω νῦν. ἐγὼ δ' ἐσκέφθαι μὲν ὦ ἄνδρες Ἀθηναῖοι φημὶ καὶ οὐκ [z]ἂν ἀρνηθείην, καὶ μεμελετηκέναι γ' ὡς ἐνὴν μάλιστα ἐμοί· καὶ γὰρ ἂν ἀθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἤμελλον πρὸς ὑμᾶς· [a]γεγραφέναι μέν-
244 τοι μοι τὸν λόγον Μειδίαν· ὁ γὰρ τὰ ἔργα παρεσχηκώς, περὶ ὧν εἰσὶν οἱ λόγοι, δικαιότατ' ἂν ταύτην ἔχοι τὴν αἰτίαν, οὐχ ὁ ἐσκεμμένος οὐδ' ὁ μεριμνήσας [b]τὰ δίκαια λέγειν νῦν. ἐγὼ μὲν οὖν τοῦτο [c]ποιῶ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὐτὸς ὁμολογῶ· Μειδίαν μέντοι μηδὲν ἐσκέφθαι

[i] μικρῶν] μικρὰν r.
[k] ἀνήλωκα] ἀνηλωκέτα t.
[l] καὶ om. O. post εἰ ponunt F. k. r.
[m] οὐδὲ] οὔτε k. r.
[n] οὐδὲν ἐν ὑμῖν] οὐδὲν ὑμῶν pr. S. οὐδενὶ ὑμῶν P. ἐν οὐδενὶ ὑμῶν Y. O. s. et γρ. F.
[o] ἁπλῶς] ὅπως P. S. Y. O. s.
[p] ἂν συμφέρον] συμφέρειν r. et pr. k. συμφέρειν ἂν rec. k.
[q] ἡγῶμαι] ἡγοῦμαι t.
[r] συνεξεταζομένους] ἐξεταζομένους k. r.
[s] ὡς] εἰς k. s.
[t] ἐμοὶ om. k.
[u] τούτων] τοῦτον pr. r.
[x] αὐτὸν] αὐτῶν pr. k. r.
[y] τὰ om. P. Y.
[z] ἂν ἀρνηθείην] ἀπαρνηθείην P. S. Y. O. s.
[a] γεγραφέναι] γεγράφθαι O.
[b] τὰ ante δίκαια om. O.
[c] ποιῶ] ποιῶν t. om. pr. Y.

[d] πώποτ' ἐν [e] παντὶ τῷ βίῳ δίκαιον εἰκός ἐστιν· εἰ γὰρ καὶ κατὰ μικρὸν [f] ἐπῄει τὰ τοιαῦτ' αὐτῷ σκοπεῖν, οὐκ ἂν [g] τοσοῦτον διημάρτανε τοῦ πράγματος.

245 Οἶμαι τοίνυν αὐτὸν οὐδὲ τοῦ δήμου κατηγορεῖν ὀκνῆσειν 577
οὐδὲ τῆς ἐκκλησίας, ἀλλ' ἅπερ τότ' ἐτόλμα λέγειν ὅτ'
ἦν ἡ προβολή, ταῦτα καὶ νῦν [h] ἐρεῖν, ὡς ὅσοι δέον ἐξιέναι
κατέμενον καὶ ὅσοι τὰ φρούρια ἦσαν [i] ἔρημα λελοιπότες,
[k] ἐξεκλησίασαν, καὶ χορευταὶ καὶ ξένοι καὶ τοιοῦτοί τινες 5
246 ἦσαν οἳ κατεχειροτόνησαν αὐτοῦ. εἰς γὰρ τοῦτο θράσους
καὶ ἀναιδείας τότ' [l] ἀφίκετο, ὦ ἄνδρες δικασταί, ὡς ἴσα-
σιν ὅσοι παρῆσαν ὑμῶν, ὥστε κακῶς λέγων καὶ ἀπειλῶν
καὶ [m] βλέπων εἰς τὸν ἀεὶ θορυβοῦντα τόπον τῆς ἐκκλησίας 10
καταπλήξειν ᾤετο τὸν δῆμον ἅπαντα. ἦ καὶ γελοῖα εἶ-
ναι τὰ νῦν, [n] οἶμαι, δάκρυα εἰκότως ἂν αὐτοῦ δοκοίη. τί
247 λέγεις, ὦ μιαρὰ κεφαλή; σὺ τὰ σαυτοῦ παιδία ἀξιώ-
σεις ἐλεεῖν ἢ σὲ τούσδε, ἢ σπουδάζειν εἰς τὰ σά, τοὺς
ὑπὸ σοῦ δημοσίᾳ προπεπηλακισμένους; σὺ μόνος τῶν 15
ὄντων ἀνθρώπων ἐπὶ μὲν τοῦ βίου τοσαύτης ὑπερηφανίας
[o] καὶ ὑπεροψίας [p] πλήρης ὢν πάντων ἀνθρώπων ἔσῃ φα-
νερώτατος, ὥστε καὶ πρὸς οὓς μηδέν ἐστί σοι πρᾶγμα,
λυπεῖσθαι τὴν σὴν θρασύτητα καὶ φωνὴν καὶ τὸ [q] σὸν 20
σχῆμα καὶ τοὺς σοὺς ἀκολούθους καὶ πλοῦτον καὶ ὕβριν
θεωροῦντας, ἐν δὲ τῷ [r] κρίνεσθαι παραχρῆμα ἐλεηθήσῃ;

[d] πώποτ'] ποτ' P. S. Y. O. s.
[e] παντὶ] ἅπαντι F. t. v.
[f] ἐπῄει] ἐπίη r. et correctus k. ἐπῆν F. t. v.
[g] τοσοῦτον διημάρτανε] τοσοῦτο διήμαρτε k. r.
[h] ἐρεῖν k. r. ceteri ἐρεῖ.
[i] ἔρημα om. k. r.
[k] ἐξεκλησίασαν] ἐξεκκλησίασαν P. Y. O. t. v. ἐξεκκλησίασαν F. ἐκκλησιάζον r. et pr. k.
[l] ἀφίκετο] ἀφίκτο k. ἀφῖκτο r.
[m] βλέπων] βλέπων οὗτος F. Y. k. r. t. v.
[n] οἶμαι om. k. r.
[o] καὶ ὑπεροψίας om. S. καὶ τοσαύτης ὑπεροψίας P. Y. O. s.
[p] πλήρης ὢν πάντων ἀνθρ.] μεστὸς ὢν πάντων ἀνθρ. k. r. πάντων ἀνθρ. μεστὸς ὢν F. t. v.
[q] σὸν om. P. S. Y. O. s.
[r] κρίνεσθαι] κρίνεσθαί σε r.

248 μεγάλην μέντ' ἂν ἀρχὴν, μᾶλλον δὲ τέχνην εἴης ἂν εὑρηκώς, εἰ δύο τἀναντιώτατα ἑαυτοῖς [a] ἐν [t] οὕτω βραχεῖ χρόνῳ περὶ σαυτὸν δύναιο [u] ποιεῖσθαι, φθόνον [x] ἐξ ὧν ζῇς, καὶ ἐφ' οἷς ἐξαπατᾷς ἔλεον. οὐκ ἔστιν οὐδαμόθεν σοι προσήκων ἔλεος οὐδὲ καθ' ἕν, ἀλλὰ τοὐναντίον μῖσος καὶ
249 φθόνος καὶ ὀργή· τούτων [y] γὰρ ἄξια ποιεῖς. ἀλλ' ἐπ' ἐκεῖνο ἐπάνειμι, ὅτι τῷ δήμου κατηγορήσει καὶ τῆς ἐκ- 578
κλησίας. ὅταν οὖν τοῦτο ποιῇ, ἐνθυμεῖσθε παρ' ὑμῖν αὐτοῖς, ἄνδρες δικασταί, ὅτι οὗτος τῶν μεθ' ἑαυτοῦ στρατευσαμένων ἱππέων, ὅτε εἰς [z] Ὄλυνθον διέβησαν, ἐλθὼν πρὸς ὑμᾶς εἰς τὴν ἐκκλησίαν κατηγόρει. [z] πάλιν νῦν μεινας πρὸς τοὺς ἐξεληλυθότας τοῦ δήμου κατηγορήσει.
250 πότερον οὖν ὑμεῖς, [a] ἄν τε μένητε ἄν τε ἐξίητε, ὁμολογήσετε εἶναι τοιούτοι οἵους Μειδίας ὑμᾶς ἀποφαίνει, ἢ τοὐναντίον τοῦτον [b] ἀεὶ πανταχοῦ θεοῖς ἐχθρὸν καὶ βδελυρόν; ἐγὼ μὲν οἶμαι τοῦτον τοιοῦτον· οὐ [c] γὰρ οὐχ ἱππεῖς, οὐ συναρχοντες, οὐ φίλοι δύνανται φέρειν, τί τοῦτον [d] εἴπῃ
251 τις; ἐμοὶ [e] μὲν νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Ἀθηνᾶν (εἰρήσεται γάρ, εἴτ' ἄμεινον εἴτε μή), ὃν οὗτος, ὡς ἀπηλλαγμαι, [f] περιὼν ἐλογοποίει, ἔνδηλοι τινες ἦσαν ἀχθομενοι τῶν πάνυ [g] τούτῳ λαλούντων ἡδέως. καὶ νὴ Δία αὐτοῖς πολλὴ συγγνώμη· οὐ γάρ ἐστι φορητὸς ἄνθρωπος, ἀλλὰ καὶ πλουτεῖ μόνος [h] καὶ λέγειν δύναται μόνος, καὶ πάντες εἰσὶ τούτῳ καθάρματα καὶ πτωχοὶ καὶ οὐδὲ ἄν-
252 θρωποι. [i] τὸν οὖν ἐπὶ ταύτης τῆς ὑπερηφανίας ὄντα, νῦν

[a] ἂν om. P. Y. O. s.
[t] οὕτω] τῷ k. r.
[u] ποιεῖσθαι] ποιήσασθαι F. t. v.
[x] ἐξ ὧν] ἐφ' οἷς k. r.
[y] γὰρ om. t.
[z] πάλιν νῦν] νῦν πάλιν F. k. r. t. v.
[a] ἄν—ἄν] ἐὰν—ἐὰν P. O. s.
[b] ἀεὶ] ἀει και F, v.
[c] γὰρ om. t.
[d] εἴπῃ] εἶποι r. ἂν εἶποι F. t. v.
[e] μὲν om. F. r.
[f] περιὼν] περιων r. περὶ ἂν Y. O. k. s.
[g] τούτῳ] τούτων Y. O. s. t. v.
[h] καὶ λέγ. δυν. μόνος om. P.
[i] τὸν οὖν] τουτοιν τοίνυν τὸν γρ. S.

[i] ἂν ἀποφύγῃ, τί ποιήσειν οἴεσθε; ἐξ ὅτου δὲ [k] τοῦτ' ἂν εἰδείητε, ἐγὼ φράσω· εἰ τοῖς μετὰ τὴν [l] καταχειροτονίαν [m] τεκμηρίοις [n] θεωρήσαιτε. τίς γάρ ἐστιν ὅστις [o] καταχειροτονηθὲν αὐτοῦ, καὶ ταῦτ' ἀσεβεῖν περὶ τὴν ἑορτήν, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν [p] ἀγὼν ἔτι μηδὲ κίνδυνος, οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ καὶ μέτριον παρέσχεν ἑαυτὸν τόν γε δὴ μέχρι τῆς κρίσεως χρόνον, εἰ καὶ μὴ πάντα; οὐδεὶς
253 ὅστις οὐκ ἄν. ἀλλ' οὐ Μειδίας, ἀλλ' ἀπὸ [q] τῆς ἡμέρας ταύτης λέγει, λοιδορεῖται, βοᾷ. χειροτονεῖται τίς; Μει- 579
δίας Ἀναγυράσιος [r] προβέβληται. Πλουτάρχου προξενεῖ, τὰ ἀπόῤῥητα οἶδεν, ἡ πόλις αὐτὸν οὐ χωρεῖ. καὶ ταῦτα πάντα ποιεῖ δῆλον ὅτι οὐδὲν ἄλλο ἐνδεικνύμενος ἢ ὅτι
" ἐγὼ [s] πέπονθα οὐδὲν ὑπὸ τῆς καταχειροτονίας, [t] οὐδὲ
254 " δέδοικα, οὐδὲ φοβοῦμαι τὸν μέλλοντα ἀγῶνα." ὃς οὖν ὦ ἄνδρες Ἀθηναῖοι τὸ μὲν ὑμᾶς δεδιέναι δοκεῖν αἰσχρὸν ἡγεῖται, τὸ δὲ μηδὲν φροντίζειν ὑμῶν νεανικόν, τοῦτον οὐκ ἀπολωλέναι δεκάκις [u] προσήκει; οὐδὲ γὰρ ἔξειν ὑμᾶς,
ὅ τι [x] χρήσεσθε αὐτῷ, νομίζει. πλούσιος, θρασύς, μέγα φρονῶν, μέγα φθεγγόμενος, βίαιος, ἀναιδής. ποῦ ληφθήσεται, [y] νῦν ἂν διακρούσηται;
255 Ἀλλ' ἔγωγε, εἰ μηδενὸς ἕνεκα τῶν ἄλλων, τῶν γε

[i] ἂν] ἐὰν k. r.

[k] τοῦτ'] ταῦτ' P. k. r.

[l] καταχειροτονίαν] χειροτονίαν S.

[m] τεκμηρίοις om. pr. k.

[n] θεωρήσαιτε] θεωρήσητε O. θεωρήσετε ceteri.

[o] καταχειροτονηθὲν] καταχειροτονηθέντος F. P. Y. O. s. t. v.

[p] ἀγὼν ἔτι μηδὲ κίνδυνος] ἀγαγὼν ἔτι μηδὲ κίνδυνος O. κίνδυνος μηδὲ ἀγὼν F. k. r. t. v.

[q] τῆς ἡμέρας ταύτης] ταύτης τῆς ἡμέρας F. k. r. t. v.

[r] Post προβέβληται interpungunt plerique omnes cum Anecd. p. 163, 21.

[s] πέπονθα οὐδὲν P. S. Y. s. vulg. οὐδὲν πέπονθα.

[t] οὐδὲ δέδοικα] οὐ δέδοικα k. r. et pr. Y.

[u] προσήκει] προσήκει ἐγὼ μὲν ἡγοῦμαι k. r.

[x] χρήσεσθε] χρήσεσθαι F.t. χρήσεσθαι v.

[y] νῦν ἂν] νῦν ἐὰν P. O. k. r. s.

δημηγοριῶν ὧν ἑκάστοτε [z] δημηγορεῖ, καὶ ἐν οἷς καιροῖς, τὴν μεγίστην ἂν αὐτὸν [a] δικαίως οἶμαι δίκην [b] δοῦναι. ἴστε γὰρ δήπου [c] ταῦθ', ὅτι [d] ἂν μέν τι τῶν δεόντων [e] ἀπαγγελθῇ τῇ πόλει καὶ τοιοῦτον οἷον εὐφρᾶναι πάντας, οὐδαμοῦ πώποτε Μειδίας τῶν συνηδομένων [f] οὐδὲ τῶν
256 συγχαιρόντων ἐξητάσθη τῷ δήμῳ, [g] ἂν δέ τι [h] φλαῦρον, ὃ μηδεὶς ἂν βούλοιτο τῶν ἄλλων, [i] πρῶτος [k] ἀνέστηκεν εὐθέως καὶ δημηγορεῖ, ἐπεμβαίνων τῷ καιρῷ καὶ τῆς σιωπῆς ἀπολαύων, ἣν ἐπὶ τῷ περὶ τῶν συμβεβηκότων ἄχθεσθαι ποιεῖσθε ὑμεῖς· " τοιοῦτοι γάρ ἐστε, ὦ ἄνδρες Ἀ- " θηναῖοι· [l] οὐδὲ γὰρ ἐξέρχεσθε, οὐδ' οἴεσθε δεῖν χρήμα- " τα εἰσφέρειν. εἶτα θαυμάζετ' εἰ κακῶς [m] τὰ πράγ- " ματ' ὑμῖν ἔχει; [n] ἐμὲ οἴεσθ' ὑμῖν εἰσοίσειν, ὑμεῖς δὲ " [o] νεμεῖσθαι; ἐμὲ οἴεσθε [p] τριηραρχήσειν, ὑμεῖς δ' οὐκ
257 " ἐμβήσεσθαι;" τοιαῦθ' ὑβριζων καὶ τὴν ἀπὸ τῆς ψυχῆς 580 πικρίαν καὶ κακόνοιαν, ἣν κατὰ τῶν πολλῶν ὑμῶν ἔχων ἀφανῆ παρ' ἑαυτῷ περιέρχεται, φανερὰν ἐπὶ τοῦ καιροῦ καθιστάς. δεῖ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ὑμᾶς οὕτω νῶν, [q] ὅταν ἐξαπατῶν καὶ φενακίζων ὀδύρηται καὶ κλαίῃ
258 καὶ δέηται, [r] ταῦθ' ὑποβάλλειν αὐτῷ· " τοιοῦτος γὰρ εἶ, " Μειδία· ὑβριστὴς γὰρ εἶ, [s] οὐκ ἐθέλεις ἔχειν παρὰ " σαυτῷ τὸν χεῖρε. εἶτα θαυμάζεις εἰ [t] κακὸς κακῶς

[z] δημηγορεῖ] ἠδημηγόρει F. k. r. t. v. et correctus O.
[a] δικαίως οἶμαι] οἶμαι δικαίως k. r.
[b] δοῦναι] διδόναι r.
[c] ταῦθ'] ταῦτ' k.
[d] ἂν] ἐὰν P. O. s.
[e] ἀπαγγελθῇ] ἀγγελθῇ k. r.
[f] οὐδὲ τῶν συγχαιρόντων] ἢ τῶν συνειφερομένων k. r.
[g] ἂν] ἐὰν k. r.
[h] φλαῦρον ὃ μηδεὶς] λυπηρὸν ἢ φλαῦρον οὗ μηδεὶς γ' k. r.
[i] πρῶτος] πρῶτον r.
[k] ἀνέστηκεν] ἀνέστησεν F. t.
[l] οὐδὲ γὰρ—οὐδ'] οὐ γὰρ—οὐ γὰρ F. k. r. t. v.
[m] τὰ πράγματ' ὑμῖν] ὑμῖν τὰ πράγματ' F. v. ὑμῖν τὰ χρήματ' t.
[n] ἐμὲ] ἐμὲ δὲ F. S. k. r.
[o] νεμεῖσθαι—ἐμβήσεσθαι] νεμεῖσθε—ἐμβήσεσθε mei omnes.
[p] τριηραρχήσειν] τριηραρχεῖν k.
[q] ὅταν] ἔταν αὖτος F. t. v.
[r] ταῦθ'] ταῦτ' P. S. Y. τοιαῦθ' k. r.
[s] οὐκ] καὶ οὐκ F. k. r. t. v.
[t] κακὸς] κακῶς s. om. Y.

" [u] ἀπολεῖ; ἀλλὰ νομίζεις ἡμᾶς [x] μὲν ἀνέξεσθαί [y] σου,
" αὐτὸς δὲ τυπτήσειν; καὶ ἡμᾶς μὲν ἀποψηφιεῖσθαί
" σου, [z] σὺ δὲ [a] οὐ παύσεσθαι;

259 Καὶ [b] βοηθοῦσιν οἱ λέγοντες ὑπὲρ αὐτοῦ οὐχ οὕτω τούτῳ [c] χαρίσασθαι μὰ τοὺς θεοὺς βουλόμενοι, ὡς ἐπηρεάζειν ἐμοὶ διὰ τὴν ἰδίαν ἔχθραν, [d] ἣν οὗτος [e] αὐτῷ πρὸς ἐμέ, [f] ἄν τ' ἐγὼ φῶ ἄν τε μὴ φῶ, φησὶν εἶναι, καὶ
[g] βιάζεται οὐκ ὀρθῶς. ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχεῖν
260 ἐνίοτε ἐπαχθεῖς ποιεῖν· ὅπου γὰρ ἐγὼ μὲν [h] οὐδὲ πεπονθὼς κακῶς ἐχθρὸν εἶναί μοι τοῦτον ὁμολογῶ, οὗτος δὲ οὐδ' ἀφιέντα [i] ἀφίησιν, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγῶσιν ἀπαντᾷ καὶ νῦν ἀναβήσεται μηδὲ τῆς κοινῆς τῶν νόμων ἐπικουρίας ἀξιῶν ἐμοὶ μετεῖναι, πῶς οὐχ οὗτος
261 ἐπαχθής ἐστιν ἤδη καὶ [k] μείζων ἢ καθ' ὅσον ἡμῶν ἐκάστῳ συμφέρει; ἔτι τοίνυν παρῆν [l] ὦ ἄνδρες Ἀθηναῖοι καὶ [m] καθῆτο Εὔβουλος ἐν τῷ θεάτρῳ, ὅτε ὁ δῆμος κατεχειροτόνησε Μειδίου, καὶ καλούμενος ὀνομαστὶ [n] ἀντιβολοῦντος τούτου καὶ λιπαροῦντος, ὡς ὑμεῖς ἴστε, οὐκ ἀνέστη. καὶ μὴν εἰ μὲν μηδὲν ἠδικηκότος ἠγεῖτο τὴν [o] προβολὴν γεγενῆσθαι, τότ' ἔδει τόν γε φίλον [p] δήπου συνεισπεῖν καὶ
262 βοηθῆσαι· εἰ δὲ καταγνοὺς ἀδικεῖν τότε διὰ [q] ταῦτ' οὐχ 581

[u] ἀπολεῖ S. v. ἀπολεῖ F. vulg. ἀπολῇ.
[x] μὲν om. Anecd. p. 122, 27.
[y] σου om. F. k. r.
[z] σὺ] σὺ δὲ F. P. S. Y. s. t.
[a] οὐ] οὐδὲ k. r.
[b] βοηθοῦσιν S. vulg. βοηθήσουσιν.
[c] χαρίσασθαι P. S. O. s. et γρ. F. ceteri χαρίζεσθαι.
[d] ἣν οὗτος] ἵν' οὗτος s.
[e] αὐτῷ] ἰοῦβουλος αὐτοι S.
[f] ἄν—ἄν] ἐάν—ἐάν k. r.
[g] βιάζεται] βιάζεται τοῦτο F. t. v.
[h] οὐδὲ] οὐ t. v. ὁ P. Y. O. s.
[i] ἀφίησιν] ἀνίησιν S. ἀνίησιν P. Y. O. s.
[k] μείζων] μεῖζον P. S. Y. O. k. r. s.
[l] ὦ om. t. v.
[m] καθῆτο F. vulg. ἐκάθητό.
[n] ἀντιβ.] καὶ ἀντιβ. P. S. Y. O. s.
[o] προβολὴν] παραβολὴν O.
[p] δήπου ante φίλον ponit k. om. r.
[q] ταῦτ'] τοῦτ' k. r.

ὑπήκουσε, ἵν' [r] δ', ὅτι προσκέκρουκεν ἐμοί, διὰ [s] ταῦτα τοῦτον ἐξαιτήσεται, ὑμῖν οὐχὶ καλῶς ἔχει χαρισασθαι· μὴ γὰρ ἔστω μηδεὶς ἐν δημοκρατίᾳ τηλικοῦτος, ὥστε συνειπὼν τὸν μὲν ὑβρίσθαι τὸν δὲ μὴ δοῦναι δίκην ποιῆ-
263 σαι. ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν, Εὔβουλε, ὡς ἔγωγε μὰ τοὺς θεοὺς οὐκ οἶδα ἀνθ' ὅτου, [t] δύνασαι μὲν καὶ πολιτεύῃ, κατὰ τοὺς νόμους δ' ἥντινα βούλει παρ' ἐμοῦ δίκην λάμβανε, ὧν δ' ἐγὼ παρὰ τοὺς νόμους ὑβρισθην, μὴ μ' ἀφαιροῦ τὴν τιμωρίαν. εἰ δ' ἀπορεῖς [u] ἐκείνως με κακῶς ποιῆσαι, εἴη ἂν καὶ τοῦτο σημεῖον τῆς ἐμῆς ἐπιεικείας, εἰ τοὺς ἄλλους ῥᾳδίως κρίνων ἐμὲ μηδὲν ἔχεις ἐφ' [c] ὅτῳ τοῦτο ποιήσεις.

264 [x] Πέπυσμαι τοίνυν καὶ Φιλιππίδην καὶ Μνησαρχίδην καὶ [y] Διότιμον τὸν Εὐωνυμέα καὶ τοιούτους τινὰς πλουσίους καὶ τριηράρχους [z] ἐξαιτήσεσθαι [a] καὶ λιπαρήσειν παρ' ὑμῶν αὐτόν, αὐτοῖς ἀξιοῦντας δοθῆναι τὴν χάριν ταύτην. περὶ ὧν οὐδὲν ἂν εἴποιμι πρὸς ὑμᾶς φλαῦρον ἐγώ· καὶ γὰρ ἂν μαινοίμην. ἀλλ' ἃ θεωρεῖν ὑμᾶς, ὅταν οὗτοι
265 δέωνται, δεῖ καὶ λογίζεσθαι, ταῦτ' ἐρῶ. [b] ἐνθυμεῖσθ', ὦ ἄνδρες [c] δικασταί, εἰ γένοιντο, ὃ μὴ γένοιτο οὐδ' [d] ἔσται, οὗτοι κύριοι τῆς πολιτείας μετὰ Μειδίου καὶ τῶν ὁμοίων τουτῳ, καὶ τις ὑμῶν τῶν πολλῶν καὶ δημοτικῶν [e] ἀνθρώπων ἁμαρτὼν εἷς τινα τούτων, μὴ τοιαῦθ' οἷα Μειδίας
[f] εἰς ἐμέ, ἀλλ' ὁτιοῦν ἄλλο, εἰς δικαστήριον εἰσίοι πε-

[r] δ' om. r.
[s] ταῦτα] τοῦτο k. r.
[t] δύνασαι] δύναται s.
[u] ἐκείνως] ἐκεῖθε pr. k.
[x] Πέπυσμαι] πέπεισμαι P. S. Y. O. k. r. s.
[y] Διότιμον] δότιμον r.
[z] ἐξαιτήσεσθαι] ἐξαιτήσασθαι k.
[a] καὶ] τοῦτον καὶ (omisso mox αὐτόν) k. r.
[b] ἐνθυμεῖσθ'] ἐνθυμεῖσθε δ' r.
[c] δικασταί] ἀθηναῖοι correctus S. om. k. r.
[d] ἔσται] ἔσται ποτὲ k. r. s. ἔσται τῶν F. t. v.
[e] ἀνθρώπων om. F.
[f] εἰς ante ἐμὲ om. r.

πληρωμένον ἐκ [g] τούτων, τίνος συγγνώμης ἢ τίνος [h] ἐλέου τυχεῖν [i] ἂν οἴεσθε; ταχύ γ' ἂν χαρίσαιντο, οὐ γάρ; [k] ἢ δεηθέντι τῷ τῶν πολλῶν [l] προσσχοῖεν, ἀλλ' οὐκ [m] ἂν εὐ- 582
θέως εἴποιεν "[n] τὸν δὲ βάσκανον! τὸν δὲ ὄλεθρον! τοῦτον
" [o] δὲ ὑβρίζειν; ἀναπνεῖν [p] δέ; ὃν εἴ τις ἐᾷ ζῆν, ἀγα-
266 " πᾷν [q] ἔδει;" μὴ τοίνυν, ὦ ἄνδρες [r] Ἀθηναῖοι, τούτοις
τοῖς οὕτω χρησαμένοις ἂν ὑμῖν ἄλλως πως [s] ἔχετε ὑμεῖς,
μηδὲ τὸν πλοῦτον μηδὲ τὴν δόξαν [t] τὴν τούτων θαυμάζετε, 5
ἀλλ' ὑμᾶς αὐτούς. πολλὰ τούτοις ἀγαθά ἐστιν, ἃ [u] τού-
τους οὐδεὶς κωλύει κεκτῆσθαι· μὴ τοίνυν μηδ' οὗτοι τὴν
ἄδειαν, ἣν [x] ἡμῖν κοινὴν [y] οὐσίαν οἱ νόμοι παρέχουσι, κω-
267 λυόντων κεκτῆσθαι. οὐδὲν δεινὸν οὐδ' ἐλεεινὸν [z] Μειδίας 10
πείσεται, ἂν [a] ἴσα κτήσηται τοῖς πολλοῖς [b] ὑμῶν, οὓς
νῦν [c] ὑβρίζει καὶ πτωχοὺς ἀποκαλεῖ, ἃ δὲ νῦν [d] περιόντ'
αὐτὸν ὑβρίζειν ἐπαίρει, περιαιρεθῇ. οὐδ' οὗτοι δήπου ταῦθ'
ὑμῶν εἰσὶ δίκαιοι δεῖσθαι, " μὴ κατὰ τοὺς νόμους δικά-
" σητε, [e] ὦ ἄνδρες [f] δικασταί· μὴ [g] βοηθήσητε τῷ πεπον- 15
" θότι δεινά· [h] μὴ [i] εὐορκεῖτε· ἡμῖν δότε τὴν χάριν ταύ-
" την." ταῦτα γάρ, ἂν τι δέωνται περὶ τούτου, [k] δεήσον-

[g] τούτων] τίνων r.
[h] ἐλέου] ἐλαίου O. λόγου S.
[i] ἂν om. S. post οἴεσθε ponit r.
[k] ἢ] δὴ F. -οῦ in litura S. om. P. Y. O.
[l] πρόσχοιεν F. O. r. t. προσχοῖεν S. vulg. προσέχοιεν.
[m] ἂν εὐθέως εἴποιεν om. F.k.r.s. et pr. t. v.
[n] τὸν δὲ—τὸν δὲ] τόνδε—τόνδε r. et complures.
[o] δὲ post τοῦτον om. t. v.
[p] δὲ ὃν] δέον F. S.
[q] ἔδει] δεῖ P. O.
[r] Ἀθηναῖοι om. s.
[s] ἔχετε ὑμεῖς] ὑμεῖς ἔχετε k. r. s.
[t] τὴν post δόξαν om. P. Y. O. τὴν τούτων om. k.
[u] τούτους] τούτοις k. r. s.
[x] ἡμῖν κοινὴν] ὑμῖν κοινὴν t. v. κοινὴν ὑμῖν k. r. s.
[y] οὐσίαν] οὖσαν γρ. S.
[z] Μειδίας πείσεται] πείσεται μειδίας k. r. s.
[a] ἴσα] ἴσα μὲν rec. k.
[b] ὑμῶν] ἡμῶν P. Y. O.
[c] ὑβρίζει—νῦν om. r.
[d] περιόντ'] περιόντ' S.
[e] ὦ om. P. O.
[f] δικασταί om. s.
[g] βοηθήσητε] κριθήσεται s.
[h] μὴ] μηδ' F. P. S. Y. O. t.
[i] εὐορκεῖτε] εὐορκῆτε t.
[k] δεήσονται] δεηθήσονται O.

268 ται, κἂν μὴ [l] ταῦτα λέγωσι τὰ ῥήματα. ἀλλ' εἴπερ εἰσὶ φίλοι, καὶ δεινὸν εἰ μὴ [m] πλουτήσει Μειδίας ἡγοῦνται, εἰσὶ μὲν [n] εἰς τὰ μάλιστα αὐτοὶ πλούσιοι, καὶ καλῶς ποιοῦσι, χρήματα δ' αὐτῷ παρ' ἑαυτῶν [o] δόντων, ἵν' ὑμεῖς μὲν ἐφ' οἷς [p] εἰσηλθετε ὁμωμοκότες δικαίως ψηφίσησθε, οὗτοι δὲ παρ' αὐτῶν τὰς χάριτας, μὴ μετὰ τῆς [q] ὑμετέρας αἰσχύνης, ποιῶνται. εἰ δ' οὗτοι χρήματ' ἔχοντες μὴ [r] πρόοιντ' ἄν, πῶς ὑμῖν καλὸν τὸν ὅρκον προέσθαι; 269 Πλούσιοι πολλοὶ συνεστηκότες, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ δοκεῖν τινὲς εἶναι δι' εὐπορίαν προσειληφότες, ὑμῶν παρίασι δεησόμενοι. τούτων μηδενί [s] με ὦ ἄνδρες Ἀθηναῖοι πρόησθε, ἀλλ' ὥσπερ [t] ἕκαστος τούτων ὑπὲρ τῶν [u] ἰδίᾳ 583 συμφερόντων καὶ ὑπὲρ τούτου σπουδάσεται, οὕτως ὑμεῖς ὑπὲρ ὑμῶν [x] αὐτῶν καὶ τῶν νόμων καὶ ἐμοῦ τοῦ ἐφ' ὑμᾶς καταπεφευγότος σπουδάσατε, καὶ τηρήσατε τὴν γνώμην 270 ταύτην ἐφ' [y] ἧς νῦν ἐστέ. καὶ γὰρ εἰ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὅτ' ἦν ἡ [z] προβολή, τὰ πεπραγμένα ὁ δῆμος ἀκούσας ἀπεχειροτόνησε Μειδίου, οὐκ ἂν ὁμοίως ἦν δεινόν· καὶ γὰρ μὴ γεγενῆσθαι, καὶ μὴ περὶ τὴν ἑορτὴν ἀδικήματα ταῦτ' εἶναι, καὶ πολλὰ ἂν εἶχέ τις αὐτὸν παραμυθήσασθαι. νῦν δὲ τοῦτο καὶ πάντων ἂν μοι δεινό- 271 τατον συμβαίη, εἰ παρ' αὐτὰ [a] μὲν τἀδικήματα οὕτως ὀργίλως καὶ πικρῶς καὶ χαλεπῶς [b] ἅπαντες ἔχοντες [c] ἐφαίνεσθε, ὥστε Νεοπτολέμου καὶ Μνησαρχίδου καὶ

[l] ταῦτα] ταυτὰ t.
[m] πλουτήσει] πλουτήσῃ F. πλουτήσῃ t. v.
[n] εἰς] εἰσὶ k. s. et γρ. S.
[o] δόντων] διδόντων s.
[p] εἰσηλθετε] εἰσεληλύθατε F. t. v.
[q] ὑμετέρας] ἡμετέρας t. v.
[r] πρόοιντ'] προῖντ' correctus v.
[s] με] μὲν r.
[t] ἕκαστος] ἕκαστοι pr. S.
[u] ἰδίᾳ] ἰδίᾳ F. ἰδίων k. t. v.
[x] αὐτῶν om. pr. Y.
[y] ἧς] οἷς r.
[z] προβολή] βουλὴ v.
[a] μὲν om. P. S. Y. O. r. s.
[b] ἅπαντες ἔχοντες] ἔχοντες πάντες r. s.
[c] ἐφαίνεσθε] φαίνεσθε S. πάντες ἐφαίνεσθε k.

Φιλιππίδου καὶ [d] τινων τῶν σφόδρα [e] τούτων πλουσίων
[f] δεομένων καὶ ἐμοῦ καὶ ὑμῶν ἐβοᾶτε μὴ ἀφεῖναι, καὶ
προσελθόντος μοι [g] Βλεπαίου τοῦ τραπεζίτου τηλικοῦτ'
[h] ἀνεκράγετε, ὡς, τοῦτ' [i] ἐκεῖνο, χρήματά μου ληψομένου,
272 ὥστε με [k] ὦ ἄνδρες Ἀθηναῖοι φοβηθέντα τὸν ὑμέτερον θό-
ρυβον θοιμάτιον προέσθαι καὶ μικροῦ γυμνὸν ἐν τῷ χιτω-
νίσκῳ γενέσθαι, φεύγοντα ἐκεῖνον [l] ἕλκοντά με, καὶ μετὰ
ταῦτα ἀπαντῶντες "ὅπως [m] ἐπέξει τῷ μιαρῷ καὶ [n] μὴ
"[o] διαλύσει· θεάσονταί σε τί ποιήσεις Ἀθηναῖοι" τοιαῦ-
τα λέγοντες· [p] ἐπειδὴ [q] δὲ κεχειροτόνηται μὲν ὕβρις τὸ
πρᾶγμα εἶναι, ἐν ἱερῷ δ' οἱ ταῦτα [r] κρίνοντες καθεζόμενοι
διέγνωσαν, διέμεινα δὲ [s] ἐγὼ καὶ οὐ προὔδωκα οὔθ' ὑμᾶς
273 οὔτ' ἐμαυτόν, τηνικαῦτ' ἀποψηφιεῖσθε ὑμεῖς. μηδαμῶς·
πάντα [t] γὰρ τὰ αἴσχιστα ἔνεστιν ἐν τῷ πράγματι. εἰμὶ 584
δ' οὐ τούτων ὑμῖν ἄξιος (πῶς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι;)
κρίνων ἄνθρωπον καὶ δοκοῦντα [u] καὶ ὄντα βίαιον καὶ
ὑβριστήν, ἡμαρτηκότα ἀσελγῶς ἐν πανηγύρει, μάρτυρας
τῆς ὕβρεως τῆς αὐτοῦ πεποιημένον οὐ μόνον ὑμᾶς, ἀλλὰ
καὶ τοὺς [x] ἐπιδημήσαντας [y] ἅπαντας τῶν Ἑλλήνων. ἤκου-
σεν ὁ δῆμος τὰ πεπραγμένα τούτῳ. τί οὖν; ὑμῖν κατα-
274 χειροτονήσας παρέδωκεν. οὐ τοίνυν οἷόν τε ἀφανῆ τὴν
γνῶσιν ὑμῶν γενέσθαι, οὐδὲ λαθεῖν, οὐδ' ἀνεξέταστον

[d] τινων] τινων F. τινος P. S. Y. O. t.
[e] τούτων τῶν ἄλλων r. s. post πλουσίων ponunt P. Y. O.
[f] δεομένων] δεομένου correctus S.
[g] Βλεπαίου] βλεττταίου k.
[h] ἀνεκράγετε] ἀνεκεκράγετε k.
[i] ἐκεῖνο] ἐκείνου S.
[k] ὦ ἄνδρες Ἀθηναῖοι om. k. r. s.
[l] ἕλκοντα] δ' ἕλκοντα P. S. Y. O. k. r. s.
[m] ἐπέξει] ἐπέξη k. r. ἐπεξῇ Y. t. ἐπέζῃ s.
[n] μὴ om. k. t.
[o] διαλύσει P. Y. k. t. vulg. διαλύσῃ.
[p] ἐπειδὴ] ἐπεὶ r.
[q] δὲ om. P. S. Y. O. k. r. t. v.
[r] κρίνοντες] κρίναντες k. r. s.
[s] ἐγὼ P. S. Y. ceteri κἀγώ.
[t] γὰρ—κρίνων] γὰρ ὅστις—κρίνω γρ. S. et margo F.
[u] καὶ ante ὄντα om. t.
[x] ἐπιδημήσαντας] ἐπιδημοῦντας k. r. s. v.
[y] ἅπαντας] πάντας k. r. s.

[z] εἶναι, τί ποθ' ὡς ὑμᾶς τοῦ πράγματος ἐλθόντος ἔγνωτε· ἀλλ' ἐὰν μὲν κολάσητε, δόξετε σώφρονες εἶναι καὶ καλοὶ [a] κἀγαθοὶ καὶ μισοπόνηροι, ἂν δ' ἀφῆτε, ἄλλου τινὸς
275 [b] ἡττᾶσθαι. οὐ γὰρ ἐκ πολιτικῆς αἰτίας, οὐδ' ὥσπερ Ἀριστοφῶν ἀποδοὺς τοὺς στεφάνους ἔλυσε τὴν προβολήν, ἀλλ' ἐξ ὕβρεως [c] καὶ ἐκ τοῦ μηδὲν [d] ἂν ὧν πεποίηκεν ἀναλῦσαι δύνασθαι κρίνεται. [e] πότερ' οὖν τούτου γενομένου κρεῖττον [f ἦν] [g] αὖθις ἢ νυνὶ κολάσαι; ἐγὼ μὲν οἶμαι νῦν· κοινὴ γὰρ ἡ κρίσις, καὶ τἀδικήματα πάντ' ἐφ' [h] οἷς κρίνεται κοινά.

276 Ἔτι δὲ οὐκ ἐμὲ ἔτυπτεν [i] ὦ ἄνδρες Ἀθηναῖοι μόνον οὗτος οὐδ' ὕβριζε τῇ διανοίᾳ τότε, ποιῶν [k] οἷα ἐποίει, [l] ἀλλ' ἅπαντας, ὅσους περ ἂν οἴηται τις ἧττον ἐμοῦ δύνασθαι δίκην ὑπὲρ αὑτῶν λαβεῖν. εἰ δὲ μὴ πάντες ἐπαίεσθε μηδὲ πάντες ἐπηρεάζεσθε χορηγοῦντες, ἴστε δήπου τοῦθ', ὅτι οὐδ' [m] ἐχορηγεῖθ' ἅμα πάντες, οὐδὲ δύναιτ' ἄν [n] ποθ' ὑμᾶς [o] ἅμα πάντας μιᾷ χειρὶ [p] οὐδεὶς προπηλακίσαι.
277 ἀλλ' ὅταν εἷς ὁ παθὼν μὴ λάβῃ δίκην, [q] τόθ' ἕκαστον [r] αὐτὸν χρὴ προσδοκᾶν τὸν πρῶτον μετὰ ταῦτ' [s] ἀδικησόμενον γενήσεσθαι, καὶ μὴ παροράν τὰ τοιαῦτα, μηδ' ἐφ' ἑαυτὸν ἐλθεῖν περιμένειν, ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι. μισεῖ Μειδίας ἴσως ἐμέ, ὑμῶν δέ γε ἕκαστον ἄλ-

[z] εἶναι om. O.
[a] κἀγαθοὶ P. O. r. vulg. καὶ ἀγαθοί.
[b] ἡττᾶσθαι] ἡττᾶσθαι t. ἡττᾶσθε F. k. r. s. ἧττησθε P. S. Y. O.
[c] καὶ om. P. S. Y. O. k. r. s.
[d] ἂν ἂν] ἂν ἂν s.
[e] πότερ' P. S. Y. O. ceteri πότερον.
[f] ἦν om. k. r. s.
[g] αὖθις] αὖθις margo O.
[h] οἷς] οἷς νῦν P. S. Y. O. et γρ. F.
[i] ὦ om. O.
[k] οἷα] ἃ k. r. s.
[l] ἀλλ' ἅπαντας] ἀλλὰ πάντας P. Y. O. k. r. s.
[m] ἐχορηγεῖθ'] χορηγεῖθ' P.
[n] ποθ'] οἴεσθ' F. t. v.
[o] ἅμα πάντας] ἅπαντας P. S. Y. O.
[p] οὐδεὶς post ὑμᾶς ponunt k. r. s.
[q] τόθ'] τοῖθ' Y. O.
[r] αὐτὸν] αὐτῶν v.
[s] ἀδικησόμενον] ἀδικηθησόμενον F. k. r. s.

λος τις. ἆρ' οὖν συγχωρήσαιτ' ἂν [t] τοῦτον, ὅστις ἐστὶν [u] ἕκαστος ὁ μισῶν, κύριον [x] γενέσθαι τοῦ ταῦθ', ἅπερ οὗτος ἐμέ, [y] ὑμῶν ἕκαστον ποιῆσαι; ἐγὼ μὲν οὐκ οἶμαι. [z] μὴ τοίνυν μηδ' ἐμὲ ὦ ἄνδρες Ἀθηναῖοι [a] πρόησθε τούτῳ.
278 ὁρᾶτε [b] δέ. αὐτίκα δὴ μάλα, ἐπειδὰν ἀναστῇ τὸ δικαστήριον, εἷς ἕκαστος ὑμῶν, ὁ μὲν θᾶττον ἴσως, ὁ δὲ [c] σχολαίτερον, οἴκαδ' ἅπεισιν οὐδέν [d] γε φροντίζων οὐδὲ μεταστρεφόμενος οὐδὲ φοβούμενος, οὔτ' εἰ φίλος [e] οὔτ' εἰ μὴ φίλος αὐτῷ [f] συντεύξεταί τις, οὐδέ γε [g] εἰ μέγας ἢ μικρός, [h] οὐδ' εἰ ἰσχυρὸς ἢ ἀσθενής, οὐδὲ τῶν τοιούτων οὐδέν. τί δήποτε; ὅτι τῇ ψυχῇ τοῦτ' οἶδε καὶ θαρρεῖ καὶ πεπίστευκε τῇ πολιτείᾳ, μηδένα [i] αὐτὸν [k] ἕλξειν μηδ' [l] ὑβριεῖν
279 μηδὲ τυπτήσειν. εἶτ' ἐφ' [m] ᾗ ἀδείᾳ αὐτοὶ πορεύεσθε, [n] ταύτην οὐ βεβαιώσαντες ἐμοὶ βαδιεῖσθε; [o] καὶ τίνι [p] χρή με λογισμῷ [q] περιεῖναι ταῦτα [r] παθόντα, [s] εἰ περιόψεσθέ με νῦν [t] ὑμεῖς; [u] θαρρεῖ νὴ Δία, φήσειέ τις ἄν· οὐ γὰρ ἔτ' οὐδὲν ὑβρισθήσῃ. ἐὰν δέ, τότ' ὀργιεῖσθε, νῦν ἀφέντες; μηδαμῶς, ὦ ἄνδρες [x] Ἀθηναῖοι, [y] μὴ προδῶτε μήτ' ἐμὲ μήθ'

[t] τοῦτον] τουτωνὶ F.
[u] ἕκαστος] ἕκαστον Reiskius. om. k.
[x] γενέσθαι] γίγνεσθαι P. S. Y. O. k. r. s.
[y] ὑμῶν ἕκαστον] ἕκαστον ὑμῶν k. r.
[z] μὴ] καὶ O.
[a] πρόησθε] πρόεσθε F. t. v.
[b] δέ om. P. S. Y. O.
[c] σχολαίτερον] σχολαιότερον r. v.
[d] γε om. P. Y. O.
[e] οὔτ' εἰ μὴ φίλος] οὔτ' εἰ μηδὲν t. v. om. F.
[f] συντεύξεται] συνεύξεται t.
[g] εἰ μέγας] ἢ μέγας S. k. r.
[h] οὐδ' εἰ] ἢ εἰ P. ἢ F. S. Y. O. t. v. οὐδ' k. r. s.
[i] αὐτὸν om. S.
[k] ἕλξειν] ἐλπίσειν P.
[l] ὑβριεῖν] ὑβρίσειν k. s.
[m] ᾗ ἀδείᾳ Reiskius: libri ἣν ἄδειαν.
[n] ταύτην om. P. Y. O.
[o] καὶ om. O.
[p] χρή με λογ. περιεῖναι ταῦτα παθόντα] με χρὴ λογ. ταῦτα παθόντα περιεῖναι γρ. S.
[q] περιεῖναι om. k. r. s.
[r] παθόντα εἰ P. S. Y. O. παθόντα ζῇν εἰ F. παθόντα καὶ ζῇν εἰ ceteri.
[s] εἰ περιόψεσθε] εἴπερ ὄψεσθε r. s.
[t] ὑμεῖς om. F.
[u] θαρρεῖ] θαρρεῖν S.
[x] Ἀθηναῖοι] δικασταί O.
[y] μὴ προδῶτε ante ὦ ponunt k. r. s.

280 ὑμᾶς αὐτοὺς μήτε τοὺς νόμους. καὶ γὰρ αὐτὸ τοῦτο εἰ
θέλοιτε σκοπεῖν καὶ ζητεῖν, [a] τῷ ποτ' εἰσὶν ὑμῶν οἱ ἀεὶ
δικάζοντες ἰσχυροὶ καὶ κύριοι τῶν ἐν τῇ [b] πόλει πάντων,
[b] ἄν τε [c] διακοσίους ἄν τε χιλίους ἄν θ' [d] ὁπόσους ἂν ἡ
πόλις καθίσῃ, οὔτε τῷ μεθ' ὅπλων εἶναι συντεταγμένοι
μόνοι τῶν ἄλλων πολιτῶν, εὕροιτ' ἄν, οὔτε τῷ τὰ σώ-
ματ' ἄριστα ἔχειν καὶ [e] μάλιστα ἰσχύειν [τοὺς δικάζον-
τας], οὔτε τῷ τὴν ἡλικίαν εἶναι νεώτατοι, οὔτε τῶν τοιού- 586
281 των οὐδενί, ἀλλὰ [f] τῷ τοὺς νόμους ἰσχύειν. ἡ δὲ τῶν νό-
μων ἰσχὺς τίς ἐστιν; ἆρ' ἐάν τις ὑμῶν ἀδικούμενος ἀνα-
κράγῃ, προσδραμοῦνται καὶ παρέσονται βοηθοῦντες; οὔ·
γράμματα γὰρ γεγραμμένα ἐστί, καὶ οὐχὶ [g] δύναιντ' ἂν
τοῦτο ποιῆσαι. τίς οὖν [h] ἡ δύναμις αὐτῶν ἐστίν; ὑμεῖς
ἐὰν βεβαιῶτε αὐτοὺς καὶ παρέχητε [i] κυρίους ἀεὶ τῷ δεο-
μένῳ. οὐκοῦν οἱ νόμοι τε ὑμῖν εἰσὶν ἰσχυροὶ καὶ ὑμεῖς
282 τοῖς νόμοις. δεῖ τοίνυν τούτοις βοηθεῖν ὁμοίως ὥσπερ ἂν
αὐτῷ τις ἀδικουμένῳ, καὶ τὰ τῶν νόμων ἀδικήματα κοι-
νὰ νομίζειν, ἐφ' ὅτου περ ἂν λαμβάνηται, καὶ μήτε λει-
τουργίας μήτ' ἔλεον μήτ' ἄνδρα μηδένα μήτε τέχνην μη-
δεμίαν εὑρῆσθαι [k] μήτ' ἄλλο μηδέν, δι' ὅτου παραβάς τις
τοὺς νόμους οὐ δώσει δίκην.

283 Ὑμῶν οἱ θεώμενοι τοῖς Διονυσίοις εἰσιόντα εἰς τὸ θέα-
τρον τοῦτον ἐσυρίττετε [l] καὶ ἐκλώζετε, [m] καὶ πάντα ἃ

[a] τῷ] τίνι τιν F. ὅτῳ t. v.
[b] πόλει] πολιτείᾳ k. r. s.
[b] ἄν—ἄν—ἄν] ἐὰν—ἐὰν—ἐὰν P. O. k. r. s.
[c] διακοσίους] πεντακοσίους rec. k.
[d] ὁπόσους ἄν] ὁποσουσοῦν k. r. s.
[e] μάλιστα] μάλα O.
[f] τῷ τοὺς νόμους ἰσχύειν] τῷ τοῖς νόμοις ἰσχύειν F. P. k. r. v. τῷ τῶν νόμων ἰσχύι S. Y. O.
[g] δύναιντ'] δύναιτ' P. Y. O. t. v.
[h] ἡ δύναμις αὐτῶν P. S. Y. O. ceteri αὐτῶν ἡ δύναμις.
[i] κυρίους] κυρίως k. r.
[k] μήτ' ἄλλο μηδὲν om. P. ante εὑρῆσθαι ponunt k. r. s.
[l] καὶ ἐκλώζετε Harpocratio: καὶ ἐκκεκράγετε P. S. Y. O. ceteri om.
[m] καὶ πάντα—σημεῖα P. S. Y. O. ὥστε—ταῦτα F. t. v. ὥστε—σημεῖα ταῦτα ceteri.

μίσους ἐστὶ σημεῖα ἐποιεῖτε οὐδὲν ἀκηκοότες [n] πω περὶ αὐτοῦ παρ' ἐμοῦ. εἶτα πρὶν μὲν ἐλεγχθῆναι τὸ πρᾶγμα [o] ὠργίζεσθε, προὐκαλεῖσθε ἐπὶ τιμωρίαν τὸν παθόντα,
284 ἐκροτεῖθ', ὅτε [p] προὐβαλόμην αὐτὸν ἐν τῷ δήμῳ· ἐπειδὴ δ' [q] ἐξελήλεγκται, καὶ προκατέγνωκεν ὁ δῆμος τούτου εἰς ἱερὸν καθεζόμενος, καὶ τἆλλα [r] προσεξήτασται τὰ πεπραγμένα τῷ μιαρῷ τούτῳ, καὶ δικάσοντες εἰλήχατε, καὶ πάντ' ἐστὶν ἐν ὑμῖν μιᾷ ψήφῳ διαπράξασθαι, νῦν ὀκνήσετε ἐμοὶ βοηθῆσαι, τῷ δήμῳ χαρίσασθαι, τοὺς ἄλλους σωφρονίσαι, μετὰ πολλῆς ἀσφαλείας [s] αὐτοὶ τὸ λοιπὸν διάγειν, παράδειγμα ποιήσαντες τοῦτον τοῖς ἄλλοις;

285 Πάντων οὖν [t] εἵνεκα τῶν εἰρημένων, καὶ μάλιστα τοῦ θεοῦ χάριν περὶ οὗ τὴν ἑορτὴν ἀσεβῶν οὗτος ἤλωκε, τὴν ὁσίαν καὶ [u] δικαίαν θέμενοι ψῆφον τιμωρήσασθε τοῦτον. 587

[n] πω om. s.
[o] ὠργίζεσθε] ὀργίζεσθε s.
[p] προὐβαλόμην] προὐβαλλόμην O. s.
[q] ἐξελήλεγκται] ἐξελήλεγμαι r.
[r] προσεξήτασται] προεξήτασται r. t.
[s] αὐτοὶ] αὐτοὺς t. v. om. k. r. s.
[t] εἵνεκα P.S.Y.O. ceteri ἕνεκα.
[u] δικαίαν] τὴν δικαίαν t. v.

ΚΒ.

ΚΑΤΑ ΑΝΔΡΟΤΙΩΝΟΣ ΠΑΡΑΝΟΜΩΝ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

ΔΥΟ ἦσαν ἐν Ἀθήναις βουλαί, ἡ μὲν διηνεκής. ἡ ἐν Ἀρείῳ πάγῳ περί τε φόνων ἑκουσίων καὶ [a] τραυμάτων καὶ τοιούτων τινῶν δικάζουσα, ἑτέρα δὲ ἡ τὰ πολιτικὰ πράττουσα· αὕτη δὲ κατ' ἐνιαυτὸν ἡμείβετο, ἐκ πεντακοσίων ἀνδρῶν τῶν τὴν βουλευτικὴν ἡλικίαν ἀγόντων συνισταμένη. νόμος δὲ ἦν ἐπιτάττων τῇ βουλῇ ταύτῃ ποιεῖσθαι τριήρεις καινάς, ἐὰν δὲ μὴ ποιήσηται, [b] κωλύειν αὐτὴν αἰτεῖν παρὰ τοῦ δήμου δωρεάν. νῦν τοίνυν ἡ μὲν βουλὴ τὰς τριήρεις οὐκ ἐποιήσατο, Ἀνδροτίων δὲ γέγραφεν ἐν τῷ δήμῳ ψήφισμα στεφανῶσαι τὴν βουλήν. ἐπὶ τούτῳ παρανόμων κρίνεται, [c] κατηγορούντων αὐτοῦ δύο ἐχθρῶν, Εὐκτήμονος καὶ Διοδώρου. καὶ προείρηκε μὲν ὁ Εὐκτήμων, δεύτερος δὲ ὁ Διόδωρος ἐπαγωνίζεται τούτῳ τῷ λόγῳ. φασὶ δὲ οἱ κατήγοροι πρῶτον μὲν ἀπροβούλευτον εἶναι τὸ ψήφισμα (νόμου γὰρ κελεύοντος μὴ πρότερον εἰς τὸν δῆμον ψήφισμα ἐκφέρειν, πρὶν ἂν τῇ βουλῇ δοκιμασθείη, τὸν Ἀνδροτίωνα παρὰ τοῦτον τὸν νόμον ἀπροβούλευτον εἰσενηνεγκεῖν τὴν γνώμην), δεύτερον δὲ ὑπεναντίον εἶναι τῷ νόμῳ τῷ κελεύοντι μὴ ποιησαμένην τὴν βουλὴν τὰς τριήρεις μὴ αἰτεῖν δωρεάν· εἰ γὰρ αἰτεῖν οὐκ ἔξεστι, δῆλον ὡς οὐδὲ τὸ δοῦναι 588
συγκεχώρηται. τούτους μὲν εἰς τὸ πρᾶγμα τοὺς νόμους παρέχονται δὲ καὶ κατὰ [d] τοῦ προσώπου δύο, τὸν τῆς ἑταιρήσεως καὶ τῶν ὀφειλόντων τῷ δημοσίῳ, καὶ φασὶ τὸν Ἀνδροτίωνα κατὰ ἀμφοτέρους ἄτιμον εἶναι· καὶ γὰρ πεπρᾶσθαι καὶ χρέος πατρῴον ὀφείλειν τῇ πόλει.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Διάφοροι παρ' Ἀθηναίοις ὑπῆρχον ἀρχαί, ὧν αἱ μὲν κληρωταί, αἱ δὲ χειροτονηταί, αἱ δὲ αἱρεταί. καὶ κληρωταὶ μὲν αἱ κατὰ κλῆρον γινόμεναι, ὡς αἱ τῶν δικαστῶν, χειροτονηταὶ δὲ αἱ κατὰ χειροτονίαν τοῦ δήμου γινόμεναι, ὡς αἱ τῶν στρατηγῶν, αἱρεταὶ δὲ αἱ κατὰ αἵρεσιν, ὡς αἱ τῶν ἱερῶν. τούτων μία ἦν τῶν κληρωτῶν ἡ βουλὴ τῶν πεντακοσίων. τῶν πεντακοσίων δὲ

[a] τραυμάτων] τραγμάτων Y. t. v.
[b] κωλύειν] κωλύειν Y. t. v.
[c] κατηγορούντων αὐτοῦ—καὶ προείρηκε Y. vulg. κατηγορούντων γὰρ αὐτοῦ—προείρηκε.
[d] τοῦ ante προσώπου addidi sumptum ab Y. t. v.

εἴπομεν πρὸς ἀντιδιαστολὴν τῆς ἐν Ἀρείῳ πάγῳ. εἰσὶ δὲ τούτων διαφοραὶ τρεῖς. καὶ πρώτη ἐστὶ τὸ τὴν τῶν πεντακοσίων τὰ δημόσια πράγματα διοικεῖν, τὴν δὲ ἐν Ἀρείῳ πάγῳ τὰ φονικὰ μόνον. εἰ δέ τις εἴποι ὅτι καὶ αὕτη δημόσια διῴκει, λέγομεν ὅτι, ἡνίκα μεγίστη ἀνάγκη ἐγίγνετο, τότε περὶ δημοσίων συνήγετο. δευτέρα διαφορά, ὅτι ἡ μὲν τῶν πεντακοσίων ἀριθμῷ ὑποπίπτει ὡρισμένῳ, ἡ δὲ ἀορίστῳ. ὡς γάρ τινες τῶν ῥητόρων λέγουσι, κατ' ἔτος οἱ ἐννέα ἄρχοντες αὐτῇ προσετίθεντο· ὡς δέ τινες, ὅτι οἱ ἐξ μόνον θεσμοθέται. ἦσαν γὰρ ἓξ θεσμοθέται, οἱ περὶ ἑταιρήσεως δικάζοντες. ἦσαν δὲ καὶ ἄλλοι τρεῖς, εἷς ἐπώνυμος, ἐξ οὗ καὶ ὁ ἐνιαυτὸς ἐπώνυμος ὠνομάζετο, δεύτερος ὁ βασιλεύς, ὁ τὰ τῶν ὀρφανῶν καὶ ἀσεβειῶν διοικῶν, τρίτος ὁ πολέμαρχος, ὁ τῶν πολεμικῶν ἐπιμελούμενος. οἱ δὲ θεσμοθέται ἐνιαυτὸν μόνον ἦρχον, πρὸ 589
τῆς ἀρχῆς κρινόμενοι περὶ τοῦ προλαβόντος παντὸς βίου. καὶ εἰ μὲν εὑρέθησαν ἐν πᾶσι δίκαιοι, ἦρχον τὸν ἐνιαυτόν. εἶτα πάλιν μετὰ τὸν ἐνιαυτὸν ἐκρίνοντο, εἰ καλῶς ἐν αὐτῷ ἦρξαν· καὶ εἰ δικαίως ὤφθησαν ἄρξαντες, προσετίθεντο τῇ βουλῇ τῶν Ἀρειοπαγιτῶν. καὶ διὰ τοῦτο οὐχ ὑπέπιπτον ἀριθμῷ. εἰ δὲ μή, ἐξεβάλλοντο. τρίτη διαφορά, ὅτι ἡ μὲν τῶν πεντακοσίων κατ' ἐνιαυτὸν διεδέχετο, ἡ δὲ τῶν Ἀρειοπαγιτῶν ἦν ἀδιάδοχος· εἰ μὴ γάρ τις ἥμαρτε μεγάλως, οὐκ ἐξεβάλλετο. ἐπειδὴ δὲ οὐ πρόκειται ἡμῖν περὶ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς, ἀλλὰ περὶ τῶν πεντακοσίων, ἀναγκαῖον μαθεῖν ἡμᾶς, πῶς ἦρχεν. ἰστέον ὅτι οὐκ ἐψήφιζον οἱ Ἀθηναῖοι τοὺς μῆνας κατὰ τὸν ἡλιακὸν δρόμον, ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὸν σεληνιακόν. κατὰ γὰρ τὸν ἡλιακὸν ἔχει ὁ ἐνιαυτὸς ἡμέρας τριακοσίας ἑξήκοντα πέντε, ὥστε συμβαίνει ἔχειν τὸν μῆνα ἡμέρας τριάκοντα καὶ τρίτον. δεκάκις γὰρ τριάκοντα τριακοσία, δὶς τριάκοντα ἑξήκοντα· λοιπὰ πέντε. τὸ τρίτον τῶν δώδεκα τέσσαρα· λοιπὴ μία. δωδέκατον δὲ τῆς μιᾶς δώδεκά ἐστι. κατὰ δὲ τὸν σεληνιακὸν δρόμον ὁ ἐνιαυτὸς ἔχει τριακοσίας πεντήκοντα τέσσαρας, ὥστε συμβαίνει τὸν μῆνα ἔχειν ἡμέρας εἰκοσιεννέα ἥμισυ. δεκάκις γὰρ εἴκοσι διακόσια, δὶς εἴκοσι τεσσαράκοντα, δεκάκις ἐννέα ἐννενήκοντα, δὶς ἐννέα δεκαοκτώ, καὶ τὸ ἥμισυ τῶν δώδεκα ἕξ. ὥστε ὁμοῦ εἶναι ἡμέρας τριακοσίας πεντήκοντα τέσσαρας, ὑπολείπεσθαι δὲ κατὰ τὸν ἡλιακὸν δρόμον ἡμέρας ἕνδεκα, ἃς Ἀθηναῖοι κατὰ τριετείαν συνάγοντες ἐποίουν τὸν ἐμβόλιμον μῆνα τριάκοντα τριῶν ἡμερῶν. ἔχει γοῦν ὁ ἐνι- 590
αυτὸς κατὰ τὸν σεληνιακὸν δρόμον τριακοσίας πεντήκοντα τέσσαρας ἡμέρας. καὶ τὰς μὲν δύο ἡμέρας ἐκάλουν οἱ Ἀθηναῖοι ἀρχαιρεσίας· ἐν αἷς ἄναρχος ἡ Ἀττικὴ ἦν. ἐν ταύταις προεβάλλοντο τοὺς ἄρχοντας. ἦρχον οὖν οἱ πεντακόσιοι τὰς τριακοσίας πεντήκοντα ἡμέρας. ἀλλ' ἐπειδὴ πολλοὶ ἦσαν καὶ δυσχερῶς ἦνυον τὰ πράγματα, διεῖλον ἑαυτοὺς εἰς δέκα μερίδας κατὰ τὰς φυλάς, ἀνὰ πεντήκοντα· τοσούτους γὰρ ἑκάστη φυλὴ προεβάλλετο. ὥστε συνέβαινε τοὺς πεντήκοντα ἄρχειν τῶν ἄλλων ἀνὰ τριάκοντα πέντε ἡμέρας. αὗται γὰρ αἱ τριάκοντα πέντε ἡμέραι εἰσὶ τὸ δωδέκατον μέρος τοῦ ἐνιαυτοῦ· δεκάκις γὰρ τριάκοντα τριακόσια, πεντάκις δέκα πεντήκοντα. ἀλλ' ἐπειδὴ πάλιν οἱ

πεντήκοντα πολλοὶ ἦσαν εἰς τὸ ἄρχειν ἅμα, οἱ δέκα κατὰ κλῆρον μιᾶς ἡμέρας τῶν ἑστά, ὁμοίως δὲ ἕκαστος τῶν ἄλλων ἀπὸ κλήρου ἦρχε τὴν ἑαυτοῦ ἡμέραν, ἄχρις οὗ πληρωθῶσιν αἱ ἑπτὰ ἡμέραι. καὶ συνέβαινε τοῖς ἄρχουσι τρεῖς μὴ ἄρχειν. ἕκαστος δὲ ἄρχων ἐν μιᾷ ἡμέρᾳ ἐκαλεῖτο ἐπιστάτης. διὰ τί δὲ μίαν μόνην ἦρχεν; ἐπειδὴ αὐτὸς τὰς κλεῖς τῆς ἀκροπόλεως ἐπιστεύετο, καὶ πάντα τὰ χρήματα τῆς πόλεως. ἵν' οὖν μὴ ἐρασθῇ τυραννίδος, διὰ τοῦτο μίαν ἡμέραν ἐποίουν αὐτὸν ἄρξαι. ἰστέον δ' ὅτι οἱ μὲν πεντήκοντα ἐκαλοῦντο πρυτάνεις, οἱ δὲ δέκα πρόεδροι, ὁ δὲ εἷς ἐπιστάτης. μετιτέον δὲ ἐπὶ τὴν ὑπόθεσιν τοῦ προκειμένου λόγου.

Ἔθος ἦν τὴν βουλὴν τῶν πεντακοσίων λαμβάνουσαν χρήματα ἀπὸ τοῦ δήμου καινὰς τριήρεις ποιεῖν. νόμος δὲ ἦν τὴν βουλὴν τὴν δόξασαν τῷ δήμῳ καλῶς βεβουλεῦκέναι στεφανοῦσθαι. αὕτη οὖν ἡ βουλή, περὶ ἧς ὁ λόγος, λαβοῦσα τὰ 591
χρήματα ἐκ τοῦ δήμου τὰς τριήρεις οὐκ ἐποίησεν, ἐδόκει δ' εἰς τὰ ἄλλα πάντα καλῶς βεβουλεῦκέναι. ὁ γοῦν Ἀνδροτίων ὁ ῥήτωρ, προστάτης ὢν ταύτης τῆς βουλῆς, ἔγραφε ψήφισμα στεφανωθῆναι τὴν βουλήν. τούτου ἐλάβοντο τοῦ ψηφίσματος ὡς παρανόμως γραφέντος Εὐκτήμων καὶ Διόδωρος, ἐχθροὶ ὄντες τοῦ Ἀνδροτίωνος. ἔστιν οὖν ἡ στάσις πραγματικὴ ἔγγραφος, ἐπίσκεψις μέλλοντος χρόνου, εἰ δεῖ τόδε ποιῆσαι ἢ εἰ δεῖ τόδε δοῦναι ἢ μή. καὶ ἐπειδὴ πρὸς τὴν στάσιν τοῦ λόγου συμβάλλεται ἡμῖν τὸ μαθεῖν τὰς δικαιολογίας, φέρε πρῶτον τὰς τῶν κατηγόρων ἐξετάσωμεν. Εὐκτήμων οὖν καὶ Διόδωρος ἐπιλαμβάνονται κατὰ τέσσαρας νόμους τοῦ ψηφίσματος, ὧν πρῶτός ἐστιν, ἀπροβούλευτον ψήφισμα μὴ εἰσιέναι ἐν τῷ δήμῳ. ἐπειδὴ γὰρ πολὺς ἦν ὁ δῆμος καὶ πολλάκις παρεκρούετο, μὴ νῶν εἰ ἔχει ἐμφυλείουσαν κακουργίαν, πρῶτον παρεπέμπετο εἰς τὴν βουλὴν τῶν πεντακοσίων, καὶ αὖτη ἠρεύνα, εἰ ἔχει βλάβην τινὰ ἡ κακουργία, καὶ οὕτως εἰσήγετο εἰς τὸν δῆμον. ἔδει οὖν αὐτὸν πρῶτον εἰσενεγκεῖν τὸ ψήφισμα εἰς τὴν βουλήν. οὐκ εἰσήνεγκε δέ, ἐπειδὴ κωστὶ ἄρξασα ἦν ἡ βουλή, καὶ ἐφυβεῖτο μὴ διαφωνηθῇ· ἕκαστος γὰρ τὸν πρὸ αὐτοῦ θέλει δείξαι κακῶς πράξαντα. δεύτερος νόμος, τὴν βουλὴν τὴν ποιήσασαν τὰς τριήρεις αἰτεῖν τὴν ὠφελίαν. τρίτος νόμος, τὸν ἠτιμημένον μὴ πολιτεύεσθαι· Ἀνδροτίων ἄρα, ὃς ἠτίμηκεν, οὐκ ὤφειλε πολιτεύεσθαι. τέταρτος νόμος, τὸν ὀφείλοντα τῷ δημοσίῳ μὴ πολιτεύεσθαι· σὺ δέ, ὦ Ἀνδροτίων, ὀφείλεις· οὐκ ἄρα δεῖ σε πολιτεύεσθαι. εἴπωμεν δὲ καὶ τὰς τοῦ φεύγοντος 592
δικαιολογίας. ὁ τοίνυν Ἀνδροτίων πρὸς τὸν πρῶτον νόμον ἔθει ἀγωνίζεται· λέγει γὰρ ὅτι ἔθος ἐκράτησεν ἀπροβούλευτον ψήφισμα εἰσάγεσθαι ἐν τῷ δήμῳ. πρὸς δὲ τὸν δεύτερον ἀντινομικῶς· παραφέρει γὰρ καὶ αὐτὸς ἕτερον νόμον λέγοντα τὴν βουλήν, ἂν δόξῃ καλῶς βεβουλεῦκέναι ἐν τῷ δήμῳ, στεφανοῦσθαι. πρὸς δὲ τοὺς ἄλλους δύο παραγραφικῶς ἀγωνίζεται, λέγων ὅτι ἄρτι οὐκ ὤφειλε κρίνεσθαι περὶ τούτων.

Τοὺς δ' ἐπεχείρησαν τοῦτον τὸν λόγον εἰς στάσιν ἀντενσταικὴν πραγματικὴν τὴν πρὸς ἀντινομίαν, λέγοντες ὅτι "Ἰδοὺ καὶ ἐνταῦθα δύο νόμοι μάχονται

" ἀλλήλοις ἐκ περιστάσεως, ἂν ὁ εἷς παραβέβασται διὰ τὸ κυρωθῆναι τὸν " ἕτερον." ἀλλὰ λέγομεν ὅτι ἐν τῇ πραγματικῇ τῇ πρὸς ἀντινομίαν οὐδέτερος παραβαίνεται, ἀλλὰ σκοποῦμεν ποῖον δεῖ παραβαθῆναι. ἐν δὲ τῷ παρόντι λόγῳ οὐχ οὕτως· ὁ εἷς γὰρ τῶν νόμων παραβέβασται, ὁ λέγων τὴν βουλὴν τὴν μὴ ποιήσασαν τὰς τριήρεις μὴ αἰτεῖν δωρεάν. τοῦτο δὲ οὐκ ἴδιον πραγματικῆς τῆς πρὸς ἀντινομίαν, ἀλλὰ μόνης ἀντινομίας.

Ἰστέον δὲ ὅτι, ἡνίκα δύο ὦσι κατήγοροι, ἂν ὁ μὲν εἷς νεώτερος ὁ δὲ ἕτερος πρεσβύτερος, οὗτος λαμβάνει τὴν πρωτολογίαν κατὰ τιμήν, ὥσπερ καὶ ἐνταῦθα ὁ Εὐκτήμων ἔλαβε τὴν πρωτολογίαν ὡς πρεσβύτερος, καὶ εἶπε τὰ προοίμια καὶ τὴν κατάστασιν καὶ μέρος τι τῶν ἀγώνων. ὁ δὲ Διόδωρος, ἰδιώτης ὤν, ἔλαβεν ἀπὸ τοῦ Δημοσθένους τὸν παρόντα λόγον. καὶ ἔστι δευτερολογία, ἔχει δέ, ἃ παρέλιπεν ὁ Εὐκτήμων.

Ὅπερ Εὐκτήμων, ὦ ἄνδρες [e] δικασταί, παθὼν ὑπ' Ἀν- 593
δροτίωνος κακῶς ἅμα τῇ [f] τε πόλει βοηθεῖν [g] οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν, ἐὰν ἄρα οἷός τε ὦ. συμβέβηκε δὲ [h] πολλὰ καὶ δεινὰ [i] καὶ παρὰ πάντας τοὺς νόμους [k] Εὐκτήμονος ὑβρισμένου ἐλάττω ταῦτ' εἶναι τῶν ἐμοὶ γεγενημένων δι' Ἀν- 2
δροτίωνος πραγμάτων. οὗτος [l] μέν γε εἰς χρήματα καὶ τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν ἐπεβουλεύθη· ἐμὲ δὲ οὐδ' ἂν ἐδέξατο τῶν ὄντων ἀνθρώπων οὐδὲ εἷς, εἰ τὰ κατασκευασθέντα ὑπὸ τούτου παρ' ὑμῖν ἐπιστεύθη. αἰτιασάμενος γάρ με ἃ καὶ λέγειν ἂν ὀκνήσειέ τις, εἰ μὴ τύχοι προσόμοιος ὢν [m] τούτῳ, τὸν πατέρα ὡς ἀπέκτονα ἐγὼ τὸν 3
ἐμαυτοῦ, [n] καὶ κατασκευάσας ἀσεβείας γραφὴν οὐκ ἐπ' ἐμὲ ἀλλ' ἐπὶ τὸν θεῖόν μου, γράψας ἀσεβεῖν ἐμοὶ συνιόντα εἰς [o] ταὐτὸν ὡς πεποιηκότι [p] ταῦτα, εἰς ἀγῶνα κατέστησεν, ὃν εἰ συνέβη τότε ἁλῶναι, τίς ἂν ἀθλιώτερα ἐμοῦ

[e] δικασταί om. k.
[f] τε om. O.
[g] οἴεται] ᾤετο k.
[h] πολλὰ om. t.
[i] καὶ ante παρὰ om. s.
[k] Εὐκτήμονος] εὐκτήμωνος k.
[l] μέν γε] μὲν γὰρ Y. O. s. et γρ. F.
[m] τούτῳ] τούτου r.
[n] καὶ om. O.
[o] ταὐτὸν] ταὐτὸ F. S. Y. O. v.
[p] ταῦτα] ταυτὰ S. πάντα k.

πεπονθὼς ἦν ὑπὸ τούτου; τίς γὰρ [q] ἂν ἢ φίλος ἢ ξένος
εἰς ταὐτό ποτ' ἐλθεῖν ἠθέλησεν ἐμοί; τίς δ' ἂν εἴασε πό-
λις [r] που παρ' ἑαυτῇ γενέσθαι τὸν [s] τοιοῦτον ἀσέβημα δο-
κοῦντα εἰργάσθαι; οὐκ ἔστιν οὐδεμία. ἐγὼ τοίνυν ταῦτα
μὲν οὐ παρὰ μικρὸν ἀγωνιζόμενος παρ' ὑμῖν ἀπελυσάμην,
ἀλλ' ὥστε τὸ πέμπτον μέρος [t] μὴ [u] λαβεῖν [x] τοῦτον τῶν
ψήφων· [y] τουτονὶ δὲ μεθ' ὑμῶν [z] πειράσομαι καὶ νῦν καὶ
τὸν ἄλλον ἅπαντα [a] ἀμύνεσθαι χρόνον. καὶ περὶ μὲν τῶν
ἰδίων ἔχων ἔτι πολλὰ λέγειν εἰάσω· περὶ δ' ὧν οἴσετε τὴν
ψῆφον νυνὶ καὶ περὶ ὧν οὗτος δημοσίᾳ πεπολιτευμένος
οὐκ ὀλίγα ὑμᾶς ἔβλαψεν, ἃ μοι παραλιπεῖν Εὐκτήμων
ἐδόκει, βέλτιον δ' ὑμᾶς ἀκοῦσαι, ταῦτα διεξελθεῖν ἐν βρα-
χέσι πειράσομαι. ἐγὼ γὰρ εἰ μὲν ἐώρων τινὰ ἁπλῆν
τούτῳ περὶ ὧν φεύγει [b] πρὸς ὑμᾶς οὖσαν ἀπολογίαν, οὐκ
ἂν ἐποιούμην περὶ [c] αὐτῶν μνείαν οὐδεμίαν. νῦν δ' οἶδα
σαφῶς ὅτι [d] οὗτος ἁπλοῦν μὲν οὐδὲ δίκαιον οὐδὲν ἂν εἰπεῖν
ἔχοι, ἐξαπατᾶν δ' ὑμᾶς πειράσεται [e] πλάττων καὶ πα-
ράγων πρὸς ἕκαστα τούτων κακούργους λόγους. ἔστι
γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τεχνίτης τοῦ λέγειν, καὶ πάντα
τὸν βίον ἰσχόλακεν [f] ἐνὶ τούτῳ. ὑπὲρ οὖν τοῦ μὴ παρα-
κρουσθέντας ὑμᾶς ἐναντία μὲν τοῖς [g] ὁμωμοσμένοις πεισ-
θῆναι ψηφίσασθαι, ἀφεῖναι δὲ τοῦτον ὃν ὑμῖν πολλῶν
[h] ἕνεκα ἄξιον κολάσαι, προσέχετε τὸν νοῦν οἷς ἐρῶ, ἵν'

[q] ἂν post γὰρ om. k.
[r] που om. k.
[s] τοιοῦτον] τοιοῦτο Y.O.k.r.s. τὸ τοιοῦτο F. S.
[t] μὴ] οὐ k.
[u] λαβεῖν] μεταλαβεῖν k. r.
[x] τοῦτον] τοῦτων F. τούτους v. τούτους O. k. r.
[y] τουτονὶ] τοῦτον F.S.Y.O.s.t.v.
[z] πειράσομαι ante μεθ' ponit k.
[a] ἀμύνεσθαι χρόνον] χρόνον ἀμύνεσθαι t. v.
[b] πρὸς ὑμᾶς οὖσαν] προσοῦσαν k.
[c] αὐτῶν] αὐτῶν r. αὐτῆς ceteri.
[d] οὗτος] οὗτος k.
[e] πλάττων] πλήττων r.
[f] ἐνὶ Reiskius: libri ἐν.
[g] ὁμωμοσμένοις] ὁμωσμένοις Y. O. s.
[h] ἕνεκα] εἵνεκα F.

ἀκούσαντες ἐμοῦ πρὸς [i]ἕκαστον τῶν ὑπὸ τούτου ῥηθησομένων [k]ἔχηθ' ὑπολαμβάνειν ἃ δεῖ.

7 Ἔστι γὰρ εἷς μὲν [l]ὃν οἴεται τεχνικῶς ἔχειν αὐτῷ, λόγος, περὶ τοῦ ἀπροβουλεύτου. νόμος ἐστί, φησίν, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι δωρεᾶς, διδόναι τὸν δῆμον τὴν δωρεὰν [m]αὐτῇ. ταῦτ' ἐπήρετο, φησίν, ὁ ἐπιστάτης, διεχειροτόνησεν ὁ δῆμος, ἔδοξεν. οὐδὲν δεῖ, φησί, προβουλεύματος ἐνταῦθα· κατὰ γὰρ [n]νόμον ἦν τὰ γινόμενα. ἐγὼ δ' [o]αὐτὸ τοὐναντίον [p]οἶμαι, νομίζω δὲ καὶ ὑμῖν συνδόξειν, περὶ τούτων τὰ προβουλεύματα ἐκφέρειν μόνων, 595
περὶ ὧν κελεύουσιν οἱ νόμοι, ἐπεὶ περὶ ὧν [q]γε μὴ κεῖνται νόμοι, οὐδὲ γράφειν τὴν ἀρχὴν [r]προσήκει οὐδὲ ἓν δήπου.

8 Φήσει τοίνυν τοῦτον [s]ἁπάσας τὸν τρόπον εἰληφέναι τὰς βουλάς, [t]ὅσαι πώποτ' ἔχουσι παρ' ὑμῶν δωρεάν, καὶ οὐδεμιᾷ γεγενῆσθαι προβούλευμα πώποτε. ἐγὼ [u]δ' [x]οἶμαι μὲν οὐχὶ λέγειν αὐτὸν [y]ἀληθῆ, μᾶλλον δὲ οἶδα σαφῶς· οὐ μὴν ἀλλ' εἰ τοῦτο [z]τοιοῦτ' ἐστὶ τὰ μάλιστα, ὁ νόμος δὲ λέγει τἀναντία, οὐχ, ὅτι πολλάκις ἡμάρτηται δήπου πρότερον, διὰ τοῦτ' ἐπεξαμαρτητέον ἐστὶ καὶ νῦν, ἀλλὰ τοὐναντίον ἀρκτέον, ὡς ὁ νόμος κελεύει, τὰ τοιαῦτα

9 ποιεῖν ἀναγκάζειν ἀπὸ σοῦ πρώτου. σὺ [a]δὴ μὴ λέγε ὡς γέγονε [b]τοῦτο πολλάκις, ἀλλ' ὡς οὕτω προσήκει γίγνε-

[i] ἕκαστον] ἕκαστα k.
[k] ἔχηθ'] ἔχοιθ' r. ἔχοιτε s.
[l] ὃν] ἂν Reiskius.
[m] αὐτῇ] αὐτήν Y. O. s.
[n] νόμον] τὸν νόμον k. r. s.
[o] αὐτὸ] αὖ k. r.
[p] οἶμαι F.Y.O.k.t.v. et correctus r. vulg. οἴομαι.
[q] γε om. Y. O. s. ante ὧν ponit k.
[r] προσήκει] προσῆκεν k. r.
[s] ἁπάσας ante τοῦτον ponunt F. t. v. post τρόπον k.
[t] ὅσαι] ὅσοι t.
[u] δ'] γὰρ r.
[x] οἶμαι] οἴομαι S.
[y] ἀληθῆ] ἀληθῆ ἐᾶν r. ἀλήθειαν F. S. Y. O. s. t. v.
[z] τοιοῦτ'] τοιοῦτον k. r.
[a] δὴ] δὲ s. cum Gellio 10, 19. δὲ δὴ r.
[b] τοῦτο—ὡς οὕτω προσήκει] οὕτω—ὡς προσήκει Gellius.

σθαι. οὐ γὰρ εἴ τι πώποτε [c] μὴ κατὰ τοὺς νόμους 15
ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' [d] ἀποφύγοις ἂν
δικαίως, ἀλλὰ πολλῷ μᾶλλον ἀλίσκοιο· ὥσπερ γὰρ εἴ
τις ἐκείνων προήλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν
σὺ [e] νῦν [f] δίκην δῷς, ἄλλος οὐ γράψει.

10 Περὶ τοίνυν τοῦ νόμου τοῦ διαρρήδην οὐκ ἐῶντος ἐξεῖναι 20
μὴ ποιησαμένῃ τῇ βουλῇ τὰς τριήρεις αἰτῆσαι τὴν δωρεάν,
ἄξιόν ἐστιν ἀκοῦσαι τὴν ἀπολογίαν ἣν ποιήσεται, καὶ θε-
ωρῆσαι τὴν ἀναίδειαν τοῦ τρόπου δι' ὧν ἐγχειρεῖ λέγειν.
ὁ νόμος, φησίν, οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεάν,
ἐὰν μὴ ποιήσηται τὰς τριήρεις· ὁμολογῶ. δοῦναι δέ [g] γε 25
[h] οὐδαμοῦ, φησί, [i] κωλύει τὸν δῆμον. ἐγὼ [k] δ' εἰ μὲν
ἔδωκ' αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα· εἰ [l] δὲ μὴ πεποίη-
μαι μνείαν περὶ τῶν νεῶν ἐν ὅλῳ τῷ ψηφίσματι, ἀλλ'
ἕτερ' ἄττα λέγω δι' ἃ τὴν βουλὴν στεφανῶ, πῶς παρὰ 596
11 τὸν νόμον εἴρηκα; ἔστι δὲ πρὸς ταῦτ' οὐ χαλεπὸν τὰ δι-
καια ὑμῖν ἀντειπεῖν, ὅτι πρῶτον μὲν οἱ προεδρεύοντες τῆς
βουλῆς καὶ ὁ ταῦτ' ἐπιψηφίζων [m] ἐπιστάτης ἠρώτων καὶ
διαχειροτονίαν ἐδίδοσαν, ὅτῳ δοκεῖ δωρεᾶς ἀξίως ἡ βουλὴ 5
βεβουλευκέναι καὶ ὅτῳ μή· καίτοι τούς γε μὴ αἰτοῦντας
μηδὲ [n] λαβεῖν ἀξιοῦντας τὴν ἀρχὴν οὐδ' ἐπερωτᾶν [o] προσ-
12 ἦκεν. πρὸς τοίνυν τούτοις, ἔστιν ἃ Μειδίου κατηγορούντος
τῆς βουλῆς καὶ ἄλλων τινῶν, ἀναπηδῶντες οἱ βουλευταὶ 10
ἐδέοντο μὴ σφᾶς ἀφελέσθαι τὴν δωρεάν. καὶ ταῦτα οὐ

[c] μὴ ante κατὰ om. pr. k.

[d] ἀποφύγοις] ἀποφεύγοις r. ἀποφεύγοις S. Y. O.

[e] νῦν δίκην] δίκην νῦν t.

[f] δίκην δῷς] δλῷς Gellius. Conf. Aristocrat. 117.

[g] γε om. F. S. Y. t. v.

[h] οὐδαμοῦ φησί] φησὶν οὐδαμοῦ t.

[i] κωλύει] κωλύειν S. Y. O. t. v.

[k] δ' εἰ] Malim δὴ εἰ.

[l] δὲ] δὴ F. S. Y. O. r. s. t. v.

[m] ἐπιστάτης] ἐπὶ ταύτης O.

[n] λαβεῖν ἀξιοῦντας] ἀξιοῦντας λαβεῖν F. t. v.

[o] προσῆκε] προσήκει k. προσῆκεν οὐδὲ ἐν δήπου S.

παρ' ἐμοῦ δεῖ πυθέσθαι τοὺς δικάζοντας ὑμᾶς, ἀλλ' αὐτοὶ παρόντες [p] ἴστε ἐν τῷ δήμῳ γενόμενα. ὥσθ' ὅταν μὲν μὴ φῇ τὴν βουλὴν αἰτεῖν, ταῦθ' ὑπολαμβάνετε· ὅτι δὲ οὐδὲ τὸν δῆμον ἐᾷ διδόναι μὴ [q] ποιησαμένη τὰς ναῦς ὁ νό- 15
13 μος, καὶ τοῦτ' ἐπιδείξω. διὰ ταῦτα γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τοῦτον ἔχει τὸν τρόπον ὁ νόμος, μὴ ἐξεῖναι τῇ βουλῇ μὴ ποιησαμένῃ τὰς τριήρεις αἰτῆσαι τὴν δωρεάν, ἵνα μηδὲ πεισθῆναι μηδ' ἐξαπατηθῆναι γένοιτ' ἐπὶ τῷ δήμῳ. οὐ 20 γὰρ ᾤετο δεῖν ὁ τιθεὶς τὸν νόμον ἐπὶ τῇ τῶν λεγόντων δυνάμει τὸ πρᾶγμα καταστῆσαι, ἀλλ' ὃ δίκαιον ἦν εὑρεῖν ἅμα καὶ συμφέρον τῷ δήμῳ, νόμῳ τετάχθαι. τὰς τριήρεις οὐ πεποίησαι; μὴ τοίνυν αἴτει τὴν δωρεάν. ὅπου δ' αἰτεῖν οὐκ ἐᾷ, πῶς οὐ σφόδρα [r] γε δοῦναι κωλύει; 25
14 [v]Ἄξιον τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι κἀκεῖνο ἐξετάσαι, τί δήποτε, ἂν τἆλλα πάντα ἡ βουλὴ καλῶς βουλεύσῃ καὶ μηδεὶς ἔχῃ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις [s] μὴ ποιήσηται, τὴν δωρεὰν οὐκ ἔξεστιν αἰτῆσαι; εὑρήσετε γὰρ τοῦτο 597
[t] τὸ ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον. οἶμαι γὰρ ἂν μηδένα ἀντειπεῖν, ὡς οὐχ, ὅσα πώποτε τῇ πόλει γέγονεν ἢ νῦν ἔστιν ἀγαθὰ ἢ θάτερα, ἵνα μηδὲν εἴπω φλαῦρον, ἐκ τῆς τῶν [u] τριήρων τὰ μὲν κτήσεως τὰ δ' ἀπουσίας γέγο- 5
15 νεν. οἷον πολλὰ μὲν ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ καὶ [x] καινά· ἃ δ' οὖν πᾶσι μάλιστ' ἀκοῦσαι γνώριμα, τοῦτο μέν, εἰ βούλεσθε, οἱ τὰ προπύλαια καὶ τὸν παρθενῶνα οἰκοδομήσαντες ἐκεῖνοι καὶ [y] τἆλλα ἀπὸ τῶν βαρβάρων 10
ἱερὰ κοσμήσαντες, ἐφ' οἷς φιλοτιμούμεθα πάντες εἰκότως,

[p] ἴστε] ἴστε τὰ F. k. r.
[q] ποιησαμένη] ποιησαμένους F. Y. r. s. t. v.
[r] γε δοῦναι S. Y. O. r. s. vulg. δοῦναί γε.
[s] μὴ] οὐ O.
[t] τὸ om. F. k. r. t. v.
[u] τριήρων] τριηρῶν F. S. Y. O. t.
[x] καινά] νέα k.
[y] τἆλλα] τἆλλα πάντα F. t. v.

16 ἴστε [z γὰρ] δήπου τοῦτο ἀκοῇ, ὅτι τὴν πόλιν ἐκλιπόντες
καὶ καταχλειοθέντες εἰς Σαλαμῖνα, ἐκ τοῦ τριήρεις ἔχειν
πάντα μὲν τὰ σφέτερα [a αὐτῶν καὶ τὴν πόλιν, τῇ ναυ-
μαχίᾳ νικήσαντες, [b ἔσωσαν, πολλῶν δὲ καὶ μεγάλων
ἀγαθῶν τοῖς ἄλλοις Ἕλλησι κατέστησαν αἴτιοι, ὧν οὐδ'
17 ὁ χρόνος τὴν [c μνήμην ἀφελέσθαι δύναται. εἶεν· ἀλλ'
ἐκεῖνα μὲν ἀρχαῖα καὶ παλαιά. ἀλλ' [d ἃ πάντες ἑωρά-
κατε, ἴσθ' ὅτι πρώην Εὐβοεῦσιν ἡμερῶν τριῶν ἐβοηθήσατε
καὶ Θηβαίους ὑποσπόνδους ἀπεπέμψατε. ἆρ' οὖν ταῦτ'
ἐπράξατ' ἂν οὕτως ὀξέως, εἰ μὴ ναῦς εἴχετε [e καινὰς ἐν
αἷς ἐβοηθήσατε; ἀλλ' οὐκ ἂν ἠδύνασθε. ἄλλα πολλὰ
[f ἔχοι τις ἂν εἰπεῖν, ἃ τῇ πόλει γέγονεν ἐκ τοῦ ταύτας
κατεσκευάσθαι καλῶς ἀγαθά. εἶεν· ἐκ δὲ τοῦ κακῶς
18 [g πόσα δεινά; τὰ μὲν πολλὰ ἐάσω· ἀλλ' ἐπὶ τοῦ [h Δε-
κελειικοῦ πολέμου (τῶν γὰρ ἀρχαίων ἔν, ὃ πάντες ἐμοῦ
μᾶλλον ἐπίστασθε, ὑπομνήσω) [i πολλῶν καὶ δεινῶν ἀτυ-
χημάτων συμβάντων τῇ πόλει οὐ πρότερον τῷ πολέμῳ
παρέστησαν, [ii πρὶν τὸ ναυτικὸν αὐτῶν ἀπώλετο. καὶ τί 598
δεῖ τὰ παλαιὰ λέγειν; τὸν τελευταῖον γὰρ ἴστε, τὸν πρὸς
Λακεδαιμονίους, πόλεμον, ὅτε μὲν ναῦς οὐκ ἐδοκεῖτε
ἀποστεῖλαι δυνήσεσθαι, πῶς διέκειθ' ἡ πόλις; ἴστε ὀρό-
βους ὄντας ὠνίους. ἐπειδὴ δ' ἀπεστείλατε, εἰρήνης ἐτύ-
19 χετε ὁποίας τινὸς ἠβούλεσθε. ὥστε δικαίως, ὦ ἄνδρες
Ἀθηναῖοι, τηλικαύτην ἐχουσῶν ῥοπὴν ἐφ' ἑκάτερα τῶν τρι-
ήρων, τοῦτον ὅρον τεθείκατε τῇ βουλῇ, πότερ' αὐτὴν δεῖ

[z] [γὰρ] om. k. r.
[a] αὐτῶν] ἑαυτῶν r.
[b] ἔσωσαν] ἐσώθησαν Y. O.
[c] μνήμην] μνείαν μνήμην Y. μνείαν O. s.
[d] ἃ] ἃ δὲ k. r.
[e] καινὰς] κενὰς k.
[f] ἔχοι τις ἂν] ἄν τις ἔχοι k.
[g] πόσα om. s.
[h] Δεκελειικοῦ] δεκελικοῦ k.
[i] πολλῶν] πολλῶν γὰρ F. πολλῶν τε t. v.
[ii] πρὶν] πρὶν ἢ F. k. r. t. v. Conf. Anecd. p. 164, 9.

[k] λαβεῖν τὴν δωρεὰν ἢ οὔ. εἰ γὰρ [l] πάντα τἆλλα [m] διοικήσειε καλῶς, δι' ὧν δὲ [n] τό τ' ἐξ ἀρχῆς ταῦτ' ἐκτησάμεθα καὶ νῦν σώζομεν, ταύτας μὴ ποιήσαιτο, τὰς τριήρεις λέγω, οὐδὲν ἐκείνων ὄφελος· τὴν γὰρ τῶν ὅλων σωτηρίαν πρῶτον ὑπάρχειν δεῖ παρεσκευασμένην τῷ δήμῳ. 20 οὗτος τοίνυν εἰς τοῦτ' ἐλήλυθε τοῦ νομίζειν αὐτῷ καὶ λέγειν καὶ γράφειν ἐξεῖναι πᾶν ὅ τι ἂν βούληται, ὥστε βεβουλευκυίας μὲν τἆλλα ὃν τρόπον ὑμεῖς ἀκούετε τῆς βουλῆς, οὐ πεποιημένης δὲ τὰς τριήρεις, γέγραφε δοῦναι τὴν δωρεάν.

21 Καὶ ταῦτα [o] μὲν ὡς [p] οὐ παρὰ τὸν νόμον ἐστίν, οὔτ' ἂν [q] οὗτος ἔχοι λέγειν οὔθ' ὑμεῖς πεισθείητε [r] ἄν· ἀκούω δ' αὐτὸν [s] τοιοῦτον [t] ἐρεῖν τινὰ ἐν ὑμῖν λόγον, ὡς οὐχ ἡ βουλὴ γέγονεν αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ' ὁ τῶν τριηροποιῶν ταμίας ἀποδρὰς ᾤχετο ἔχων πένθ' ἡμι- 22 τάλαντα, καὶ τὸ πρᾶγμα ἀτύχημα συμβέβηκεν. ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο θαυμάζω, εἰ στεφανοῦν ἐπὶ τοῖς [u] ἠτυχημένοις ἠξίου τὴν βουλήν· τῶν κατορθουμένων γὰρ [x] ἔγωγε ἡγούμην ἔργων τὰς τοιαύτας ὡρίσθαι τιμάς· [y] ἔπειτα κἀκεῖνο ἔτι βούλομαι φράσαι πρὸς ὑμᾶς. οὐ 23 φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, ὡς [z] οὐ παρὰ τὸν 599 νόμον ἡ δωρεὰ δέδοται, καὶ ὡς οὐ διὰ τὴν βουλὴν οὐκ εἰσὶν αἱ τριήρεις. εἰ μὲν γὰρ διδόναι καὶ μὴ [a] ποιησαμένῃ

[k] λαβεῖν τὴν δωρεὰν] τὴν δωρεὰν λαβεῖν k.
[l] πάντα τἆλλα] τὰ ἄλλα πάντα k.
[m] διοικήσειε] διοικήσει S.Y.O.k. r. s.
[n] τό τ' ἐξ ἀρχῆς ταῦτ'] ταῦτα ἐξ ἀρχῆς k.
[o] μὲν ὡς] ὡς μὲν k.
[p] οὐ om. t.
[q] οὗτος] αὐτὸς F. t. v.
[r] ἄν post πεισθείητε om. S. Y. O. r.
[s] τοιοῦτον] καὶ τοιοῦτον k. r.
[t] ἐρεῖν τινὰ] τινα ἐρεῖν k.
[u] ἠτυχημένοις] ἠτυχησομένοις t.
[x] ἔγωγε ἡγούμην ἔργων] ἔργον ἔγωγε ἡγοῦμαι k.
[y] ἔπειτα] ἔπειτα δὲ S. k. r.
[z] οὐ παρὰ] καὶ παρὰ pr. S. καὶ οὐ παρὰ r. παρὰ t. v.
[a] ποιησαμένῃ] ποιησαμένους r.

προσηκει, τι [b] τοῦτο δεῖ λέγειν, δι' ὅντινα δήποτε οὐ πεποίηνται; εἰ δ' οὐκ [c] ἔξεστι, τί μᾶλλον, ἂν διὰ τὸν δεῖνα ἢ τὸν δεῖνα ἐπιδείξῃ μὴ πεποιημένας, ἐκεινῃ [d] προσῆκε
24 λαβεῖν; χωρὶς δὲ τούτων ἔμοιγε δοκοῦσιν αἱρεσιν ὑμῖν οἱ τοιοῦτοι λόγοι διδοναι, πότερ' [e] οἴεσθε δεῖν προφάσεις καὶ λόγους ἀκούειν τῶν ἀδικούντων ὑμᾶς ἢ ναῦς κεκτῆσθαι. εἰ μὲν γὰρ τούτου ταῦτ' ἀποδέξεσθε, ἔσται δῆλον ἁπάσαις ταῖς βουλαῖς ὅτι δεῖ πρόφασιν [f] πιθανὴν ἐξευρεῖν πρὸς ὑμᾶς, οὐχὶ [g] τριήρεις ποιήσασθαι· ἐκ δὲ τούτου τὰ μὲν χρήματα ἀναλωθήσεται, ναῦς δὲ οὐχ ἕξετε ὑμεῖς.
25 ἐὰν δὲ, ὡς ὁ νόμος λέγει καὶ δεῖ τοὺς ὀμωμοκοτας, πικρῶς καὶ ἁπλῶς τὰς μὲν προφάσεις ἀνέλητε, φανῆτε δὲ ἀφῃρημένοι τὴν δωρεὰν ὅτι τὰς ναῦς οὐ [h] πεποιηνται, πάντες ὦ ἄνδρες Ἀθηναῖοι πεποιημένας ὑμῖν παραδώσουσι τὰς τριήρεις, παντα τἆλλα παρ' ὑμῖν ἐωρακότες ἀσθενέστερα τοῦ νόμου γεγενημένα. ὅτι τοινυν οὐδ' αἴτιος ἄλλος
26 οὐδεὶς ἀνθρώπων [i] ἐστὶ τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, [k] τοῦτο σαφῶς [l] ὑμῖν ἐπιδείξω· ἀνελοῦσα γὰρ ἡ βουλὴ τὸν νόμον τοῦτον ἐχειροτόνησεν [m] αὐτήν.

Ἔτι τοινυν ἐπιχειρεῖ λέγειν περὶ τοῦ τῆς ἐταιρήσεως νόμου, ὡς ὑβρίζομεν ἡμεῖς καὶ βλασφημίας οὐχὶ προσηκούσας κατ' αὐτοῦ ποιούμεθα. καὶ [n] φησὶ δεῖν ἡμᾶς, εἴπερ ἐπιστεύομεν εἶναι ταῦτ' ἀληθῆ, πρὸς τοὺς θεσμοθέτας ἁπαντᾶν, ἵν' ἐκεῖ περὶ χιλίων ἐκινδυνεύομεν, εἰ καταψευ-

[b] τοῦτο λεῖ] λεῖ τοῦτο k.
[c] ἔξεστι] ἔξεστιν αἰτεῖν F.
[d] προσῆκε] προσῆκε r. προσήκει F. k.
[e] οἴεσθε] οἴεσθαι v.
[f] πιθανὴν] ἱκανὴν s. πρόφασιν r.
[g] τριήρεις] τριήρεις καινὰς k. r.
[h] πεποίηνται] πεποίηται v.
[i] ἐστὶν ante αἴτιος ponunt F. k. t. v.
[k] τοῦτο] καὶ τοῦτο F. k. r. t. v.
[l] ὑμῖν om. k.
[m] αὐτήν] αὐτῇ F. Y. O. t. et correctus k. αὐτῇ v. Conf. Anecd. p. 397. 3.
[n] φησὶ] φήσει r.

δόμενοι ταῦτ' ἐφαινόμεθα· νῦν δὲ φεναxίζειν αἰτίας καὶ λοιδορίας κενὰς ποιουμένους, καὶ ἐνοχλεῖν οὐ δικασταῖς
27 [o]τούτων οὖσιν ὑμῖν. ἐγὼ δ' [p]οἶμαι δεῖν ὑμᾶς πρῶτον μὲν ἐκεῖνο [q]λογίζεσθαι παρ' ὑμῖν αὐτοῖς, ὅτι πάμπολυ λοιδορία τε καὶ αἰτία κεχωρισμένον ἐστὶν ἐλέγχου. αἰτία μὲν γάρ ἐστιν, ὅταν τις ψιλῷ χρησάμενος λόγῳ μὴ παράσχηται πίστιν ὧν λέγει, ἔλεγχος δέ, ὅταν [r]ὧν ἂν [s]εἴπῃ
28 τις καὶ τἀληθὲς ὁμοῦ δείξῃ. ἔστι τοίνυν ἀνάγκη τοὺς ἐλέγχοντας ἢ τεκμήρια δεικνύναι δι' ὧν ἐμφανιοῦσι τὸ πιστὸν ὑμῖν, ἢ τὰ εἰκότα φράζειν, ἢ μάρτυρας παρέχεσθαι· οὐ γὰρ οἷόν τ' ἐνίων αὐτόπτας [t]ὑμᾶς [u]ἐστὶ [x]καταστῆσαι, ἀλλ' [y]ἐὰν [z]τις ἐπιδεικνύῃ τι τούτων, ἱκανὸν νομίζετε ἔλεγχον ἔχειν ὑμεῖς εἰκότως τῆς ἀληθείας ἑκάστοτε.
29 ἡμεῖς τοίνυν οὐκ ἐκ λόγων εἰκότων οὐδ' ἐκ τεκμηρίων, ἀλλὰ παρ' οὗ μάλιστα δίκην ἔστι λαβεῖν τούτῳ, ταῦτ' ἐπιδείκνυμεν, [a]ἄνδρα παρεσχηκότα γραμματεῖον, ἐν ᾧ τὰ τούτῳ βεβιωμένα ἔνεστιν, ὃς αὐτὸν ὑπεύθυνον ποιήσας
30 μαρτυρεῖ ταῦτα. ὥσθ' ὅταν μὲν λοιδορίαν [b]ταῦτα καὶ αἰτίαν εἶναι φῇ, ὑπολαμβάνετε ὡς ταῦτα μέν ἐστιν ἔλεγχος, ἃ δ' οὗτος ποιεῖ, ταῦτα [c]λοιδορία καὶ αἰτία· ὅταν δ' [d]ὅτι πρὸς τοὺς θεσμοθέτας προσῆκεν [e]ἐπαγγέλλειν ἡμῖν, ἐκεῖνο ὑπολαμβάνετε, ὅτι [f]καὶ τοῦτο ποιήσομεν καὶ

[o] τούτων] τοῖς t.
[p] οἶμαι] οἴομαι S.
[q] λογίζεσθαι] λογίζεσθαι r. λογίσασθαι k.
[r] ὧν S. k. r. vulg. οἷς.
[s] εἴπῃ] εἴποι k. r. s.
[t] ὑμᾶς om. S.
[u] ἔστι om. pr. Y.
[x] καταστῆσαι] καταστῆναι k. καταστῆναι r.
[y] ἐὰν] ὅταν F. r. t. v.
[z] τις ἐπιδεικνύῃ] ἐπιδεικνύῃ τις S.
[a] ἄνδρα παρεσχηκότα] Si quid mutandum, malim ἀνδρὸς παρεσχηκότος.
[b] ταῦτα καὶ αἰτίαν] καὶ αἰτίαν ταῦτα k.
[c] λοιδορία] λοιδορία τε k. r.
[d] ὅτι] ὅτε Y. O. s.
[e] ἐπαγγέλλειν ἡμῖν] ἀπαγγέλλειν ἡμῖν F. r. t. v. ἡμῖν ἐπαγγέλλειν k. r.
[f] καὶ post ὅτι om. k.

31 νῦν προσηκόντως περὶ τοῦ [g] νόμου λέγομεν. εἰ μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα ἀγωνιζομένου σου ταῦτα κατηγορεῖμεν, δικαίως ἂν ἠγανάκτεις· εἰ δ' ὁ μὲν νῦν ἐνεστηκὼς ἀγών ἐστι παρανόμων, οἱ νόμοι δ' οὐκ ἐῶσι λέγειν οὐδὲ τὰ ἔννομα τοὺς οὕτω βεβιωκότας, ἡμεῖς δ' ἐπιδείκνυμεν οὐ μόνον εἰρηκότα αὐτὸν παράνομα ἀλλὰ καὶ βεβιωκότα παρανόμως, πῶς οὐχὶ προσήκει λέγειν περὶ τούτου τοῦ νόμου, δι' οὗ ταῦτα ἐλέγχεται;

32 Καὶ μὴν κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι τοὺς νόμους [b] ὁ τιθεὶς τούτους Σόλων καὶ τῶν ἄλλων τοὺς πολλούς, οὐδεν ὅμοιος ὢν τούτῳ νομοθέτης, [i] οὐχ ἑνὶ [k] ἔδωκε τρόπῳ περὶ τῶν ἀδικημάτων ἑκάστων [l] λαμβάνειν δίκην τοῖς βου-
33 λομένοις παρὰ τῶν ἀδικούντων, ἀλλὰ πολλαχῶς. ἤδει γὰρ οἶμαι τοῦθ', ὅτι τοὺς ἐν τῇ πόλει [m] γενέσθαι πάντας [n] ὁμοίους ἢ [o] δεινοὺς ἢ θρασεῖς ἢ μετρίους, οὐκ ἂν εἴη. εἰ μὲν οὖν, ὡς τοῖς μετρίοις δίκην ἐξαρκέσει λαβεῖν, οὕτω τοὺς νόμους θησει, μετ' ἀδείας ἔσεσθαι πολλοὺς πονηροὺς ἡγεῖτο, εἰ δ' ὡς τοῖς θρασέσι καὶ δυνατοῖς λέγειν, τοὺς ἰδιώτας οὐ δυνήσεσθαι τὸν αὐτὸν [p] τούτοις τρόπον λαμβά-
34 νειν δίκην. δεῖν [q] δ' ὤετο μηδένα ἀποστερεῖσθαι τοῦ δίκης τυχεῖν, ὡς ἕκαστος δύναται. πῶς οὖν ἔσται τοῦτο; ἐὰν πολλὰς ὁδοὺς [r] δῷ διὰ τῶν νόμων ἐπὶ τοὺς ἠδικηκότας, οἷον τῆς κλοπῆς. ἔρρωσαι καὶ σαυτῷ πιστεύεις; ἄπαγε· ἐν χιλίαις δ' ὁ κίνδυνος. ἀσθενέστερος εἶ; τοῖς ἄρχουσιν ἐφηγοῦ· τοῦτο ποιήσουσιν ἐκεῖνοι. φοβῇ καὶ τοῦτο; γρά-

ὑμῶν

[g] νόμου] λόγου r.

[h] ὁ τιθεὶς τούτους] τούτους ὁ τιθεὶς k.

[i] οὐχ ἑνὶ] αἰδοῖ O.

[k] ἔδωκε F.S.Y.r. vulg. δίδωκε.

[l] λαμβάνειν δίκην] δίκην λαμβάνειν k. λαθεῖν δίκην F. t. v.

[m] γενέσθαι post ὁμοίους ponit k.

[n] ὁμοίους] ὁμοίως Y. O. r. s.

[o] δεινοὺς] δειλοὺς r.

[p] τούτοις τρόπον] τρόπον τούτοις k. τοῦτον τρόπον r.

[q] δ' om. r.

[r] δῷ] διδῷ k. r.

35 φου. [s] καταμέμφῃ σεαυτὸν καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἐκτῖσαι; δικάζου κλοπῆς πρὸς διαιτητήν, καὶ οὐ κινδυνεύσεις. [οὐδέτερον βούλει τούτων; γράφου. κατοκνεῖς καὶ τοῦτο; ἐφηγοῦ.] τούτων οὐδέν ἐστι τὸ αὐτό. τῆς ἀσεβείας κατὰ [t] ταὐτὰ ἔστιν ἀπάγειν, γράφεσθαι, δικάζεσθαι πρὸς Εὐμολπίδας, φράζειν πρὸς τὸν βασιλέα.

36 περὶ τῶν ἄλλων ἁπάντων τὸν αὐτὸν τρόπον σχεδόν. εἰ [u] δή τις, ὡς μὲν οὐχὶ κακοῦργός ἐστι, μὴ λέγοι, ἢ ὡς οὐκ ἀσεβής, ἢ ὅ τι δήποτ' εἴη δι' ὃ κρίνοιτο, διὰ ταῦτα δ' ἐκφεύγειν [x] ἀξιοίη, [y] εἰ μὲν ἀπηγμένος εἴη, διότι πρὸς διαιτητὴν ἐξῆν αὐτῷ λαχεῖν καὶ γράφεσθαι χρῆν, εἰ δὲ πρὸς [z] διαιτητῇ [a] φεύγοι, ὅτι [b] χρῆν σε ἀπάγειν, ἵν' ἐκινδύνευες περὶ χιλίων, γέλως ἂν εἴη δήπουθεν. οὐ γὰρ τόν γε μηδὲν πεποιηκότα δεῖ περὶ [c] τοῦ τρόπον ὄντινα χρὴ διδόναι δίκην ἀντιλέγειν, ἀλλ' ὡς οὐ πεποίηκεν [d] ἐπιδεικνύναι.

37 τὸν αὐτὸν δὴ τρόπον, Ἀνδροτίων, καὶ σὺ μὴ διὰ ταῦτα οἴου σοι προσήκειν μὴ [e] δοῦναι δίκην, εἰ γράφεις ἡταιρηκώς, ὅτι καὶ πρὸς τοὺς θεσμοθέτας ἔσθ' ἡμῖν [f] ἐπαγγελία· ἀλλ' ἦ δεῖξον οὐ πεποιηκότα ταῦτα σαυτόν, ἢ δίκην ὑπέχε [g] ὧν γέγραφάς τι τοιοῦτος ὤν· οὐ γὰρ ἔξεστί σοι. εἰ δέ σε μὴ πάντας, ὅσους [h] οἱ νόμοι διδόασι, τρόπους τιμωρούμεθα, χάριν ἡμῖν ὧν [i] παραλείπομεν ἐκείνων ἔχε, μὴ διὰ ταῦτ' ἀξίου [k] μηδένα [l] τρόπον δοῦναι δίκην.

[s] καταμέμφῃ] καταμέμφου t.
[t] ταυτὰ] ταῦτα F.
[u] δῇ] δὴ F.
[x] ἀξιοίη] ἀξιοῖ O.
[y] εἰ μὲν] καὶ εἰ μὲν F.Y.O.s.t.v.
[z] διαιτητῇ] διαιτητὴν k. t.
[a] φεύγοι] φεύγειν v.
[b] χρῆν] χρὴ F. ἐχρῆν S.Y.O.r.s.
[c] τοῦ τρόπον correctus v. τὸν τρόπον F. ceteri τὸν τρόπον.
[d] ἐπιδεικνύναι] ἀποδεικνύναι t.
[e] δοῦναι] διδόναι k. et γρ. r.
[f] ἐπαγγελία] ἀπαγγελία v.
[g] ἂν S. r. οὐ γρ. r. ceteri εἰ.
[h] οἱ νόμοι διδόασι] διδόασιν οἱ νόμοι k.
[i] παραλείπομεν] παρελίπομεν k.
[k] μηδένα] μηδὲ καθ' ἕνα F.k.r.t.v.
[l] τρόπον δοῦναι δίκην] δοῦναι τρόπον δίκην Y. O. τρόπον δίκην διδόναι k. r.

38 Ἄξιον τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ τὸν θέντα τὸν νόμον
ἐξετάσαι Σολωνα, καὶ θεάσασθαι ὅσην πρόνοιαν ἐποιεῖτο
ἐν ἅπασιν οἷς ἐτίθει νόμοις τῆς πολιτείας, καὶ ὅσῳ περὶ
τούτου μᾶλλον [m] ἐσπούδαζεν [n] ἢ περὶ τοῦ πράγματος
[o] αὐτᾶ οὗ τιθειη τὸν νόμον. πολλαχόθεν μὲν οὖν ἄν τις
ἴδοι τοῦτο, οὐχ ἥκιστα δ' ἐκ τούτου τοῦ [p] νόμου, μήτε λέ-
39 γειν μήτε γράφειν ἐξεῖναι τοῖς [q] ἑταιρηκόσιν. ἑώρα γὰρ
[r] ἐκεῖνο, ὅτι τοῖς πολλοῖς ὑμῶν ἔξον λέγειν οὐ λέγετε, ὥστε
τοῦτό [s] γε οὐδὲν ἡγεῖτο βαρύ, [t] καὶ πόλλ' ἂν εἶχεν, εἴγε
κολάζειν ἐβούλετο [u] τούτους, χαλεπώτερα θεῖναι. ἀλλ' οὐ
τοῦτ' ἐσπούδασεν, ἀλλὰ ταῦτα ἀπεῖπεν ὑπὲρ ὑμῶν καὶ τῆς
πολιτειας. ᾔδει γάρ, ᾔδει τοῖς αἰσχρῶς βεβιωκόσιν ἁπα-
σῶν οὖσαν ἐναντιωτάτην πολιτείαν, ἐν ᾗ πᾶσιν ἔξεστι λέγειν 603
40 τἀκείνων ὀνείδη. ἔστι δ' αὕτη τίς; δημοκρατία. οὔκουν
ἐνόμιζεν ἀσφαλές, εἴποτε συμβήσεται γενέσθαι συχνοὺς
ἀνθρώπους κατὰ τοὺς αὐτοὺς χρόνους [x] εἰπεῖν μὲν δεινοὺς
καὶ θρασεῖς, τοιούτων δ' ὀνειδῶν καὶ κακῶν μεστούς·
πολλὰ γὰρ ἂν τὸν δῆμον ὑπ' αὐτῶν ὑπαχθέντα ἐξαμαρ-
τεῖν, κἀκείνους ἤτοι καταλῦσαί [y] γ' ἂν πειράσθαι τὸ πα-
ράπαν τὸν δῆμον (ἐν γὰρ ταῖς ὀλιγαρχίαις, οὐδ' ἂν ὦσιν
ἔτ' Ἀνδροτιωνός [z] τινες αἴσχιον βεβιωκότες, [a] οὐκ ἔστι λέ-
γειν κακῶς τοὺς ἄρχοντας) ἢ προάγειν ἂν ὡς πονηροτά-
41 τους [b] εἶναι, ἵν' ὡς ὁμοιότατοι σφίσιν ὦσι. τὴν οὖν ἀρχὴν
[c] τοῖς τοιούτοις ἀπεῖπε μὴ μετέχειν τοῦ συμβουλεύειν,

[m] ἐσπούδαζεν] ἐσπούδασεν k.
[n] ἢ om. Y. s.
[o] αὐτοῦ om. k. r.
[p] νόμου] νόμου τοῦ r. et rec. F. S. νόμου τοῦ κελεύοντος margo k.
[q] ἑταιρηκόσιν] ἑταιρικόσιν t.
[r] ἐκεῖνο] ἐκεῖνό F. k.
[s] γε om. S. Y. O. s.
[t] καὶ S. ceteri καίτοι.
[u] τούτους] τούτου k.
[x] εἰπεῖν] λέγειν k.
[y] γ'] γ̄ F. Y. τ' s.
[z] τινες] γε s.
[a] οὐκ ἔστι] οὐκ ἔξεστι γρ. S. οὐκ ἔξεστιν οὐκ ἔστι r.
[b] εἶναι] εἶναι τοὺς πολίτας k. r.
[c] τοῖς τοιούτοις ἀπεῖπε] ἀπεῖπε τοῖς τοιούτοις k.

[d] ἵνα μὴ φενακισθεὶς ὁ δῆμος [e] ἐξαμάρτοι μηδέν. ὧν ὀλιγωρήσας ὁ καλὸς κἀγαθὸς οὗτος οὐ μόνον ᾤετο δεῖν λέγειν καὶ γράφειν οὐκ ἐξόν, ἀλλὰ καὶ παρὰ τοὺς νόμους ταῦτα ποιεῖν.

42 Περὶ [f] μὲν [g] τοίνυν τοῦ νόμου, καθ' ὃν ὠφληκότος [h] αὐτοῦ τοῦ πατρὸς τῷ δημοσίῳ χρήματα καὶ οὐκ ἐκτετικότος οὐκ ἔξεστι λέγειν οὐδὲ γράφειν τούτῳ, [i] ταῦτα δίκαια λέγειν ἂν ἔχοιτε εἰκότως, ἐὰν φῇ δεῖν [k] ἡμᾶς [l] αὐτὸν ἐνδεικνύναι. τότε γὰρ [m] τοῦτο] ποιήσομεν, οὐ μὰ Δία οὐχὶ νῦν, ἡνίκα δεῖ σε ἑτέρων ὧν ἀδικεῖς δοῦναι λόγον, ἀλλ' ὅταν ᾖ προσῆκον ἐκ τοῦ νόμου. καὶ νῦν [n] δὲ δείκνυμεν οὐκ ἐῶντα γράφειν σε, οὐδ' ἃ τοῖς ἄλλοις ἔξεστι, τὸν νόμον.

43 ὡς οὖν οὐκ [o] ὤφλεν ὁ πατήρ σου, τοῦτ' ἐπίδειξον, ἢ ὡς οὐκ ἀποδρὰς [p] ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου, ἀλλὰ τὰ χρήματα ἐκτίσας. εἰ δὲ μὴ ταῦθ' ἕξεις [q] δεικνύναι, οὐκ ἐξὸν γέγραφας· κληρονόμον γάρ σε καθίστησιν ὁ νόμος [r] τῆς ἀτιμίας τῆς τοῦ πατρός, ὄντι δ' ἀτίμῳ σοι λέγειν οὐ προσῆκεν οὐδὲ γράφειν. καὶ περὶ μὲν τῶν νόμων, οὓς παρεγραψάμεθα, [s] οἶμαι δεῖν ὑμᾶς, ἄν τι φενακίζειν [t] ἐγχειρῇ καὶ παράγειν οὗτος, ταῦθ' ὑπολαμβάνειν, ἃ δι-
604
εξελήλυθα ἐγώ.

44 Εἰσὶ δὲ καὶ περὶ τῶν ἄλλων αὐτῷ λόγοι πρὸς τὸ φενακίζειν [u] ὑμᾶς εὖ μεμηχανημένοι, περὶ ὧν βέλτιον ὑμᾶς

[d] ἵνα] ἵνα δὴ Y. O. k. r.
[e] ἐξαμάρτοι] ἐξαμάρτῃ F. t. v.
[f] μὲν om. k.
[g] τοίνυν] οὖν F. t. v.
[h] αὐτοῦ] αὐτοῦ F.
[i] ταῦτα] ταυτὰ k.
[k] ἡμᾶς] ὑμᾶς F. S. Y. O. r. t. v.
[l] αὐτὸν om. S.
[m] [τοῦτο] om. F. k.
[n] δὲ post δείκνυμεν ponunt S. r.
[o] ὤφλεν] ὄφελεν r.
[p] ἐξῆλθεν] ᾤχετο k. et γρ. r.
[q] δεικνύναι k. r. vulg. δεικνύειν.
[r] τῆς ἀτιμίας τῆς τοῦ πατρός] τῆς τοῦ πατρὸς ἀτιμίας k.
[s] οἶμαι S. v. vulg. οἴομαι.
[t] ἐγχειρῇ] ἐπιχειρῇ k.
[u] ὑμᾶς] ἡμᾶς r.

προαχοῦσαι. ἔστι γὰρ εἷς [x] αὐτῷ τοιοῦτος, μὴ πεντακοσίους ὑμῶν αὐτῶν [y] ἀφελέσθαι τὴν δωρεὰν μηδὲ [z] ὀνειδεῖ [a] περιβαλεῖν· ἐκείνων ὁ ἀγών, οὐκ ἐμός. ἐγὼ δ' εἰ μὲν ἐμέλλετε ἀφαιρήσεσθαι τούτους μόνον, ἄλλο δὲ μηδέν [b] ὠφελήσειν τὴν πόλιν, οὐδὲν ἂν ὑμᾶς σφόδρα σπουδάζειν ἠξίουν· εἰ δὲ τῷ τοῦτο ποιῆσαι πλείους ἢ μυρίους τοὺς ἄλλους πολίτας βελτίους εἶναι [c] προτρέψετε, πόσῳ κάλλιον τοσούτους παρασκευάσαι χρηστοὺς ἢ [d] πεντακοσίοις
45 ἀδίκως χαρίσασθαι; ὡς δ' [e] οὐδ' ἔστιν ἁπάσης τὸ πρᾶγμα τῆς βουλῆς ἀλλὰ τινῶν, οἵπερ εἰσὶν αἴτιοι τῶν κακῶν, καὶ Ἀνδροτίωνος, ἔχω λέγειν. τῷ [f] γάρ ἐστιν ὀνειδος, εἰ σιωπῶντος αὐτοῦ καὶ μηδὲν γράφοντος, ἴσως [g] δὲ οὐδὲ τὰ πολλὰ εἰς τὸ βουλευτήριον εἰσιόντος, μὴ
46 [h] λάβοι ἡ βουλὴ τὸν στέφανον; οὐδενὶ δήπουθεν, ἀλλὰ τοῦ γράφοντος καὶ πολιτευομένου καὶ πειθοντος ἃ βούλοιτο τὴν βουλήν· διὰ γὰρ τούτους ἀνάξια τοῦ στεφανωθῆναι βεβούλευκεν. οὐ μὴν ἀλλ' εἰ καὶ τὰ μάλιστα πάσης ἔσθ' ὁ ἀγὼν τῆς βουλῆς, ὅσῳ συμφέρει μᾶλλον ὑμῖν καταγνῶσιν ἢ μή, θεάσασθε. εἰ μὲν ἀπογνώσεσθε, ἐπὶ τοῖς λέγουσι τὸ βουλευτήριον ἔσται, ἐὰν δὲ καταγνῶτε, ἐπὶ τοῖς ἰδιώταις· ἑωρακότες γὰρ οἱ πολλοὶ διὰ τὴν τῶν λεγόντων πονηριαν τηνδ' ἀφηρημένην τὴν βουλὴν τὸν στέ- 605
47 φανον, οὐχὶ προήσονται τούτοις τὰς πράξεις, ἀλλὰ τὰ βελτιστ' ἐροῦσιν αὐτοί. εἰ δὲ γενήσεται τοῦτο καὶ τῶν

[x] αὐτῷ] αὐτῶ V. αὐτὸς t.

[y] ἀφελέσθαι] ἀφελεσθαι F. r. ἀφέλησθε k. v. et γρ. S.

[z] ὀνειδεῖ] ὀνειδῆ r.

[a] περιβαλεῖν F. r. περιβάλητε γρ.

[b] ὠφελήσειν] ὠφελήσει pr. Y.

[c] προτρέψετε] προτρέψαι r.

[d] πεντακοσίοις] πεντακισίοις r.

[e] οὐδ'] οὐκ k.

[f] γάρ ἐστιν] γὰρ r.

[g] δὲ om. O.

[h] λάβοι] λάβῃ r. t. v.

[i]ἐθάδων [k]καὶ [l]συνεστηκότων ῥητόρων ἀπαλλαγήσεσθε, ὄψεσθε ὦ ἄνδρες Ἀθηναῖοι πάνθ' ἃ προσήκει γιγνόμενα. ὥστ' εἰ μηδενὸς ἄλλου ἕνεκα, διά [m]γε ταῦτα καταψηφιστέον.

48 Ὃ τοίνυν ἕτερον δεῖ μὴ λαθεῖν ὑμᾶς, ἀκούσατε. ἴσως ἀναβήσεται καὶ συνερεῖ τῇ βουλῇ Φίλιππος καὶ Ἀντιγένης καὶ ὁ ἀντιγραφεὺς καί τινες ἄλλοι, οἵπερ ἐκεῖ δι' ἑαυτῶν εἶχον μετὰ τούτου τὸ βουλευτήριον καὶ τούτων τῶν κακῶν εἰσὶν αἴτιοι. δεῖ δὴ πάντας ὑμᾶς γιγνώσκειν ὅτι τούτοις ἐστὶ μὲν ἡ πρόφασις τῆς συνηγορίας τῇ βουλῇ βοηθεῖν, τῇ δ' ἀληθείᾳ ὑπὲρ αὑτῶν ἀγωνιοῦνται καὶ τῶν εὐ-
49 θυνῶν, ἃς αὐτοὺς προσήκει δοῦναι τῶν πεπραγμένων. ἔχει γὰρ οὕτως. ἐὰν μὲν ἀποψηφίσησθε τὴν γραφὴν ταύτην, ἅπαντές εἰσιν ἀπηλλαγμένοι καὶ δίκην οὐδὲις οὐδεμίαν [n]μὴ δῷ· τίς [o]γὰρ ἔτ' ἂν καταψηφίσαιτο ἐκείνων, τὴν βουλὴν ὑμῶν [p]ἐστεφανωκότων, ἧς οὗτοι προέστασαν; ἐὰν δὲ καταγνῶτε, πρῶτον μὲν τὰ εὔορκα ἔσεσθ' ἐψηφισμένοι, εἶτ' ἐπὶ ταῖς εὐθύναις ἕκαστον τούτων λαμβάνοντες, ὃς μὲν ἂν [q]ὑμῖν ἀδικεῖν δοκῇ, κολάσετε, [r]ὃς δ' ἂν μή, τότε ἀφήσετε. μὴ οὖν ὡς ὑπὲρ τῆς βουλῆς λεγόντων καὶ τῶν πολλῶν ἀκούετε, ἀλλ' ὡς ὑπὲρ [s]αὑτῶν παρακρουομένοις ὀργίζεσθε.

50 Ἔτι τοίνυν Ἀρχίαν οἶομαι τὸν [t]Χολαργέα (καὶ γὰρ

[i] ἐθάδων] ἠθάδων S. ἠθάδων Y. O. s.
[k] καὶ] καὶ τῶν Y. O. s.
[l] συνεστηκότων] παρ συνεστηκότων F. παρεστηκότων r. παρεστηκότων S. Y. O. s. t. v.
[m] γε om. S. Y. O. s.
[n] μὴ δῷ] διδῶ s.
[o] γὰρ] γὰρ ἂν r.
[p] ἐστεφανωκότων] ἐστεφανωμένοι r. κότων
[q] ὑμῖν om. pr. Y.
[r] ὃς δ'] ὃν δ' s.
[s] αὑτῶν] αὐτῆς k.
[t] Χολαργία] σχολαργέα t.

οὗτος ἐβούλευε πέρυσιν) ὡς ἐπιεικῆ δεήσεσθαι καὶ [a]συνερεῖν αὐτοῖς. ἐγὼ δ' οἶμαι δεῖν ὑμᾶς ὠδί πως ἀκούειν Ἀρχίου, ἐρωτᾶν αὐτὸν ταῦτα, ἃ [x]κατηγορηται τῆς βουλῆς, πότερ' αὐτῷ δοκεῖ καλῶς ἔχειν ἢ κακῶς; κἂν μὲν 606
φῇ καλῶς, μηκέτι τὸν νοῦν ὡς [y]ἐπιεικεῖ προσέχειν, ἐὰν δὲ κακῶς, τί [z]δὴ ταῦτ' [a]εἶα φάσκων ἐπιεικὴς εἶναι, πά-
51 λιν αὐτὸν ἐρωτᾶτε. κἂν μὲν [b]ἐναντία λέγειν φῇ, μηδενα δ' αὐτῷ πειθεσθαι, ἄτοπον δήπου νῦν λέγειν ὑπὲρ τῆς τὰ 5
βέλτιστα οὐχὶ πειθομένης [c]ἑαυτῷ βουλῆς· ἐὰν δὲ σιωπᾷν, πῶς οὐκ ἀδικεῖ, εἰ παρὸν ἐξαμαρτάνειν μέλλοντας ἀποτρέπειν τοῦτο μὲν οὐκ ἐποίει, νῦν δὲ λέγειν τολμᾷ ὡς δεῖ τοὺς [d]τοσαῦτα κακὰ εἰργασμένους στεφανῶσαι; 10
52 Οἶομαι τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὅτι ταῦτα πάντ' αὐτῷ διὰ τὰς εἰσπράξεις γέγονεν, ἃς ὑπὲρ ὑμῶν ὀλίγους εἰσπράξαι φήσει πολλὰ χρήματα ἀναιδῶς οὐ τιθέντας. καὶ κατηγορήσει τούτων, πρᾶγμα ῥᾴδιον οἶμαι [c]διαπραξάμενος, τῶν μὴ τιθέντων τὰς εἰσ- 15
φοράς, καὶ φήσει πᾶσαν ἀδειαν ἔσεσθαι τοῦ μὴ τιθέναι
53 τὰς εἰσφοράς, εἰ καταψηφιεῖσθε αὐτοῦ. ὑμεῖς δ' ὦ ἄνδρες Ἀθηναῖοι πρῶτον μὲν ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι οὐ περὶ τούτων δικάσειν ὀμωμόκατε, ἀλλ' εἰ κατὰ τοὺς νόμους τὸ 20
ψήφισμα [f]εἶπεν, εἰθ' ὅτι πανδεινόν ἐστι, κατηγοριαν [g]ποιούμενον ὡς ἀδικοῦσί τινες τὴν πόλιν, αὐτὸν ἀξιοῦν ὧν ἀδικεῖ μειζόνων ὄντων μὴ δοῦναι δίκην· πολὺ γὰρ [h]δήπου

[a] συνερεῖν] συνεργεῖν S. r.
[x] κατηγόρηται] κατηγόρηται r. κατηγορεῖται k.
[y] ἐπιεικεῖ] ἐπιεικῆ S. Y. r.
[z] δὴ ταῦτ'] δῆτα Y. O. s.
[a] εἶα] εἰ δὲ s.
[b] ἐναντία λέγειν S. Y. O. r. s. et correctus v. et γρ. F. vulg. ἀντιλέγειν.
[c] ἑαυτῷ S. Y. O. ἐπ' αὐτῷ s. vulg. αὐτῷ.
[d] τοσαῦτα] τὰ τοσαῦτα F.
[e] διαπραξάμενος in margine F. διαπραξόμενος k. et ipse in margine.
[f] εἶπεν] εἴρηται k. r.
[g] ποιούμενον] ποιούμενος t.
[h] δήπου om. r.

μεῖζόν ἐστ' ἀδίκημα γράφειν παρὰ τοὺς νόμους ἢ τὴν εἰσ-
54 φορὰν μὴ [i]τιθέναι. ὅτι τοίνυν οὐδ' εἰ φανερῶς ἔμελλεν
ἀλόντος τούτου μηδεὶς εἰσοίσειν μηδ' ἐθελήσειν εἰσπράτ-
τειν, οὐδ' οὕτως ἀποψηφιστέον, ἐκ [k]τῶνδε γνώσεσθε. ὑμῖν
παρὰ τὰς εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου, [l]παρ' ἴσως τά-
λαντα τριακόσια [m]ἢ μικρῷ πλείω, [n]ἔλλειμμα τέτταρα
καὶ δέκα ἐστὶ τάλαντα, ὧν [o]ἑπτὰ [p]οὗτος εἰσέπραξεν, 607
ἐγὼ δὲ τίθημι [q]ἅπαντα. ἐπὶ μὲν δὴ τοὺς ἑκόντας τιθέν-
τας οὐ δεῖσθε Ἀνδροτίωνος, ἐπὶ δὲ τοὺς [r]ἐλλείποντας.
55 [s]ἔστι τοίνυν ὑμῖν νυνὶ σκεπτέον, εἰ τοσούτου τιμᾶσθε τὴν
[t]πολιτείαν καὶ τοὺς κειμένους νόμους καὶ τὸ εὐορκεῖν· εἰ
γὰρ ἀποψηφιεῖσθε τούτου φανερῶς οὕτω παρὰ τοὺς νό-
μους εἰρηκότος, δόξετε πᾶσι τὰ χρήματα ταῦτα ἀντὶ
[u]τῶν νόμων καὶ τῆς εὐορκίας [x]ἠρῆσθαι. ἃ οὐδ' ἂν εἰ παρ'
ἑαυτοῦ δοίη τις ὑμῖν, λαβεῖν ἄξιον, [y]μήτι γε ἐφ' ᾧ ἑτέρους
56 εἰσπράττειν. ὥσθ' ὅταν ταῦτα λέγῃ, μέμνησθε [z]τῶν ὅρκων
[a]καὶ τὴν γραφὴν ἐνθυμεῖσθε, ὅτι νῦν οὐ περὶ πράξεως εἰσ-
φορῶν ἐστίν, ἀλλ' εἰ [b]δεῖ κυρίους εἶναι τοὺς νόμους. καὶ
περὶ [c]μὲν τούτων, ὃν τρόπον ὑμᾶς [d]ἀπαγαγὼν ἀπὸ τοῦ
νόμου παρακρούεσθαι ζητήσει, καὶ ἃ πρὸς ταῦθ' ὑμᾶς

[i] τιθέναι] θεῖναι F. t. v.

[k] τῶνδε] τωνδὶ Y. O. et γρ. F. τῶν δὴ s.

[l] παρ' ἴσως F. v. πάρεισι margo O. vulg. παρίσως.

[m] ἢ] καὶ r.

[n] ἔλλειμμα pr. k. ceteri ἐλλείμματα.

[o] ἑπτὰ] ἑπτὰ τάλαντα S. Y. O. k. r. s.

[p] οὗτος εἰσέπραξεν] εἰσέπραξεν οὗτος k.

[q] ἅπαντα] πάντα k.

[r] ἐλλείποντας] ἐλλείποντας εὖ Y. O.

ἐστι

[s] ἔστι] ἔτι r.

[t] πολιτείαν] πόλιν Anecd. p. 175, 13.

[u] τῶν νόμων καὶ om. r.

[x] ἠρῆσθαι] ἠρᾶσθαι O.

[y] μήτι] μήτοι k. s.

[z] τῶν ὅρκων] τὸν ὅρκον k.

[a] καὶ τὴν—εἰσφορῶν ἐστιν om. t.

[b] δεῖ] δοκεῖ r.

[c] μὲν τούτων] τούτων μὲν S. et γρ. F. μὲν οὖν τούτων F.

[d] ἀπαγαγὼν] ἀπάγων k. t. v. ἀπ-
αγαγὼν r. ἀγαγὼν F.

μνημονεύοντας μὴ ἐπιτρέπειν προσήκει, πολλὰ λέγειν
ἔχων ἔτι, καὶ ταῦθ' ἱκανὰ εἶναι νομίζων, ἐάσω.
57 Βούλομαι δὲ καὶ τὰ πολιτεύματα ἐξετάσαι τοῦ καλοῦ κἀγαθοῦ τούτου, [c] δι' ὧν [f] οὐκ ἔσθ' ὅ τι τῶν δεινοτάτων [g] ἐλλιπὼν φανήσεται· καὶ γὰρ ἀναιδὴ καὶ θρασὺν καὶ κλέπτην καὶ ὑπερηφανον καὶ πάντα μᾶλλον ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθαι [h] ἐπιτήδειον ὄντ' αὐτὸν [i] ἐπιδείξω. καὶ πρῶτον μέν, ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν [k] ἐξετάσωμεν αὐτοῦ, μὴ τῇ τούτου [l] προσέχοντες ἀλαζονείᾳ τὸν νοῦν, ἀλλὰ τὸ πρᾶγμα, οἷον
58 γέγονε τῇ ἀληθείᾳ, σκοποῦντες. οὗτος [m] Εὐκτήμονα φήσας τὰς ὑμετέρας ἔχειν εἰσφοράς, καὶ τοῦτ' [n] ἐξελέγξειν ἢ παρ' ἑαυτοῦ καταθήσειν [o] ὑποσχόμενος, καταλύσας
608 ψηφισματι [p] κληρωτὴν ἀρχὴν ἐπὶ [q] τῇ προφάσει ταύτῃ ἐπὶ τὴν εἴσπραξιν παρέδυ. δημηγορίας δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἱρεσις [r] ὑμῖν, ἢ τὰ πομπεῖα [s] κατακόπτειν ἢ πάλιν εἰσφέρειν ἢ τοὺς ὀφείλοντας εἰσ-
59 πράττειν, αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσι κατέχων, καὶ διὰ τὸν καιρὸν [t] ὃς ἦν [u] τότε ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων οὐκ ᾤετο δεῖν χρῆσθαι οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανούς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν [x] ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει καὶ πολ-

[c] δι' ὧν] δι' ὃν r.
[f] οὐκ] οὐδὲν F. t. v.
[g] ἐλλιπὼν] ἔλλειπον F. S. Y. O. s. t. v. ἐλλείπων r.
[h] ἐπιτήδειον] καὶ ἐπιτήδειον r.
[i] ἐπιδείξω] δείξω Y. O. k. r. s.
[k] ἐξετάσωμεν F. Y. O. r. s. vulg. ἐξετάσομεν.
[l] προσέχοντες] προσχόντες r.
[m] Εὐκτήμονα] εὐάτημονα S. εὐκτήμονα r.
[n] ἐξελέγξειν] ἐξελέγχειν t.
[o] ὑποσχόμενος om. pr. S.
[p] κληρωτὴν] κλήρου τὴν S.
[q] τῇ om. S. Y. O. s.
[r] ὑμῖν om. pr. S.
[s] κατακόπτειν] κατασκάπτειν r.
[t] ὃς ἦν] ὅσην F. S. Y. s. t. v.
[u] τότε ἔχων] ἔχων τότε s.
[x] ἐν om. pr. F.

λὰ τῶν ὑμετέρων κέκλοφε, τοὺς ἕνδεκα γράψας ἀκο-
60 λουθεῖν μεθ' ἑαυτοῦ. εἶτ' ἔχων τούτους ἦγεν ἐπὶ τὰς τῶν
πολιτῶν οἰκίας. καὶ τὸν μὲν Εὐκτήμονα, ὃν εἰσπράξειν ἢ
καταθήσειν αὐτὸς ἔφη τὰς εἰσφοράς, οὐδὲν εἶχεν ἐλέγχειν
περὶ τούτων, ὑμᾶς δ' εἰσέπραττεν, ὥσπερ οὐ διὰ τὴν Εὐ-
κτήμονος ἔχθραν ἐπὶ ταῦτα ἐλθών, ἀλλὰ διὰ τὴν ὑμετέ-
61 ραν. καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν ὡς οὐ χρὴν
εἰσπράττειν τοὺς ὀφείλοντας. χρὴν γάρ. ἀλλὰ πῶς;
[y] ὡς ὁ νόμος κελεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι
δημοτικόν. οὐ γὰρ τοσοῦτον ὦ ἄνδρες Ἀθηναῖοι [z] τοσούτων
χρημάτων τοῦτον τὸν τρόπον εἰσπραχθέντων ὠφέλησθε,
ὅσον ἐζημίωσθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγο-
62 μένων. εἰ γὰρ [a] ἐθέλοιτ' ἐξετάσαι, τίνος ἕνεκα μᾶλλον ἄν
τις ἕλοιτο ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν
εὕροιτε προχειρότατον, ὅτι πάντα [b] πραότερά ἐστιν ἐν δη-
μοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς [c] ὅπου βούλεσθε ὀλιγαρχίας 609
οὗτος ἀσελγέστερος γέγονε, παραλείψω. ἀλλὰ παρ'
[d] ἡμῖν πότε [e] πώποτε δεινότατα ἐν τῇ πόλει γέγονεν; ἐπὶ
63 τῶν τριάκοντα, [f] πάντες [g] ἂν εἴποιτε. τότε τοίνυν, ὡς ἔστιν
ἀκούειν, [h] οὐδεὶς ἔστιν ὅστις [i] ἀπεστερεῖτο τοῦ σωθῆναι,
[k] ὅστις ἑαυτὸν οἴκοι κρύψειεν, ἀλλὰ τοῦτο κατηγοροῦμεν
τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον.
[l] οὑτοσὶ τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσατο ἐκείνων τῆς
[m] αὐτοῦ βδελυρίας, ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενος τὴν

[y] ὡς post πῶς om. Y. O. s.
[z] τοσούτων χρημάτων post τρόπον ponit k.
[a] ἐθέλοιτ'] ἐθέλητε t. θέλετ' S. Y. O. r. s.
[b] πραότερά ἐστιν] ἐστι πραότερα k.
[c] ὅπου] ὅποι F. k.
[d] ἡμῖν] ὑμῖν F. S.
[e] πώποτε om. s.
[f] πάντες] πάντως k.
[g] ἂν om. t.
[h] οὐδεὶς] οὐκ k. et γρ. r.
[i] ἀπεστερεῖτο] ἀπεστέρητο k. et γρ. r.
[k] ὅστις] ὃς F. t. v.
[l] οὑτοσὶ] οὗτος Y. O. k. r. s.
[m] αὐτοῦ] αὐτῶν r.

ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστη, τοὺς ἔνδεκα
64 ἄγων ἐπὶ τὰς οἰκίας. καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴ-
εσθε, [n] ὁπότ' ἄνθρωπος πένης, ἢ [o] καὶ πλούσιος πολλὰ
[p] δ' [q] ἀνηλωκὼς καὶ τιν' ἴσως τρόπον [r] εἰκότως οὐκ εὐπο-
ρῶν [s] ἀργυρίου, [t] ἢ τέγος ὡς τοὺς γείτονας ὑπερβαίνοι ἢ
ὑποδύοιτο ὑπὸ κλίνην ὑπὲρ τοῦ μὴ τὸ σῶμα ἀλοὺς εἰς τὸ
65 δεσμωτήριον [u] ἕλκεσθαι, ἢ ἄλλα ἀσχημονοίη, ἃ δούλων,
οὐκ ἐλευθέρων ἐστὶν ἔργα, καὶ ταῦθ' ὑπὸ τῆς ἑαυτοῦ γυν-
αικὸς ὁρῷτο [x] ποιῶν, ἣν ὡς ἐλεύθερος [y] ἠγγυήσατο καὶ τῆς
πόλεως πολίτης, ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν
οὐδ' ὑπὲρ ἑαυτοῦ δίκην λαμβάνειν ἐᾷ τὰ πεπραγμένα
66 [z] καὶ βεβιωμένα, [a] μή τί γε ὑπὲρ τῆς πόλεως; [b] καίτοι
εἴ τις [c] ἔροιτο αὐτόν, τὰς εἰσφορὰς πότερον τὰ κτήματα ἢ
τὰ σώματα [d] ὀφείλει, τὰ κτήματα φήσειεν ἄν, εἴπερ
ἀληθῆ λέγειν βούλοιτο· ἀπὸ γὰρ τούτων εἰσφέρομεν. τίνος
οὖν ἕνεκα ἀφεὶς τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας
καὶ ταῦτ' ἀπογράφειν, ἔδεις καὶ ὕβριζες [e] πολίτας ἀν-
θρώπους καὶ [f] τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστι-
67 κώτερον ἢ τοῖς οἰκέταις τοῖς [g] σαυτοῦ [h] κέχρησαι; καὶ
μὴν εἰ θέλετε σκέψασθαι τί δοῦλον ἢ ἐλεύθερον εἶναι δια-
φέρει, τοῦτο μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ
σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι, τοῖς δ'

[n] ὁπότ'] ὁπότ' F. ὁπότε t. v.
[o] καὶ post ἢ om. k.
[p] δ' om. F. Y. O. s. t. v.
[q] ἀνηλωκὼς] ἀνῃλωκὼς F.
[r] εἰκότως om. pr. k.
[s] ἀργυρίου] ἀργύριον k.
[t] ἢ τέγος] εἰ τέγος S.
[u] ἕλκεσθαι] ἕρχεσθαι k. ἑλάσθαι r.
[x] ποιῶν] ποιεῖν O.
[y] ἠγγυήσατο] ἐνεγυήσατο F. ἐνεγγυήσατο k. ἐγγυήσατο r.
[z] καὶ βεβιωμένα om. O.
[a] μήτι] μητή O. μήτοι r. s.
[b] καίτοι] καίτοιγε k. r. s.
[c] ἔροιτο] ἐροῖτο S.
[d] ὀφείλει] ὀφείλειν s.
[e] πολίτας ἀνθρώπους] ἀνθρώπους πολίτας k.
[f] τοὺς om. v.
[g] σαυτοῦ] αὐτοῦ O. t.
[h] κέχρησαι] κέχρηται t.

ἐλευθέροις, κἂν τὰ μέγιστα [i] τύχωσιν ἀδικοῦντες, τοῦτό γ' [k] ἔνεστι σῶσαι· εἰς χρήματα γὰρ [l] τὴν δίκην περὶ τῶν πλεί-
στων παρὰ τούτων προσήκει λαμβάνειν. ὁ δὲ τοὐναντίον εἰς
τὰ σώματα, ὥσπερ ἀνδραπόδοις, [m] ἐποιήσατο [n] τὰς τιμω-
68 ρίας. οὕτω δ' αἰσχρῶς καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς, 10
ὥστε τὸν μὲν ἑαυτοῦ πατέρα ᾠήθη δεῖν, δημοσίᾳ δεθέντα
ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτε ἀποδόντα ταῦτα
μήτε κριθέντα ἀποδρᾶναι, τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ
δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴκοθεν εἰς τὸ δεσμωτήριον ἕλ- 15
69 κεσθαι. εἶτ' ἐπὶ τούτοις, ὡς ὁτιοῦν ἔχον ἑαυτῷ ποιεῖν, Σινώ-
πην προσηνεχύραζε καὶ [o] Φανοστράτην, ἀνθρώπους πόρνας,
οὐ μέντοι [p] γε ὀφειλούσας εἰσφοράς. [q] καίτοι εἴ τισιν ἄρα
δοκοῦσιν ἐπιτήδειαι ἐκεῖναι παθεῖν, ἀλλὰ τὸ πρᾶγμά γε 20
οὐκ ἐπιτήδειον γίγνεσθαι, [r] τηλικοῦτό τινας φρονεῖν [s] διὰ
καιρὸν ὥστε βαδίζειν ἐπ' οἰκίας καὶ σκεύη φέρειν μηδὲν
70 ὀφειλόντων ἀνθρώπων. πολλὰ γὰρ ἄν τις ἴδοι πολλοὺς
ἐπιτηδείους [t] ὄντας [u] πάσχειν καὶ πεπονθέναι. ἀλλ' οὐ 25
ταῦτα λέγουσιν οἱ νόμοι οὐδὲ τὰ τῆς πολιτείας ἔθη, [x] ἃ
φυλακτέον [y] ὑμῖν· ἀλλ' ἔνεστιν ἔλεος, συγγνώμη, πάνθ'
71 [z] ὅσα προσήκει τοῖς ἐλευθέροις. ὧν οὗτος ἁπάντων εἰκό-
τως οὐ μετέχει τῇ φύσει οὐδὲ τῇ παιδείᾳ· πολλὰ γὰρ
ὕβρισται καὶ προπεπηλάκισται συνὼν οὐκ ἀγαπῶσιν 611
[a] ἑαυτὸν ἀνθρώποις, ἀλλὰ δοῦναι μισθὸν δυναμένοις· ὧν
[b] προσῆκέ σοι τὴν ὀργὴν οὐκ εἰς τῶν πολιτῶν τὸν τυχόντα

[i] τύχωσιν ἀδικοῦντες] ἀτυχῶσιν S. Y. O. s. εὐτυχῶσι r.
[k] ἔνεστι] ἔσται k. et γρ. r.
[l] τὴν recepi ex F. t. v.
[m] ἐποιήσατο] ἐποιεῖτο S. r.
[n] τὰς τιμωρίας] τὴν τιμωρίαν v.
[o] Φανοστράτην] φαινοστράτην F.
[p] γε om. Y. O. r. s.
[q] καίτοι] καίτοιγε k. r.
[r] τηλικοῦτό] τηλικοῦτόν k. r. t. v.
[s] διὰ καιρὸν] διάκαιρον Y.
[t] ὄντας om. Y. O. r. s.
[u] πάσχειν] παθεῖν k.
[x] ἃ om. pr. Y.
[y] ὑμῖν] ἡμῖν r.
[z] ὅσα] ἃ k. v.
[a] ἑαυτὸν S. Y. O. r. s. vulg. αὐτόν.
[b] προσῆκέ] προσήκει k.

[c] ἀφιέναι οὐδ' εἰς τὰς [d] ὁμοτέχνους [e] σοι πόρνας, ἀλλ' εἰς τὸν τοῦτον τὸν τρόπον θρέψαντά [f] σε πατέρα.

72 Ταῦτα τοίνυν ὡς μὲν οὐ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους, οὐχ ἕξει λέγειν οὗτος· οὕτω δ' [g] ἐστὶν ἀναιδὴς ὥστ' [h] ἐν [i] τῷ δήμῳ, [k] προάγωνας ἀεὶ κατασκευάζων ἑαυτῷ τῆσδε τῆς γραφῆς, ἑτοῖμα λέγειν ὡς ὑπὲρ ὑμῶν καὶ δι' ὑμᾶς ἐχθροὺς ἐφ' ἑαυτὸν [l] εἵλκυσε καὶ νῦν ἐν τοῖς
73 ἐσχάτοις ἐστὶ κινδύνοις. ἐγὼ δ' ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι βούλομαι δεῖξαι τοῦτον οὔτε πεπονθότα οὐδ' ὁτιοῦν κακὸν οὔτε μέλλοντα πάσχειν οὐδὲν δι' ὧν ὑπὲρ ὑμῶν ἔπραξε, διὰ μέντοι τὴν αὐτοῦ βδελυρίαν καὶ θεοῖς [m] ἐχθρίαν πε-
15 πονθότα μὲν μέχρι [n] τῆσδε τῆς ἡμέρας οὐδέν, πεισόμενον δὲ, ἂν τὰ δίκαια ποιῆτε ὑμεῖς. σκέψασθε γὰρ ὠδί. τί ποθ' ὑμῖν οὗτος ὑπέσχετο καὶ τί ποιεῖν αὐτὸν [o] ἐχειροτονήσαθ' ὑμεῖς; χρήματα εἰσπράττειν. ἄλλο δὲ πρὸς τούτῳ
20 74 τι ποιεῖν; [p] οὐδὲ ἕν. φέρε δὴ καθ' ἕκαστον ὑπομνήσω τὴν εἰσπραξιν ὑμᾶς. οὗτος εἰσέπραξε Λεπτίνην τὸν ἐκ Κοίλης τέτταρας καὶ τριάκοντα δραχμάς, καὶ Θεοξενον τὸν Ἀλωπεκῆθεν δραχμὰς ἑβδομήκοντα καὶ μικρόν τι πρός, καὶ τον [q] Εὐφήμου [r] Καλλικράτην καὶ τὸν [s] Τελέστου νε-
25 ανισκον· οὐκ ἔχω γὰρ τοὔνομα εἰπεῖν. σχεδὸν δὲ πάντας, [t] οὓς εἰσέπραξεν, ἵνα μὴ καθ' ἕκαστον λέγω, οὐκ
75 οἶδ' εἴ τινα ὑπὲρ μνᾶν ὀφείλοντα. πότερ' οὖν οἴεσθε [u] τού-

[c] ἀφιέναι] ἀφεῖναι k. et γρ. r.
[d] ὁμοτέχνους] ὁμοτέχνας t.
[e] σοι om. S. Y. O. s.
[f] σε ante θρέψαντα ponunt S. Y. O. s. πατέρα in γρ habet S.
[g] ἐστὶν ἀναιδὴς] ἀναιδὴς ἐστιν k.
[h] ἐν] αἱ t.
[i] τῷ om. t. r.
[k] προάγωνας] προαγῶνας Y. O. s. t.
[l] εἵλκυσε] εἵλκυσε F. t. v.
[m] ἐχθρίαν S. r. vulg. ἐχθρὰν αἰσχροκέρδειαν.
[n] τῆσδε τῆς] τῆς σήμερον k.
[o] ἐχειροτονήσαθ'] ἐχειροτονήσασθ' r.
[p] οὐδὲ ἕν] οὐδέν k. r. s.
[q] Εὐφήμου] εὐφήμου S. Y. O. r. s.
[r] Καλλικράτην] καλλιστράτην s. v.
[s] Τελέστου γρ. r. τελεστῶν r. vulg. τελεστεῖ.
[t] οὓς] ὅσους k. et γρ r.
[u] τούτων] τοῦτον pr. k.

των ἕκαστον μισεῖν καὶ πολεμεῖν αὐτῷ διὰ τὴν εἰσφορὰν 612
ταύτην, ἢ τὸν μὲν αὐτῶν, ὅτι πάντων ἀκουόντων ὑμῶν ἐν
τῷ δήμῳ δοῦλον ἔφη καὶ ἐκ δούλων εἶναι καὶ προσήκειν
αὐτῷ τὸ ἕκτον μέρος εἰσφέρειν μετὰ τῶν μετοίκων, [x]τῷ δὲ
παῖδας ἐκ πόρνης εἶναι, τοῦ δὲ τὸν πατέρα [y]ἡταιρηκέναι, 5
τοῦ δὲ τὴν μητέρα πεπορνεῦσθαι, τὸν δὲ ἀπογράφειν ὅσα
ὀφείλετο ἐξ ἀρχῆς, τὸν δὲ [z]τὸ δεῖνα, τὸν δὲ ὁμοῦ ῥητὰ
76 καὶ ἄῤῥητα κακά, ἐξῆς [a]ἅπαντας; ἐγὼ [b]μὲν γὰρ οἶδ'
ὅτι [c]πάντες, εἰς οὓς ἐπαρῴνησεν οὗτος, τὴν μὲν εἰσφορὰν 10
ἕκαστος ἀναγκαῖον ἀνάλωμα ὑπελάμβανεν εἶναι, [d]τοι-
αῦτα δ' ἀτιμασθεὶς καὶ προπηλακισθεὶς χαλεπῶς ἐνήνο-
χεν. [e]κἀκεῖνο οἶδα, ὅτι χρήματα εἰσπράττειν τοῦτον ἐχει-
ροτονήσαθ' ὑμεῖς, οὐχὶ τὰς ἰδίας συμφορὰς ὀνειδίζειν καὶ
προφέρειν ἑκάστῳ. εἴτε γὰρ ἦσαν ἀληθεῖς, οὐ σοὶ [f]ῥητέαι 15
(πολλὰ γὰρ [g]ἡμῶν ἕκαστος οὐχ ὡς βούλεται [h]πράττει)·
εἴτε μὴ προσηκούσας κατεσκεύαζες, πῶς οὐχ ὁτιοῦν ἂν
77 πάθοις δικαίως; ἔτι τοίνυν ἐκ [i]τοῦδ' ἀκριβέστερον γνώ-
σεσθε ὅτι μισεῖ τοῦτον ἕκαστος οὐ διὰ τὴν εἴσπραξιν, 20
ἀλλ' ὑπὲρ ὧν ὑβρίσθη καὶ [k]παρῳνήθη. Σάτυρος γὰρ ὁ
τῶν νεωρίων ἐπιμελητὴς οὐχ ἑπτὰ [l]τάλαντα εἰσέπραξεν
ὑμῖν, ἀλλὰ τέτταρα καὶ τριάκοντα τοὺς αὐτοὺς τούτους
ἀνθρώπους, [m]ἐξ ὧν παρεθηκε τὰ σκεύη ταῖς [n]ἐκπλευσά-

[x] τῷ δὲ Reiskius: libri τῷ δ' ὅτι.
[y] ἡταιρηκέναι] ἡταιρικέναι t.
[z] τὸ δεῖνα pr. k. et γρ. r. ceteri τῶδ' εἶναι.
[a] ἅπαντας] πάντας k. ἅπαντας ἀπεῖπεν r.
[b] μὲν om. k.
[c] πάντες] πάντας r.
[d] τοιαῦτα] ταῦτα F. ταῦτα S. Y. O. r.
[e] κἀκεῖνο] κἀκεῖνο δὲ k.
[f] ῥητέαι] ῥητέα r.
[g] ἡμῶν] ὑμῶν r.
[h] πράττει] πράττειν s.
[i] τοῦδ'] τῶνδε k.
[k] παρῳνήθη] ἐπαρῳνήθη F. k. t. v.
[l] τάλαντα] τάλαντα μόνον k. r.
[m] ἐξ] ἀφ' k. et γρ. r.
[n] ἐκπλευσάσαις] ἐκπλευσασαις r. ἐκπλεύσασαις F. ἐκπλεύσαις k. v.

78 σαις ναυσίν· καὶ οὔτ' ἐκεῖνος διὰ ταῦτα οὐδένα [o]ἐχθρὸν ἑαυτῷ [p]φησὶν εἶναι, οὔτε τῶν εἰσπραχθέντων οὐδεὶς ἐκείνῳ πολεμεῖ. [q]εἰκότως· ὁ μὲν γὰρ τὸ προστεταγμένον οἶμαι διεπράττετο, σὺ δὲ τῇ σαυτοῦ προπετείᾳ καὶ θρασύτητι λαβὼν ἐξουσίαν πόλλ' [r]ἀνηλωκότας εἰς τὴν πόλιν ἀν- 613
θρώπους καὶ σοῦ βελτίους καὶ ἐκ βελτιόνων [s]ψευδέσι
79 καὶ χαλεποῖς ὀνείδεσιν ὤου δεῖν περιβάλλειν. [t]εἶτα ταῦθ' οὗτοι πεισθῶσιν ὑπὲρ αὐτῶν σε ποιεῖν, καὶ [u]τὰ τῆς σῆς [x]ἀναισθησίας καὶ πονηρίας ἔργα ἐφ' ἑαυτοὺς [y]ἀναδέξωνται; ἀλλὰ μισεῖν δικαιότερον διὰ ταῦτά σε ὀφείλουσιν ἢ σώζειν. τὸν γὰρ [z]ὑπὲρ πόλεως πράττοντά τι δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι, καὶ [a]σώζειν ὑμῖν τοὺς τοιούτους ὦ ἄνδρες Ἀθηναῖοι [b]προσήκει, καὶ μισεῖν τοὺς [c]εἴσπερ οὗτος. ὡς ἐκεῖνό [d]γε εἰδόσι μὲν ἴσως, ὅμως δὲ
80 ἐρῶ· ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες καὶ σώζοντες, τούτοις ὅμοιοι δόξετ' εἶναι.

Ὅτι τοίνυν ὅλως οὐδὲ τὴν εἰσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποιηται, καὶ τοῦτο αὐτικα δὴ μάλα ὑμῖν [e]δῆλον ποιήσω. εἰ γάρ τις [f]ἔροιτο αὐτόν, πότεροι αὐτῷ δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν, οἱ γεωργοῦντες καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖα ἀναλώματα καὶ λειτουργίας ἑτέρας [g]ἐλλελοιπότες [h]τὰς εἰσφοράς, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα καὶ τὰ παρὰ τῶν

[o] ἐχθρὸν ἑαυτῷ] αὐτῷ ἐχθρὸν k.
[p] φησὶν ante διὰ ponit k.
[q] εἰκότως om. Y. O. r. s. t. v.
[r] ἀνηλωκότας] ἀνῃλωκότας F. ἀναλωκότας t. v.
[s] ψευδέσι] ψεύδεσι k.
[t] εἶτα] εἶτ' ἂν s.
[u] τὰ ante τῆς om. k. r.
[x] ἀναισθησίας] ἀναισχυντίας F. t. v.
[y] ἀναδέξωνται] ἀναδέξονται t.
[z] ὑπὲρ] ὑπὲρ τῆς F. k.
[a] σώζειν] δεῖ σώζειν S. O. et in litura Y. δὴ σώζειν s.
[b] προσήκει post ὑμῖν ponit s.
[c] οἵσπερ] οἷσπερ F. S. Y.
[d] γε om. S. r.
[e] δῆλον om. S. ante ὑμῖν ponunt F. t. v.
[f] ἔροιτο] ἐρῶτο S.
[g] ἐλλελοιπότες] εἰ λελοιπότες t.
[h] τὰς εἰσφοράς] εἰσφορὰν S.

συμμάχων κλέπτοντες καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης καίπερ ὢν ἀναιδὴς ἔλθοι, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας [i]μᾶλλον ἀδικεῖν ἢ τοὺς τὰ
81 κοινὰ [k]ὑφαιρουμένους. τίνος οὖν [l]ἕνεκα, ὦ βδελυρέ, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα ἀφ' οὗ σὺ πολιτεύῃ, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκριται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ' [m]ὑποχωρήσαντες φεύγουσιν, οὐδενὸς πώποτε [n]τούτων ἐξητάσθης κατήγορος, οὐδ' ἀγαναχτῶν ὤφθης [o]ὑπὲρ ὧν ἡ πόλις πάσχει, οὕτως 614
ὢν θρασὺς καὶ λέγειν δεινός, ἀλλ' ἐνταῦθ' ἐφάνης κηδε-
82 μὼν [p]ἡμῶν, οὗ [q]σε πολλοὺς ἔδει κακῶς ποιῆσαι; [r]βούλεσθε, [s]ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι [t]τούτων μὲν μετέχουσιν ὧν ἀδικοῦσιν [u]ὑμᾶς τινές, ἀπὸ δὲ τῶν εἰσπραττομένων [x]ὑφαιροῦνται· δι' ἀπληστίαν δὲ τρόπων διχόθεν [y]καρποῦνται τὴν πόλιν. οὔτε γὰρ [z]ῥᾷον πολλοῖς καὶ [a]κατὰ μικρὰ ἀδικοῦσιν ἀπεχθάνεσθαι ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν [b]ἀδικήματα ὁρᾶν ἢ τὰ τῶν ὀλίγων. ἀλλὰ [c]τοῦτ' αἴτιον, [d]οὐγὼ λέγω. [e]τῶν μὲν οἶδεν [f]ἕνα αὐτὸν [g]ὄντα, τῶν ἀδικούντων, [h]ὑμᾶς δ' οὐδενὸς

[i] μᾶλλον] μάλιστ' r.
[k] ὑφαιρουμένους] ἀφαιρουμένους O.
[l] ἕνεκα] ἕνεκεν k.
[m] ὑποχωρήσαντες] ἀποχωρήσαντες F. S. Y. O. s. t. v.
[n] τούτων solus habet k.
[o] ὑπὲρ ὧν—πάσχει] ἐφ' οἷς—ἠδικεῖτο k. et γρ. r. Equidem pro πάσχει malim πάσχοι.
[p] ἡμῶν] ὧν F. S. Y. O. s. t. v.
[q] σε πολλοὺς] πολλούς σε k.
[r] βούλεσθε] βούλεσθε γὰρ F.
[s] ὦ om. O. s.
[t] τούτων μὲν — ὑφαιροῦνται] τῶν μὲν ὑφαιρεῖται S. Y. r. s. τῶν ὑφαιρεῖται O.
[u] ὑμᾶς τινὲς] τινὲς ὑμᾶς γρ. S.
[x] ὑφαιροῦνται] οὐδὲν ὑφαιροῦνται γρ. S. ἀφαιροῦνται k.
[y] καρποῦνται] καρποῦται Y. O.
[z] ῥᾷον] ῥάιδιον F.
[a] κατὰ F. k. r. ceteri τά.
[b] ἀδικήματα] ἀδικημάτων t.
[c] τοῦτ' αἴτιον] τοὐναντίον Y. O. s. et γρ. F.
[d] οἰγὼ] οὔ ἐγὼ t. v. ἐγὼ O.
[e] τῶν] τὸν correctus v.
[f] ἕνα αὐτὸν] ἑαυτὸν S. Y. O. s. t. v.
[g] ὄντα om. k.
[h] ὑμᾶς] ἡμᾶς k.

ἀξίους ἡγήσατο· διὸ τοῦτον [i]ἐχρήσατο τὸν τρόπον ὑμῖν.
83 εἰ γὰρ ἀνδραποδῶν πόλις, ἀλλὰ [k]μὴ τῶν ἄρχειν ἑτέρων ἀξιούντων [l]ὡμολογεῖτε εἶναι, οὐκ ἂν ὦ ἄνδρες Ἀθηναῖοι τὰς ὕβρεις [m]ἠνέσχεσθε τὰς τούτου, ἃς κατα [n]τὴν ἀγορὰν ὕβριζεν, ὁμοῦ μετοίκους, Ἀθηναίους, δέων, ἀπάγων, βοῶν [o]ἐν ταῖς ἐκκλησίαις, ἐπὶ τοῦ βήματος, δούλους [p]καὶ ἐκ δούλων καλῶν ἑαυτοῦ βελτίους καὶ ἐκ βελτιόνων, ἐρωτῶν
84 εἰ μάτην τὸ δεσμωτήριον ᾠκοδομήθη. καταφαίην ἂν ἔγωγε, [q]εἶγ' ὁ πατὴρ ὁ σὸς ᾤχετο αὐτόθεν [r]αἰταῖς πέδαις ἐξορχησάμενος Διονυσίων τῇ πομπῇ. ἄλλα δὲ ὅσα [s]ὕβρικεν, [t]οὐδ' ἂν ἔχοι τις εἰπεῖν· τοσαῦτα τὸ πλῆθός ἐστιν.
ὧν [u]ἁπάντων ἄξιον λαβόντας δίκην τήμερον παράδειγμα ποιῆσαι τοῖς ἄλλοις, ἵν' ὦσι μετριώτεροι.
85 Ἀλλὰ νὴ Δία ταῦτα [x]μὲν τοιοῦτός ἐστιν, ἐν οἷς πεπολίτευται, ἄλλα δ' ἔσθ' ἃ καλῶς [y]διώκηκεν. ἀλλὰ [z]τἆλλ' οὕτω [a]προσελήλυθε [b]πάντα πρὸς ὑμᾶς, ὥστε [c]ἥκιστα ἐν
615 οἷς ἀκηκόατε ἀξιός ἐστι μισεῖσθαι. τί γὰρ βούλεσθε εἴπω; τὰ πομπεῖα ὡς ἐπεσκεύασε, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν; ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν;
86 ἀλλ' ἐπὶ τούτοις γε, εἰ [d]καὶ μηδὲν ἄλλο ἀδικῶν ἔτυχε τὴν πολιν, τρις, οὐχ ἅπαξ [e]τεθνάναι δίκαιος ὢν [f]φανεῖται· καὶ γὰρ ἱεροσυλίᾳ καὶ ἀσεβείᾳ καὶ κλοπῇ καὶ

[i] ἐχρήσατο] ἐχρῆτο F. k. τὸν τρόπον ἐχρήσατο s.
[k] μὴ om. t.
[l] ὡμολογεῖτε k. r. ceteri ὡμολογεῖτο.
[m] ἠνέσχεσθε] ἀνέσχεσθε S. ἠνόχεσθε O. r. t. v.
[n] τὴν om. O.
[o] ἐν om. O.
[p] καὶ post δούλους om. t. v.
[q] εἶγ'] εἰθ' S. r.
[r] αἰταῖς] ἐν ταῖς r.
[s] ὕβρικεν] εἴρηκεν s.
[t] οὐδ'] οὐκ k. r.
[u] ἁπάντων] ἀθρόων F. Y. O. ἀθρόων r. s. t. v.
[x] μὲν om. S. Y. O. s.
[y] διώκηκεν] διφκησεν k. διφκῆσεν r.
[z] τἆλλ'] καὶ τἆλλ' k. r.
[a] προσελήλυθε] ἐμελήλυθεν O.
[b] πάντα] ἅπαντα F. t. v.
[c] ἥκιστα om. t.
[d] καὶ post εἰ om. k.
[e] τεθνάναι] ἀπολλύναι k. et γρ. r.
[f] φανεῖται] φαίνεται k.

[g] πᾶσι τοῖς δεινοτάτοις ἔστ' ἔνοχος. τὰ μὲν οὖν πολλὰ
[h] ὧν λέγων ὑμᾶς ἐφενάκιζε παραλείψω· φήσας δ' ἀπορ-
ρεῖν τὰ φύλλα τῶν στεφάνων καὶ σαπρὸς εἶναι διὰ τὸν 10
χρόνον, ὥσπερ [i] ἴων ἢ ῥόδων ὄντας ἀλλ' οὐ χρυσίου, συγ-
87 χωνεύειν ἔπεισεν. [k] κἄτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς τὸν δημό-
σιον παρεῖναι προσέγραψεν ὡς [l] δὴ δίκαιος [m] ὤν, ὧν ἕκα-
στος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ 15
τοῖς στεφάνοις δέ, οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε
ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς [n] ῥήτωρ, χρυσοχόος, τα-
88 μίας, [o] ἀντιγραφεὺς γέγονεν. καὶ μὴν εἰ μὲν ἅπαντ' ἠξίους ὅσα [p] πράττεις τῇ πόλει σαυτῷ πιστεύειν, οὐκ ἂν
ὁμοίως κλέπτης ὢν ἐφωρῶ· νῦν δ' [q] ἐπὶ ταῖς εἰσφοραῖς ὁ 20
δίκαιόν ἐσθ' ὁρίσας, μὴ σοὶ πιστεύειν ἀλλὰ τοῖς αὐτῆς
δούλοις τὴν πόλιν, [r] ὁπότ' ἄλλο τι πράττων καὶ χρήματα
κινῶν ἱερά, ὧν ἔνια οὐδ' ἐπὶ τῆς ἡμετέρας γενεᾶς ἀνετέθη,
μὴ προσγραψάμενος τὴν αὐτὴν [s] φυλακὴν [t] ἥνπερ ἐπὶ τῶν 25
εἰσφορῶν [u] φαίνῃ, οὐκ εὔδηλον [x] δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ
89 μὲν οἶμαι. καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ [y] κατὰ
παντὸς τοῦ χρόνου σκέψασθε, ὡς καλὰ καὶ ζηλωτὰ
ἐπιγράμματα τῆς πόλεως ἀνελὼν ὡς ἀσεβῆ καὶ δεινὰ
ἀντεπιγέγραφεν. οἶομαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ 616
τῶν στεφάνων ταῖς χοινικίσι κάτωθεν γεγραμμένα "οἱ
"σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας [z] ἕνεκα καὶ δικαιο-

[g] πᾶσι τοῖς] πλείστοις S. r.
[h] ὧν] ὡς F. et γρ. O.
[i] ἴων ἢ ῥόδων] ἴον ἢ ῥόδον r.
[k] κἄτ'] καί τ' F. S.
[l] δὴ] ἦν S. Y. O. s.
[m] ὤν om. k. r.
[n] ῥήτωρ] ὁ ῥήτωρ S.
[o] ἀντιγραφεὺς post γέγονεν ponit S.
[p] πράττεις] πράττει τις k. r.
[q] ἐπὶ] ἐπὶ μὲν k.
[r] ὁπότε] ὁπότε δὲ F.
[s] φυλακὴν om. O. in margine ponit Y.
[t] ἥνπερ ἐπὶ] ἥνπερ ἐπὶ περὶ F. ἥνπερ περὶ t. v. ἣν περὶ S. Y.
[u] φαίνῃ] φανείη S. r. et γρ. F.
[x] δι' ὃ] δι' ἃ S.
[y] κατὰ παντὸς] καθ' ἅπαντος Y. O. s.
[z] ἕνεκα] ἕνεκεν r. εἵνεκα Y.

" σύνης" ἢ " οἱ σύμμαχοι ἀριστεῖον [a]τῇ Ἀθηνᾷ," ἢ κατὰ πόλεις " οἱ δεῖνες τὸν δῆμον, σωθέντες ὑπὸ τοῦ δήμου," οἷον " Εὐβοεῖς ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δῆμον" [b]ἐπεγέγραπτό που, πάλιν " Κόνων ἀπὸ τῆς ναυμαχίας " τῆς πρὸς Λακεδαιμονίους" τοιαῦτα γὰρ ἦν τὰ τῶν 90 στεφάνων ἐπιγράμματα. ταῦτα μὲν τοίνυν, ἃ ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν [c]ὑμῖν, ἠφάνισται καθαιρεθέντων τῶν στεφάνων· ἐπὶ ταῖς φιάλαις δ' ἃς αὐτ' ἐκείνων ἐποιήσατο ὑμῖν [d]ὁ πόρνος οὗτος, " [e]Ἀνδροτίωνος [f]ἐπι- " μελουμένου [ἐποιήθησαν]" ἐπιγέγραπται· καὶ οὗ τὸ σῶμα [g]ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερὰ εἰσιέναι, τούτου τοὔνομα [h]ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν γε- 15 γραμμένον ἐστίν. ὁμοιόν [i]γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν [k]ἴσην ἔχον [l]ὑμῖν. 91 τρία τοίνυν ἐκ τούτου τὰ δεινότατ' ἂν τις ἴδοι πεπραγμένα αὐτοῖς. τὴν μὲν γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασι· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασι τὸν ἐκ τῶν ἔργων, ὧν 20 [m]ὑπόμνημα ἦσαν [n]ὄντες οἱ στέφανοι. τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφήρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν 92 ἐθέλειν μεμνῆσθαι. καὶ τοιαῦτα [o]καὶ τοσαῦτα τὸ πλῆθος κακὰ εἰργασμένοι, εἰς τοῦτο [p]ἅμα ἀναισθησίας καὶ 25 τόλμης [q]προεληλύθασιν, ὥστε μέμνηνται τούτων ὡς καλῶς αὐτοῖς διωκημένων, ὥσθ' ὁ μὲν οἴεται δι' [r]ἐκεῖνον ὑφ'

[a] τῇ Ἀθηνᾷ] αθηναῖαι S.
[b] ἐπεγέγραπτό που om. S. Y. O. r. s.
[c] ὑμῖν post εἶχεν ponit k. ἐμῖν F.
[d] ὁ πόρνος οὗτος om. pr. S.
[e] Ἀνδροτίωνος] ἀνδροτίων ὃς Y. O. s.
[f] ἐπιμελουμένου] ἐπιμαλομένου r.
[g] ἡταιρηκότος] ἡταιρικότος t.
[h] ἐν τοῖς ἱεροῖς post ἐστὶν ponit k.
[i] γε] δὲ t.
[k] ἴσην ἔχον] ἔχων ἴσην k.
[l] ὑμῖν] ἡμῖν Y. O. s.
[m] ὑπόμνημα] ὑπομνήματ' F. O. k. r. s. t. v.
[n] ὄντες F. k. r.
[o] καὶ post τοιαῦτα om. k.
[p] ἅμα ἀναισθησίας] ἀναισχυντίας k.
[q] προεληλύθασιν] ἐληλύθασιν k. r.
[r] ἐκεῖνον] ἐκείνων s.

ὑμῶν [s]σωθήσεσθαι, ὁ δὲ παρακάθηται καὶ οὐ καταδύεται
93 τοῖς πεπραγμένοις. οὕτω δ' οὐ μόνον εἰς χρήματα ἀναι-
δὴς ἀλλὰ καὶ σκαιός ἐστιν, ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι
στέφανοι μέν εἰσιν ἀρετῆς σημεῖον, φιάλαι δὲ καὶ τὰ 617
τοιαῦτα πλούτου, καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ,
τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ, ἐκπώματα δὲ ἢ
θυμιατήρια, [t]ἂν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ
δόξαν προσετρίψατο τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ μικροῖς 5
τις σεμνύνηται, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα
τυχεῖν, ὥστ' ἀπειρόκαλος προσέδοξεν εἶναι. οὗτος τοίνυν
[u]ἀνελὼν τὰ τῆς δόξης κτήματα, [x]τὰ τοῦ πλούτου πεποί-
94 ηται μικρὰ καὶ οὐχ ὑμῶν ἄξια. καὶ οὐδ' ἐκεῖν' [y]εἶδεν, ὅτι 10
πρὸς μὲν χρημάτων κτῆσιν οὐδὲ πώποτε ὁ δῆμος ἐσπού-
δασε, πρὸς δὲ δόξης ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμή-
ριον δέ· χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ
[z]σχὼν [a]ἅπανθ' ὑπὲρ φιλοτιμίας [b]ἀνήλωσεν, [c]εἰσφέρων δ'
ἐκ τῶν ἰδίων οὐδένα [d]πώποτε κίνδυνον ὑπὲρ δόξης ἐξέστη. 15
95 ἀφ' ὧν κτήματα ἀθάνατα αὐτῷ περίεστι, τὰ μὲν τῶν
ἔργων ἡ μνήμη, τὰ δὲ [e]τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις
σταθέντων τὸ κάλλος, προπύλαια ταῦτα, ὁ παρθενών,
[f]στοαί, νεώσοικοι, οὐκ ἀμφορίσκοι δύο οὐδὲ χρυσίδες τέτ- 20
ταρες ἢ τρεῖς, ἄγουσα ἑκάστη μνᾶν, ἅς, ὅταν σοι δοκῇ,
96 σὺ πάλιν [g]γράψεις καταχωνεύειν. οὐ γὰρ αὐτοὺς δεκα-
τεύοντες, οὐδὲ ἃ καταράσαιντο ἂν οἱ ἐχθροὶ ποιοῦντες,

[s] σωθήσεσθαι] σωθήσεται r.
[t] ἂν μὲν] ἐὰν μὲν k.
[u] ἀνελὼν] ἀφελὼν k.r. et γρ. F.
[x] τὰ post κτήματα om. k.
[y] εἶδεν F. S. Y. O. vulg. οἶδεν.
[z] σχὼν S. Y. O. s. ceteri ἔχων.
[a] ἅπανθ'] τὰ πάνθ' F. t. v.
[b] ἀνήλωσεν] ἀνῆλωσεν F. ἀνάλωσεν k. r.
[c] εἰσφέρων δ'] ὑπὲρ δὲ δόξης εἰσφέρων k. omissis infra his ὑπὲρ δόξης.
[d] πώποτε om F. S. Y. O. s. t. v.
[e] τῶν post ἀναθημάτων om. O.
[f] στοαί, νεώσοικοι] στοὰ νεὼς οἰκοι r.
[g] γράψεις] γράφεις k. r.

[h] διπλᾶς πράττοντες τὰς εἰσφοράς, ταῦτ' [i] ἀνέθεσαν, οὐδ' [k] οἷόσπερ σὺ χρώμενοι συμβούλοις ἐπολιτεύοντο· ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν [l] ἄγοντες, ἀθάνατον κλέος αὑτῶν λελοίπασι, τοὺς [m] δ' [n] ἐπιτηδεύοντας οἷα σοὶ [o] βε-
97 βίωται τῆς ἀγορᾶς εἴργοντες. ὑμεῖς δ' εἰς τοῦτ' [p] ὦ ἄν- 618
δρες Ἀθηναῖοι προήχθητ' εὐηθείας καὶ ῥᾳθυμίας, ὥστ' οὐδὲ [q] τοιαῦτα ἔχοντες παραδείγματα ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. καὶ [r] τοῦτ' ἀσέβημα ἔλαττον τίνος ἡγεῖσθε; ἐγὼ μὲν γὰρ οἶμαι δεῖν τὸν [s] εἰς ἱερὰ εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἁψόμενον καὶ τῆς πρὸς [t] τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον οὐχὶ [u] προειρημένων ἡμερῶν ἀριθμὸν [x] ἀγνεύειν, ἀλλὰ τὸν βίον [y] ὅλον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων οἷα τούτῳ βεβίωται.

[h] διπλᾶς πράττοντες om. O.

[i] ἀνέθεσαν] ἀνέθεσαν r.

[k] οἷόσπερ] οἷοιστερ F.S.Y.O.r.t. οἷσπερ k. οἷός ποτε s.

[l] ἄγοντες] ἀνάγοντες S.

[m] δ' om. S. Y. O. r.

[n] ἐπιτηδεύοντας] ἐπιτηδεύοντα F. ἐπιτηδεύσαντας r. ἐπιτηδεύσαντας S. Y. O. s.

[o] βεβίωται] βεβίωνται Y. O. s.

[p] ὦ ἄνδρες Ἀθηναῖοι om. k.

[q] τοιαῦτα] ταῦτα Y. O. s.

[r] τοῦτ'] τὸ F. v. τοῦτο τὸ k. r. t.

[s] εἰς om. O.

[t] τοὺς om. O.

[u] προειρημένων Reiskius : libri προειρημένον.

[x] ἀγνεύειν] ἀγνεύειν μόνον k. r. s.

[y] ὅλον om. S.

ΚΓ.

ΚΑΤΑ ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ.

ΥΠΟΘΕΣΙΣ.

Χαρίδημον τὸν Ὠρείτην, ἡγούμενον ξενικοῦ καὶ στρατηγοῦντα παρὰ Κερσοβλέπτῃ τῷ Θράκης βασιλεῖ, πολίτην σφῶν αὐτῶν [a] Ἀθηναῖοι ἐποιήσαντο, τὰ μὲν γεγονότα χρήσιμον αὐτοῖς, τὰ δὲ προσδοκῶντες ἔτι μᾶλλον γενήσεσθαι. περὶ τούτου ψήφισμα ἔγραψεν Ἀριστοκράτης ἐν τῇ βουλῇ τοιοῦτον· ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς Ἀθηναίων συμμαχίδος· ἐὰν δέ τις τὸν ἀγόμενον ἀφέληται ἢ [b] πόλις ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. τούτου κατηγορεῖ τοῦ ψηφίσματος Εὐθυκλῆς, [c] τῷ Δημοσθένους λόγῳ [d] χρώμενος, καὶ φησὶ πρῶτον μὲν [e] παράνομον εἶναι τὸ ψήφισμα, ὅτι κρίσιν ἀναιρεῖ καὶ δικαστήρια, καὶ τὴν τιμωρίαν ἀπὸ τῆς αἰτίας γεγραμμένην ἔχει, δεύτερον δὲ μὴ συμφέρειν τοῖς Ἀθηναίοις τοιαύτην Χαριδήμῳ δοῦναι δωρεάν· ἀπολοῦμεν γάρ, [f] φησί, διὰ [g] ταύτης Χερρόνησον. τὸ δὲ ὅπως ὁ λόγος δείξει. ἐξετάζει [h] δὲ καὶ τὴν τοῦ προσώπου ποιότητα, λέγων οὐκ εἶναι δωρεῶν ἄξιον τὸν Χαρίδημον, καὶ ταῦτα [i] τοιούτων. 619

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Ἡ Εὔβοια μία νῆσος καταντικρὺ τῆς Ἀττικῆς, διήκουσα διὰ τῆς Βοιωτίας καὶ τῆς Φωκίδος μέχρι τῶν Ἀφετῶν· Ἀφεταὶ δὲ τῆς Θετταλίας τόποι. ἴσμεν δὲ ὅτι χωρία πολλὰ εἶχεν ἡ Εὔβοια. ἔστι δὲ ἐν τῇ Εὐβοίᾳ χωρίον Ὠρεός· τοῦ Ὠρεοῦ δὲ ὁ πολίτης Ὠρείτης. Ὠρείτης οὖν τις Χαρίδημος ξεναγὸς ἦν τῶν Ἀθηναίων. ξεναγὸς δέ ἐστιν, ὅτε τις στράτευμα ξένων ὑπέρ τινος ἄλλου τρέφει. διὰ τοῦτο οὖν καὶ οὗτος ἐλέγετο ξεναγός, ἐπειδὴ στράτευμα ξένων ἔτρεφεν ὑπὲρ συμμαχίας τῶν Ἀθηναίων. ἦν οὖν τῶν μὲν Ἀθηναίων ξεναγός, γαμβρὸς δὲ Κότυος τοῦ τῶν Θρακῶν βασιλέως καὶ στρατηγός. ὁ δὲ Κότυς παρέλαβέ ποτε τὴν Χερρόνησον τὴν Ἀθηναίων οὖσαν. καὶ τελευτήσας κατέλιπε τῆς βασιλείας διάδοχον Κερσοβλέπτην, εἰ μετά τινων δύο, Βηρισά-

[a] Ἀθηναῖοι] οἱ ἀθηναῖοι Y. k.

[b] πόλις] πολίτης F. k. v.

[c] τῷ Δημοσθένους] τοῦ δημοσθένους F. Y.

[d] χρώμενος F. Y. k. ceteri χρησάμενος.

[e] παράνομον εἶναι τὸ ψήφισμα F. Y. k. ceteri εἶναι τὸ ψήφισμα παράνομον.

[f] φησί] Addidi ex F. k.

[g] ταύτης] ταύτην k.

[h] δὲ καὶ τὴν] δὲ τὴν v.

[i] τοιούτων] τοιοῦτον ὄντα k.

δου καὶ Ἀμαδόκου, τὴν βασιλείαν μερίσαιτο. εἶχε δὲ στρατηγὸν ὁ μὲν Κερσοβλέπτης ὡς συγγενῆ τὸν Χαρίδημον, ὁ δὲ Βηρισάδης τινὰ Ἀθηρίδηρον, Ἀθηναῖον φύσει, Ἀλωπεκῆθεν· ὁ δὲ Ἀμάδοκος δύο στρατηγοὺς εἶχε, Σίμωνα καὶ Βιάνορα. Ἰδίᾳ τοίνυν ἕκαστος τῶν βασιλέων ἤθελε χάριν τοῖς Ἀθηναίοις ποιήσασθαι διὰ τὸ ἔχειν αὐτοὺς εἰς συμμαχίαν αὐμενεῖς, καὶ συμβουλεύσαντος τοῦ Χαριδήμου δοῦναι κοινῇ τοῖς Ἀθηναίοις τὴν Χεβρόνησον ἐπείσθησαν οἱ 620
βασιλεῖς καὶ δεδώκασι. τοῦτο γνόντες οἱ Ἀθηναῖοι τὸν Χαρίδημον ἐστεφάνωσαν ὡς εὐεργέτην αὐτῶν χρυσῷ στεφάνῳ, καὶ θετὸν πολίτην αὐτὸν ἐποίησαντο. 5
[k] τοῖς δὲ ὁ Χαρίδημος, ὅτι φιλοῦσιν αὐτόν, ἐδήλωσεν αὐτοῖς διά τινος Ἀριστοδήμου ὡς ἂν ποιήσωσιν ἀσφάλειαν αὐτῷ περὶ τῆς τοῦ σώματος φυλακῆς καὶ ὅτι οὐκ ἐπιβουλεύεται, δίδωσιν αὐτοῖς τὴν Ἀμφίπολιν, ἀφαιρούμενος αὐτὴν ἀπὸ Φιλίππου. Ἀριστοκράτης οὖν τις Ἀθηναῖος ὑπειλημμένος ἔγραψε τοιοῦτο 10
ψήφισμα· ὁ φονεύων Χαρίδημον ἀγώγιμος ἔστω, τοῦτ' ἔστιν ἀκτίος ἐπὶ τὸ κολασθῆναι· ἐὰν δέ τις, φησίν, ἀφίληται τὸν ἀγώγιμον ἡ πόλις ἢ ἰδιώτης καὶ ὡς εἰπεῖν ἀντιλάβηται αὐτοῦ, ἔκστατος ἔστω τῶν Ἀθηναίων. Εὐθυκλῆς 15
δέ τις Θάσιος τὸν δῆμον ἐπελάβετο τοῦ ψηφίσματος ὡς καιῶς ἔχοντος, ὡς παρανόμου καὶ ἀσυμφόρου καὶ γεγραμμένου ἀνδρὶ ἀναξίῳ. οὗτος λαβὼν παρὰ τοῦ Δημοσθένους τὸν λόγον, χρυσίον παρασχών, κατηγόρει τοῦ Ἀριστοκράτους. 20
ὁρῶν οὖν ὁ ῥήτωρ τὴν ἁπλῆν ὑπόθεσιν ἰσχύουσαν μὲν τῷ νομίμῳ, κινδυνεύουσαν δὲ διὰ τὸ πρωτιμᾶσθαι τὸ συμφέρον τῆς ἀξίας ὑφ' ἑκάστου τῶν λαμβανόντων πολλάκις, καὶ μάλιστα ὅταν στρατηγοὶ τυγχάνωσιν ἐπίδοξοι καὶ τὴν πόλιν εὐεργετῶσιν, οἷος ὁ Χαρίδημος [l] καὶ Κερσοβλέπτου στρατηγὸς ὁ ἀδελφὸς αὐ- 25
τοῦ ἔχων καὶ διὰ τὸ δόξαι ἐν τῇ κατὰ τὴν Χεβρόνησον αὖ ποιεῖν Ἀθηναίους αἱρεθεὶς στρατηγὸς αὐτῆς τῆς πόλεως, ἑτέραν ἐξεῦρεν [m] ὑπόθεσιν .... ἐπιπλέκων ταράττει τὸν ἀκροατήν, φάσκων γεγράφθαι τὸ ψήφισμα ἐπὶ Χεβρονήσῳ τῆς 621
πόλεως σχήματι. ὡς οὖν ἀμφοτέρων, τοῦ τε Κερσοβλέπτου καὶ τοῦ δήμου τῶν Ἀθηναίων, καὶ βουλομένου Χαριδήμου ταύτης ἐπιτυχεῖν τῆς δωρεᾶς, Δημοσθένης τὴν κατὰ τὴν Χεβρόνησον ὑπόθεσιν ἐπέθηκεν, εἰς ὑποψίαν ἄγων τοὺς 5
ἀκούοντας, καὶ φάσκων ἐξ ἐπιβουλῆς Ἀριστοκράτην γεγραφέναι τὸ ψήφισμα, ὅπως μηδενὸς τῶν βασιλέων ἀναιροῦντος αὐτὸν φόβῳ τῆς πόλεως περιποιήσῃ [n] Κερσοβλέπτης πάλιν Χεβρόνησον. τοσαῦτα περὶ τῆς ὑποθέσεως.

ΜΗΔΕΙΣ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ μήτε ἰδίας ἔχθρας [o] ἐμὲ μηδεμιᾶς ἕνεκ' ἧκειν Ἀριστοκράτους κατηγορήσοντα τουτουί, μήτε μικρὸν ὀρῳντά τι καὶ φαῦλον

[k] τοῖς δὲ ὁ Χαρίδημος] An forte γοῖς δὲ ὁ Χαρίδημος?

[l] καὶ Κερσοβλέπτου στρατηγὸς ὁ] Malim articulo transposito ὁ καὶ Κερσοβλέπτου στρατηγός.

[m] ὑπόθεσιν] Addendum ἣν.

[n] Κερσοβλέπτης πάλιν] Praestat fortasse Κερσοβλέπτῃ: adverbium om. pr. F.

[o] ἐμὲ om. r. s.

ἁμάρτημα ἑτοίμως οὕτως ἐπὶ τούτῳ [p] προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν, ἀλλ' εἴπερ ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, ὑπὲρ τοῦ Χερρόνησον ἔχειν [q] ὑμᾶς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου μοί ἐστιν ἅπασα ἡ σπουδή. δεῖ δὴ πάντας ὑμᾶς, εἰ βούλεσθε ὀρθῶς περὶ τούτων μαθεῖν καὶ κατὰ τοὺς νόμους δικαίως κρῖναι τὴν γραφήν, μὴ μόνον τοῖς γεγραμμένοις ἐν τῷ ψηφίσματι ῥήμασι προσέχειν τὸν νοῦν, ἀλλὰ καὶ τὰ συμβησόμενα ἐξ αὐτῶν σκοπεῖν. εἰ μὲν γὰρ ἦν ἀκούσασιν [r] εὐθὺς εἰδέναι τὰ [s] κεκακουργημένα, τὴν ἀρχὴν ἴσως ἂν οὐκ ἐξηπάτησθε· ἐπειδὴ δὲ [t] τοῦθ' ἕν ἐστι τῶν ἀδικημάτων, τὸ τοῦτον τὸν τρόπον καὶ λέγειν καὶ γράφειν ἑνίους ὃν ἂν ἥκιστα ὑμεῖς [u] ὑπίδοισθέ τι καὶ [x] φυλάξαισθε, προσήκει μὴ πάνυ θαυμάζειν, εἰ καὶ τοῦτο τὸ ψήφισμα ἡμεῖς οὕτω γεγραμμένον ἐπιδείξομεν, ὥστε δοκεῖν μὲν Χαριδήμῳ φυλακήν τινα [y] τοῦ σώματος διδόναι, τὴν ὡς ἀληθῶς δὲ δικαίαν καὶ [z] βεβαίαν φυλακὴν [a] Χερρονήσου τῆς πόλεως ἀποστερεῖν. εἰκότως [b] δ' ἄν, ὦ [c] ἄνδρες Ἀθηναῖοι, καὶ [d] προσέχοιτέ [e] μοι τὸν νοῦν, καὶ μετ' εὐνοίας [f] ἀκούσαιτε ἃ λέγω. ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς οὐδὲ τῶν πολιτευομένων καὶ πιστευομένων παρ' ὑμῖν [g] ὧν πρᾶγμα τηλικοῦτόν φημι δείξειν πεπραγμένον, ἐάν, ὅσον ἐστὶν ἐν ὑμῖν, [h] συναγωνίσησθέ

[p] προάγειν] προσάγειν k.
[q] ὑμᾶς] ἡμᾶς k.
[r] εὐθὺς] αὐτοῖς r.
[s] κεκακουργημένα] κακουργήματα v.
[t] τοῦθ' ἕν ἐστι] τοῦτ' ἔνεστι r. s.
[u] ὑπίδοισθέ τι S. O. s. v. ceteri ὑπίδοισθ' ἔτι.
[x] φυλάξαισθε] φυλάξοισθε v. φυλάξησθε k.
[y] τοῦ σώματος] τούτους k.
[z] βεβαίαν] βέβαιον k. r. s.
[a] Χερρονήσου] χερρόνησον v.
[b] δ' ἄν] δὲ Anecdot. nostr. p. 163, 25.
[c] ἄνδρες om. O.
[d] προσέχοιτε] προσέχετε k.
[e] μοι] μου Anecd.
[f] ἀκούσαιτε] ἀκούσατε k.
[g] ὧν] ὃν r. s.
[h] συναγωνίσησθε] διαγωνίσησθε k.

μοι καὶ προθύμως ἀκούσητε, τοῦτό τε σώσετε, καὶ ποιήσετε μὴ κατοκνεῖν, [i] ἄν [k] τίς τι καὶ [l] ἡμῶν οἴηται [m] δύνασθαι [n] ποιῆσαι τὴν πόλιν ἀγαθόν. οἰήσεται δέ, ἐὰν μὴ χαλεπὸν εἶναι [o] νομίζῃ τὸ παρ' [p] ὑμῖν λόγου τυχεῖν. νῦν δὲ πολλοῖς τοῦτο φοβουμένοις, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δὲ ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν. ἐγὼ γοῦν (ὀμνύω τοὺς θεοὺς ἅπαντας) ἀπώκνησ' ἄν, εὖ ἴστε, καὶ αὐτὸς τὴν γραφὴν [q] ταύτην [r] ἀπενεγκεῖν, εἰ μὴ πάνυ τῶν αἰσχρῶν ἐνόμιζον εἶναι ὧν μὲν ἡσυχίαν [s] ἄγειν καὶ σιωπῆσαι, πρᾶγμ' [t] ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας ὁρῶν τινὰς ἀνθρώπους, πρότερον δ', [u] ὅτ' ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον, εἰπεῖν καὶ κατηγορῆσαί τινων, οὓς ἀδικεῖν [x] ὑμᾶς ἡγούμην.

6 Οὐκ ἀγνοῶ μὲν οὖν ὅτι τὸν Χαρίδημον εὐεργέτην εἶναί [y] τινες τῆς πόλεως οἴονται· ἐγὼ δὲ [z] ἄν περ, [a] ἃ βούλομαι τε καὶ οἶδα πεπραγμένα ἐκείνῳ, δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν, οἶμαι [b] δείξειν οὐ μόνον οὐκ εὐεργέτην ἀλλὰ καὶ κακοηθέστατον [c] ἀνθρώπων ἁπάντων καὶ πολὺ τἀναντία 7 ἢ προσῆκεν ὑπειληλυθότα. εἰ μὲν οὖν, ὦ [d] ἄνδρες Ἀθηναῖοι, τοῦτο μέγιστον Ἀριστοκράτης ἠδίκει, τὸ [e] τοιούτου, οἷον ἐγὼ φημι δείξειν τὸν Χαρίδημον ὄντα, τοσαύτην πε-

[i] ἄν] ἐάν O. r. s.
[k] τίς τι καὶ r. s. τίς τι k. vulg. τις καὶ.
[l] ἡμῶν] ἐμῶν r.
[m] δύνασθαι] δύνασθαί τι F.
[n] σωῆσαι] σωήσειν k.
[o] νομίζῃ] νομίσῃ F. Y. v.
[p] ἐμῶν] ἐμῶν r.
[q] ταύτην recepi ex F. S. Y. O. k. s. v.
[r] ἀπενεγκεῖν] ἐνενεγκεῖν k.
[s] ἄγειν] ἀγαγεῖν F. r. s.
[t] ἀλισιτελὲς] λυσιτελὲς F.
[u] ὅτ' ἔπλευσα] ὅτε πλεῦσαι S.
[x] ὑμᾶς] ἡμᾶς r.
[y] τινες om. k.
[z] ἄν] ἐάν r.
[a] ἃ] ἃν ἃ F.
[b] δείξειν] δείξων O.
[c] ἀνθρώπων] ἄνθρωπον S.
[d] ἄνδρες om. k. idque pro more suo.
[e] τοιούτου] τοιοῦτοι F. τοιοῦτων v. et pr. k.

ποιῆσθαι πρόνοιαν ἐν τῷ ψηφίσματι ὥστε [f] ἰδίαν παρὰ τοὺς νόμους, ἐάν τι πάθῃ, τιμωρίαν αὐτῷ δεδωκέναι, [g] ταῦτ' ἂν ἤδη λέγειν πρὸς ὑμᾶς ἐπεχείρουν, ἵν' εἰδῆτε πολλοῦ δεῖν ἄξιον ὄντα τυχεῖν τοῦ ψηφίσματος αὐτὸν τουτουί. [h] νυνὶ δ' ἕτερον τούτου μεῖζον διὰ τοῦ ψηφίσματος ἔστ' ἀδίκημα, ὃ δεῖ πρότερον καὶ μαθεῖν ὑμᾶς καὶ φυλάξασθαι.

8 Ἀνάγκη δ' ἐστὶ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι, τί ποτ' ἐστὶ τὸ Χερρόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· διὰ γὰρ [i] τοῦ μαθεῖν τοῦτο καὶ [k] τὸ ἀδίκημα [l] σαφῶς ὄψεσθε. ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο [m] τὸ τελευτήσαντος Κότυος Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας· συμβέβηκε γὰρ ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι 9 [n] τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι καὶ θεραπεύειν. τοῦτο τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι βουλόμενοί τινες παῦσαι, καὶ καταλῦσαι μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δ' ἑνὶ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττονταί σφισι τοῦτο γενέσθαι τὸ προβούλευμα, [o] τῷ μὲν ἀκοῦσαι [p] κεχωρισμένοι τοῦ τι τοιοῦτον δοκεῖν διαπράξασθαι, τῷ δ' ἔργῳ πάντων μάλιστα τοῦτο περαίνοντες, ὡς ἐγὼ δι-
10 δάξω. ἐπειδὴ γὰρ ἑνὸς τελευτήσαντος τῶν βασιλέων, Βη- 624
ρισάδου, παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἃς μεθ' [q] ὑμῶν ἐποιήσατο, Κερσοβλέπτης ἐξέφερε πόλεμον [r] πρός τε τοὺς Βηρισάδου παῖδας καὶ πρὸς Ἀμάδοκον,

[f] ἰδίαν] ἰδία k.
[g] ταῦτ'] τοῦτ' v.
[h] νυνὶ] νῦν k.
[i] τοῦ μαθεῖν] τὸ μαθεῖν k.
[k] τὸ ἀδίκημα] τἀδικήματα O. quæ vulg. adduntur, ὅ φημι, omisi cum F. S. Y. O.
[l] σαφῶς ὄψεσθε] ὄψεσθε σαφῶς v.
[m] τὸ post τοῦτο om. Y. s. et pr. S. lacunam ejus loco habet s.
[n] τούτους om. k.
[o] τῷ μὲν] τὸ μὲν s.
[p] κεχωρισμένοι] κεχωρισμένον S. Y. O. k. s.
[q] ὑμῶν] ἡμῶν k.
[r] πρός τε] πρὸς O.

εὕδηλον [a]ἦν ὅτι τοῖς [t]μὲν Βηρισάδου παισὶν Ἀθηνόδωρος [u]βοηθήσει, τῷ δ' Ἀμαδόκῳ Σίμων καὶ [x]Βιάνωρ· ὁ μὲν γὰρ Βηρισάδου κηδεστής, [y]οἱ δὲ Ἀμαδόκου γεγόνασιν. ἐσκόπουν [z]οὖν τίν' ἂν τρόπον ἡσυχίαν [a]μὲν ἔχειν ἀναγκασθεῖεν οὗτοι, ἐρήμων δὲ ὄντων ἐκείνων ὁ [b]Κερσοβλέπτη πράττων τὴν ἀρχὴν Χαριδήμος ἀσφαλῶς πάντα [c]κατα-στρέψαιτο. εἰ πρῶτον μέν, ἄν τις αὐτὸν ἀποκτείνῃ, ψήφισμα ὑμέτερον γένοιτο ἀγώγιμον εἶναι· δεύτερον δέ, εἰ χειροτονηθείη στρατηγὸς ὑφ' ὑμῶν Χαριδήμος. οὔτε γὰρ [d]ὑμετέρῳ στρατηγῷ [e]προχείρως ἐναντία θήσεσθαι τὰ ὅπλα ἔμελλεν ὁ Σίμων οὐδ' ὁ Βιάνωρ, πολῖται γεγενημένοι καὶ ἄλλως ἐσπουδακότες πρὸς ὑμᾶς· ὁ δὲ δὴ γένει πολίτης Ἀθηνόδωρος οὐδὲ [f]βουλεύσεσθαι, οὐδὲ τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν ὑποδύσεσθαι, ἢ πρόδηλος ἦν ἐπ' ἐκείνους ἥξουσα, εἴ τι πάθοι Χαριδήμος. ἐκ δὲ τούτου τοῦ τρόπου τῶν μὲν ἐρήμων ὄντων βοηθῶν, αὐτοῖς δὲ ἀδείας δοθείσης, ῥᾳδίως [g]ἐκβαλεῖν ἐκείνους καὶ κατασχήσειν τὴν ἀρχήν. καὶ ὅτι ταῦθ' οὕτως ᾤοντο καὶ τοῦτ' ἦν τὸ κατασκεύασμα αὐτοῖς, τὰ πραχθέντα αὐτὰ κατηγορεῖ. ἅμα γὰρ τῷ πολέμῳ τε ἐνεχείρουν αὐτοὶ καὶ πρὸς [h]ὑμᾶς ἦκεν Ἀριστόμαχος πρεσβευτὴς παρ' αὐτῶν ὁ Ἀλωπεκῆθεν [i]οὑτοσί, ὃς ἄλλα τε ἐδημηγόρει παρ' ὑμῖν ἐπαινῶν καὶ διεξιὼν [k]τὸν Κερσοβλέπτην καὶ τὸν Χαριδήμον, ὡς

[a] ἦν] ὃν in litura k.
[t] μὲν om. k. r.
[u] βοηθήσει] βοηθήσει F. k. v.
[x] Βιάνωρ] κιάνωρ s.
[y] οἱ δὲ] ὁ δὲ k. r. v.
[z] οὖν om. k.
[a] μὲν om. S. Y. et pr. O.
[b] Κερσοβλέπτη] τῷ κερσοβλέπτῃ F. v. et rec. O.
[c] κατασταρψαιτο] κατεστρέψατο Y. O. et pr. S.
[d] ὑμετέρῳ] τῷ ὑμετέρῳ k. r. s.
[e] προχείρως] πρόθυμος k.
[f] βουλεύσεσθαι] βουλεύσασθαι S. Y. O. βουλεύσεσθαι k.
[g] ἐκβαλεῖν] ἐκβάλλειν S. Y. et pr. F.
[h] ὑμᾶς] ἡμᾶς k. v.
[i] οὑτοσί] οὑτοσὶ r.
[k] τὸν Κερσοβλέπτην S. ceteri τόν τε κερσοβλέπτην.

14 φιλανθρώπως ἔχουσι πρὸς ὑμᾶς, καὶ μόνον ἀνθρώπων ἂν ἔφη Χαρίδημον Ἀμφίπολιν [l] κομίσασθαι τῇ πόλει δύνασθαι, [m] καὶ παρήνει στρατηγὸν χειροτονῆσαι. ἡτοίμαστο δ' αὐτοῖς τοῦτο τὸ προβούλευμα καὶ προδιώκητο, ἵνα εἰ πεισθείητε ἐκ τῶν ὑποσχέσεων καὶ τῶν ἐλπίδων, ἃς ὑπέτεινεν ὁ Ἀριστόμαχος, εὐθὺς ἐπικυρώσειεν ὁ δῆμος καὶ μηδὲν ἐμποδὼν εἴη. καίτοι πῶς ἂν τεχνικώτερον ἢ 15 κακουργότερον [n] συμπαρεσκεύασαν ἄνθρωποι ὅπως οἱ μὲν ἐκπεσοῦνται τῶν βασιλέων, εἷς δ', ὃν αὐτοὶ βούλονται, πᾶσαν [o] ὑφ' αὑτὸν ποιήσεται τὴν ἀρχήν, ἢ τοὺς μὲν τοῖν δυοῖν [p] βοηθήσαντας ἂν εἰς φόβον καὶ συκοφαντίας εὐλάβειαν καθιστάντες, ἣν εἰκὸς προσδοκᾶν ἐκείνους ἐφ' [q] αὑτοὺς ἐλθεῖν ἂν διὰ τοῦ ψηφίσματος [r] τουτουί, [[s] εἴ τι πάθοι Χαρίδημος,] τῷ δ' ἑνὶ πράττοντι τὴν ἀρχὴν καὶ πάντα τἀναντία τοῖς ὑμῖν συμφέρουσι κατασκευάζοντι τοσαύτην 16 ἐξουσίαν διδόντες [t] τοῦ ταῦτ' ἀδεῶς πράττειν; οὐ τοίνυν [u] μόνον [x] ἐκ τούτων δῆλόν ἐσθ' ὅτι τούτων ἕνεκ' [y] ἐρρήθη τὸ προβούλευμα ὧν λέγω, ἀλλὰ [z] καὶ ἐκ τοῦ ψηφίσματος [a] αὐτοῦ μαρτυρία τίς ἐστιν εὐμεγέθης. ἂν γὰρ ἀποκτείνῃ τις Χαρίδημον γράψας, καὶ παραβὰς τὸ τί πράττοντα εἰπεῖν, [b] πότερ' ἡμῖν συμφέροντα ἢ οὔ, γέγραφεν εὐθὺς 17 ἀγώγιμον ἐκ τῶν συμμάχων εἶναι. οὐκοῦν τῶν μὲν ἐχθρῶν ὁμοίως ἡμῖν [c] τε κἀκείνῳ οὐδέποτ' εἰς τοὺς ἡμετέρους

[l] κομίσασθαι] χαρίσασθαι F. k. v.
[m] καὶ ante παρήνει om. s.
[n] συμπαρεσκεύασαν] παρεσκεύασαν k.
[o] ὑφ' αὑτὸν ποιήσεται] ὑφ' ἑαυτῷ ποιήσαιτο F. v.
[p] βοηθήσαντας] βοηθήσοντας k. r. s.
[q] αὑτοὺς] ἑαυτὸν Y.
[r] τουτουί] τούτου k. r. s.
[s] εἴ τι πάθοι Χαρίδημος om. F. S. Y. et pr. O.
[t] τοῦ om. pr. Y.
[u] μόνον om. r. post ἐκ τούτων ponit v.
[x] ἐκ τούτων] ἐκ τούτου k.
[y] ἐρρήθη] ἐρρηθη O.
[z] καὶ om. v.
[a] αὐτοῦ μαρτυρία τίς ἐστιν] ἤδη τίς ἐστι μαρτυρία k.
[b] πότερ'] πότερον k.
[c] τε post ἡμῖν om. k. r. s.

ἥξει συμμάχους οὐδείς, οὔτ' ἀποκτείνας ἐκεῖνον οὔτε μή, ὥστ' [d] οὐ κατὰ τούτων γέγραφε ταύτην τὴν τιμωρίαν. τῶν δὲ ἡμετέρων μὲν φίλων, ἐκείνου δ', ὅταν ἐγχειρῇ [e] τι πράτ- 626
τειν ἐναντίον [f] ἡμῖν, ἐχθρῶν, τούτων [g] ἂν τις [h] εἴη ὁ τοῦτο τὸ ψήφισμα [i] φοβηθεὶς καὶ [k] φυλαξάμενος [l] μὴ δι' ἀνάγκην ἡμῖν εἰς ἔχθραν ἐλθεῖν. ἔστι τοίνυν οὗτος Ἀθηνόδωρος, 5
Σίμων, Βιάνωρ, οἱ Θράϊκης βασιλεῖς, ἄλλος ὅστις ἂν εἰς εὐεργεσίας μέρος καταθεῖσθαι βούλοιτο τὸ πράττειν ὑπεναντία ἐκείνον ἐγχειροῦνθ' ὑμῖν ἐπισχεῖν.

18 [r] Ὧν μὲν τοίνυν ἕνεκ' ἐρρήθη τὸ προβούλευμα, ἵνα κυρώσειεν ὁ δῆμος ἐξαπατηθείς, καὶ δι' ἃ τὴν γραφὴν ἐποιη- 10
σάμεθα ἡμεῖς [m] ταυτηνί, βουλόμενοι κωλῦσαι, ταῦτ' ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι. δίκαιον δ' ἐστὶν ἴσως ἐμὲ [n] ὑπεσχη-
19 μένον τρία ἐπιδείξειν, ἓν μὲν ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται, δεύτερον δὲ ὡς [o] ἀσύμφορόν ἐστι τῇ 15
πόλει, τρίτον δὲ ὡς ἀνάξιός ἐστι [p] τυχεῖν τούτων [q] ὧ γέγραπται, [r] πάντων αἱρεσιν ὑμῖν δοῦναι τοῖς ἀκουσομένοις, τί πρῶτον ἢ τί δεύτερον ἢ τί τελευταῖον βουλομένοις [s] ἀκούειν ὑμῖν ἐστίν. ὅ τι [t] δὴ βούλεσθε, ὁρᾶτε, ἵνα τοῦτο λέγω πρῶτον ὑμῖν. περὶ τοῦ παρανόμου βούλεσθε πρῶ- 20
20 τον; τοῦτο τοίνυν ἐροῦμεν. ἃ δὴ [u] δέομαί τε καὶ ἀξιῶ παρὰ πάντων ὑμῶν τυχεῖν, [x] δίκαια, ὡς [y] γ' ἐμαυτὸν

[d] οὐ κατὰ] οὐκ ἀπὸ r. s.
[e] τι om. S. Y. O.
[f] ἡμῖν] ἐμοῖ F.S.r.s.v. et pr. O.
[g] ἂν] δή γρ. S.
[h] εἴη] ἐστι F. S. Y. O. k. s.
[i] φοβηθεὶς] φοβηθεὶς ἂν γρ. S.
[k] φυλαξάμενος] φιλαξίμενος F.r. s. et pr. v.
[l] μὴ δι' ἀνάγκην ἡμῖν εἰς ἔχθραν] διὰ μηδεμίαν ἀνάγκην εἰ, ἔχθραν ἡμῖν γρ. S.
[m] ταυτηνί] ταύτην F. v.
[n] ὑπεσχημένον] ὑπεσχημένου ἐμοῦ k. r. s.
[o] ἀσύμφορόν ἐστι] ἀσύμφορον k.r.s.
[p] τυχεῖν τούτων] τούτων τυχεῖν k.
[q] ᾧ] ὃν F. Y. O. k. v.
[r] πάντων S. Y. ceteri ἁπάντων τούτων. Sed pronomen om. etiam pr. O.
[s] ἀκούειν ἐμῖν ἐστὶν S. Y. O. ceteri ἐμῖν ἐστὶν ἀκούειν.
[t] δὴ om. r.
[u] δέομαί τε] δέομαι S.
[x] δίκαια, ὡς] δικαίως F. v.
[y] γ' recepi ex S.Y.O. et rec. v.

πείθω· μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ διεψεῦσθαι τοῦ Χαριδήμου καὶ νομίζειν εὐεργέτην εἶναι φιλονεικῶν δυσχερέστερον τοὺς περὶ τῶν νόμων λόγους [z] ἀκούσῃ μου, μηδ' ἀποστερήσῃ διὰ τοῦτο μήθ' ἑαυτὸν τοῦ θέσθαι τὴν ψῆφον εὔορκον μήτε [a] ἐμὲ τοῦ διδάξαι περὶ πάντων ὑμᾶς ὡς βούλομαι, ἀλλὰ [b] ποιησάσθω τὴν ἀκρόασιν ὠδί· καὶ
21 [c] σκοπεῖσθε [d] ὡς δίκαια ἐρῶ. ὅταν [e] μὲν λέγω περὶ τῶν 627
νόμων, ἀφελὼν ὅτῳ τὸ ψήφισμα εἴρηται καὶ ποίῳ τινί, [f] σκοπείσθω [g] πότερον [h] παρὰ τοὺς νόμους ἢ [i] κατ' αὐτοὺς [k] εἴρηται, καὶ μηδὲν ἄλλο· ὅταν δ' ἐλέγχω τὰ πεπραγμένα καὶ διεξίω τὸν τρόπον ὃν πεφενάκισθε ὑπ' αὐτοῦ, τὰς πράξεις σκοπείσθω, πότερον γεγονυίας ἢ ψευδεῖς
22 ἐρῶ· ὅταν δὲ ἐξετάζω περὶ τοῦ συμφέρειν ἢ μὴ τῇ πόλει ταῦτα ψηφίσασθαι, πάντα τἆλλα ἀφεὶς τοὺς λογισμοὺς ὁράτω τοὺς περὶ τούτων, πότερ' ὀρθῶς ἔχοντας ποιοῦμαι ἢ οὔ. ἐὰν γὰρ τοῦτον ἔχοντες τὸν τρόπον ἀκροᾶσθέ μου, αὐτοί τε [l] ἄριστα ἃ προσήκει συνήσετε, χωρὶς [m] ἕκαστα σκοποῦντες καὶ οὐχ ἅμα πάντα ἀθρόα ἐξετάζοντες, κἀγὼ ῥᾷστα ἃ βούλομαι δυνήσομαι διδάξαι. ἔσονται δὲ βραχεῖς περὶ πάντων οἱ λόγοι.

23 Λαβὲ δὴ τοὺς νόμους αὐτοὺς καὶ λέγε, ἵν' ἐξ αὐτῶν ἐπιδεικνύω τούτων τὸ παρανόμον.

[z] ἀκούσῃ μοῦ S. Y. O. ceteri ἡμῶν ἀκούσῃ.

[a] ἐμὲ τοῦ] ἐμέ τις r.

[b] ποιησάσθω] ποιησάσθω k.

[c] σκοπεῖσθε] σκοπεῖσθαι s. et pr. r. σκοπεῖσθε k. σκοπείσθω F. v. et rec. r.

[d] ὡς δίκαια] ὠδί. καὶ ἃ r. s. vulg. ὡς δίκαια ἅ.

[e] μὲν] μὲν γὰρ r. s.

[f] σκοπείσθω S. Y. ceteri σκοπεῖν: om. γρ. S.

[g] πότερον S. Y. O. πότερα k. περὶ τοῦ πότερα r. s. περὶ τοῦ πότερον v. περὶ τοῦ F. et γρ. S.

[h] παρὰ—κατὰ] κατὰ—παρὰ k.

[i] κατ' αὐτοὺς S. Y. O. ceteri κατὰ τοὺς νόμους.

[k] εἴρηται] εἴρηται σκοπείσθω F. k. r. s. v. et γρ. S.

[l] ἄριστα—συνήσετε] ῥᾷστα—συνίετε r. s.

[m] ἕκαστα] ἑκαστῶν F. ἕκαστον k. r. s. v.

[n] ΝΟΜΟΣ [o] ΕΚ ΤΩΝ ΦΟΝΙΚΩΝ [p] ΝΟΜΩΝ ΤΩΝ ΕΞ ΑΡΕΙΟΥ ΠΑΓΟΥ.

Δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς.

24 Ἐπισχες. [q] Ἠκούσατε μὲν τοῦ [r] τε νόμου καὶ τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι· ὡς δ' ἄν μοι [s] δοκεῖτε τοὺς περὶ τοῦ παρανόμου λόγους αὐτοὺς ῥᾷστα [t] μαθεῖν, τοῦθ' ὑμῖν φράσω, εἰ σκέψαισθ', ἐν τίνι τάξει ποτ' ἐστὶν ὑπὲρ οὗ τὸ ψήφισμα εἴρηται, πότερα ξένος ἢ μέτοικος ἢ
25 πολίτης ἐστίν. εἰ μὲν δὴ μέτοικον φήσομεν, οὐκ ἐροῦμεν 628
ἀληθῆ, εἰ δ' αὖ ξένον, οὐχὶ δίκαια ποιήσομεν· τὴν γὰρ τοῦ δήμου δωρεάν, ἐν ᾗ πολίτης γέγονε, κυρίαν αὐτῷ δίκαιόν ἐστιν εἶναι. ὡς ὑπὲρ πολίτου τοίνυν, ὡς ἔοικε, ποιη-
26 τέον τοὺς λόγους. θεάσασθε δὴ πρὸς Διὸς ὡς ἁπλῶς καὶ δικαίως [u] χρήσομαι τῷ λόγῳ, ὃς [v] εἰς μὲν ταύτην τίθεμαι τὴν τάξιν αὐτὸν ἐν ᾗ πλείστης ἂν τυγχάνοι τιμῆς, ἃ δ' οὐδ' ἡμῖν τοῖς γένει πολίταις ἐστίν, οὐδ' ἐκείνῳ δεῖν εἴομαι γενέσθαι παρὰ τοὺς νόμους. τίν' οὖν ἐστὶ ταῦτα; ἃ
27 [x] νυνὶ γέγραφεν οὑτοσί. γέγραπται γὰρ ἐν μὲν τῷ νόμῳ τὴν βουλὴν δικάζειν φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ [y] φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς. καὶ προεἰπὼν ὁ θεὶς τὸν νόμον "ἐὰν ἀποκτείνῃ," κρίσιν πεποίηκεν [z] ὅμως, [a] οὐ πρότερον τί χρὴ πάσχειν τὸν δε-
δρακότα εἴρηκε, καλῶς ὦ ἄνδρες Ἀθηναῖοι τοῦθ' ὑπὲρ εὐ-

[n] ΝΟΜΟΣ] *νόμοι* v. om. F.
[o] ΕΚ—ΠΑΓΟΥ] Hæc vulgo tanquam verba oratoris ponuntur ante titulum: om. v. post titulum ponunt ceteri.
[p] ΝΟΜΩΝ om. k.
[q] Ἠκούσατε] ἀκούσατε s.
[r] τε post τοῦ om. r. s.
[s] δοκεῖτε] δοκῆτε v. δοκῆτε Y.O.k.
[t] μαθεῖν] καταμαθεῖν r.
[u] χρήσομαι] θήσομαι r. s.
[v] εἰς] εἰ s.
[x] νυνὶ] νῦν s.
[y] φαρμάκων] τραυμάτων s.
[z] ὅμως—εἴρηκε om. r.
[a] οὐ] καὶ οὐ rec. O.

σεβείας ὅλης τῆς πόλεως προϊδών. πῶς; οὐκ ἔνεστιν
28 ἅπαντας ἡμᾶς εἰδέναι [b] τίς ποτ' ἐστὶν ὁ ἀνδροφόνος. τὸ
μὲν δὴ [c] τὰ τοιαῦτα ἄνευ κρίσεως πιστεύειν, ἄν τις [d] ἐπαι- 20
τιάσηται, δεινὸν ἡγεῖτο, δεῖν δ' ὑπελάμβανεν, ἐπειδήπερ
ἡμεῖς τιμωρήσομεν τῷ πεπονθότι, πεισθῆναι καὶ μαθεῖν
[e] ἡμᾶς διδασκομένους ὡς δέδρακε· τηνικαῦτα γὰρ εὐσε-
29 βὲς ἤδη κολάζειν εἰδόσιν εἶναι, πρότερον δ' οὔ. καὶ ἔτι
πρὸς [f] τούτῳ διελογίζετο ὅτι [g] πάντα τὰ τοιαῦτα ὀνόμα- 25
τα, οἷον ἐάν τις ἀποκτείνῃ, ἐάν τις ἱεροσυλήσῃ, ἐάν τις
προδῷ, καὶ τὰ τοιαῦτα πάντα [h] πρὸ μὲν τοῦ τὴν κρίσιν
γενέσθαι αἰτιῶν ὀνόματά [i] ἐστιν, ἐπειδὰν δὲ κριθείς τις
ἐξελεγχθῇ, τηνικαῦτα ἀδικήματα γίγνεται. οὐ δὴ δεῖν
ᾤετο τῷ τῆς αἰτίας ὀνόματι τιμωρίαν προσγράφειν, ἀλλὰ 629
κρίσιν. καὶ διὰ ταῦτα, ἄν τις ἀποκτείνῃ τινά, τὴν βου-
λὴν δικάζειν ἔγραψε, καὶ οὐχ ἅπερ, ἂν ἁλῷ, [k] παθεῖν
30 χρὴ εἶπεν. ὁ μὲν δὴ τὸν νόμον τιθεὶς οὕτως, ὁ δὲ τὸ ψή- 5
φισμα γράφων πῶς; ἐάν τις ἀποκτείνῃ, [l] φησί, Χαρί-
δημον. τὴν μὲν δὴ προσηγορίαν τοῦ πάθους τὴν αὐτὴν
ἐποιήσατο, ἄν τις ἀποκτείνῃ γράψας, ἥνπερ ὁ τὸν νόμον
τιθείς· μετὰ ταῦτα δὲ οὐκέτι ταὐτά, ἀλλ' ἀνελὼν τὸ
δίκην ὑπέχειν ἀγώγιμον εὐθὺς ἐποίησε, καὶ παραβὰς τὸ 10
διωρισμένον ἐκ τοῦ νόμου δικαστήριον ἄκριτον τοῖς ἐπαι-
τιασαμένοις [m] παρέδωκεν ὅ τι ἂν βούλωνται χρῆσθαι, τὸν
31 οὐδ' εἰ πεποίηκέ πω φανερόν. καὶ λαβοῦσιν ἐκείνοις ἐξέ-
σται στρεβλοῦν, αἰκίσασθαι, χρήματα [n] πράξασθαι. καί- 15

[b] τίς] τί s.
[c] τὰ om. k.
[d] ἐπαιτιάσηται] ἐπαιτιάσηταί F.
[e] ἡμᾶς] ὑμᾶς k. v.
[f] τούτῳ] τοῦτο k. r. s.
[g] πάντα om. v.
[h] πρὸ μὲν τοῦ] πρὸ τοῦ μὲν O. k.
[i] ἐστιν] εἰσὶν k.
[k] παθεῖν χρὴ εἶπεν] εἶναι S. παθεῖν εἶπεν Y. O. k. r. s. v.
[l] φησί om. pr. Y.
[m] παρέδωκεν ὅ τι] δέδωκε τὸ ὅτι k.
[n] πράξασθαι] πράξεσθαι s.

τοι [o] πάντα ταῦτα ἀπείρηκεν ἄντικρυς καὶ σαφῶς ὁ κάτωθεν νόμος μηδὲ τοὺς ἑαλωκότας καὶ [p] δεδεγμένους ἀνδροφόνους ἐξεῖναι ποιεῖν. Λέγε [q] δ' αὐτοῖς αὐτὸν τὸν νόμον τὸν μετὰ ταῦτα.

32 ΝΟΜΟΣ.

Τοὺς [r] δ' ἀνδροφόνους ἐξεῖναι ἀποκτείνειν ἐν τῇ ἡμιδακῇ καὶ ἀπάγειν, ὡς ἐν τῷ ἄξονι [s] ἀγορεύει, λυμαίνεσθαι δὲ μή, μηδὲ ἀποινᾶν, ἢ [t] διπλοῦν ὀφείλειν, [u] ὅσον ἂν καταβλάψῃ. εἰσφέρειν δὲ τοὺς ἄρχοντας, ὧν ἕκαστοι δικασταί εἰσι, τῷ βουλομένῳ. [x] τὴν δ' ἡλιαίαν διαγιγνώσκειν.

33 Ἠκούσατε μὲν τοῦ νόμου, σκέψασθε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε ὡς καλῶς καὶ σφόδρ' εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νόμον. τοὺς ἀνδροφόνους φησίν. πρῶτον [y] μὲν δὴ τοῦτον ἀνδροφόνον λέγει, τὸν ἑαλωκότα ἤδη τῇ ψήφῳ. οὐ γάρ ἐστ' οὐδεὶς ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ, 630
34 πρὶν ἂν ἐξελεγχθεὶς ἁλῷ. ποῦ ταῦτο δηλοῖ; [z] ἔν τε τῷ προτέρῳ νόμῳ [a] καὶ ἐν τούτῳ. ἐν μὲν γὰρ ἐκείνῳ γράψας ἐάν τις ἀποκτείνῃ, τὴν βουλὴν δικάζειν εἶπεν, ἐν δὲ τούτῳ τὸν ἀνδροφόνον προσειπών, ἃ χρὴ πάσχειν, εἴρηκεν· [b] οὗ μὲν γὰρ ἦν αἰτία τὸ πρᾶγμα, τὴν κρίσιν εἴρηκεν, οὗ δ' ὁ ἁλοὺς ἔνοχος τῷ προσρήματι τούτῳ καθέστηκε, τὴν τιμωρίαν ἔγραψεν. περὶ μὲν δὴ τῶν ἑαλωκότων ἂν λέγοι.
35 λέγει δὲ τί; ἐξεῖναι ἀποκτείνειν καὶ ἀπάγειν. ἆρ' ὡς αὐτόν; ἢ ὡς ἂν βούληταί τις; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ πῶς; ὡς ἐν τῷ ἄξονι εἴρηται, φησίν. τοῦτο δ' ἐστὶ τί;

[o] πάντα om. k. post ταῦτα ponunt F. r. s. v.
[p] δεδεγμένους] δεδειγμένους Y. O. et correctus v.
[q] δ'] δὴ k. r. s.
[r] δ' om. k. r. s.
[s] ἀγορεύει] ἀπαγορεύει r. s.
[t] διπλοῦν] διπλοῦν F.
[u] ὅσον] ὅσου O. ὃ pr. k.
[x] τὴν δ' ἡλιαίαν διαγιγνώσκειν] τὴν ἡλιαίαν δ' ἀναγινώσκειν Y. O.
[y] μὲν δὴ τοῦτον] τοῦτον μὲν k. s. τοῦτον r.
[z] ἔν τε] ἐν δὲ r. s.
[a] καὶ ἐν τούτῳ] καὶ τούτῳ S. Y. O. k. r. s.
[b] εἴ μὲν—εἴρηκεν om. pr. Y. k.

ὦ πάντες ἐπίστασθ' ὑμεῖς. οἱ θεσμοθέται τοὺς ἐπὶ φόνῳ φεύγοντας κύριοι θανάτῳ ζημιῶσαί εἰσι, καὶ [c] τὸν ἐκ τῆς ἐκκλησίας πέρυσι πάντες ἑωρᾶτε ὑπ' ἐκείνων ἀπαχθέντα.
36 ὡς τούτους οὖν ἀπάγειν λέγει. διαφέρει δὲ τί τοῦτο τοῦ ὡς αὐτὸν ἄγειν; ὅτι ὁ μὲν ἀπάγων ὦ ἄνδρες Ἀθηναῖοι ὡς τοὺς θεσμοθέτας τοὺς νόμους κυρίους ποιεῖ τοῦ δεδρακότος, ὁ δὲ ὡς αὐτὸν ἄγων ἑαυτόν. ἔστι δ' [d] ἐκείνως μέν, ὡς ὁ νόμος [e] τάττει, δοῦναι δίκην, οὕτω δέ, ὡς ὁ λαβὼν βούλεται. πλεῖστον δὲ δήπου διαφέρει τὸν νόμον κύριον
37 τῆς τιμωρίας ἢ τὸν ἐχθρὸν γίγνεσθαι. λυμαίνεσθαι δέ, φησί, [f] μή, μηδὲ ἀποινᾶν. ταῦτα δέ ἐστι τί; τὸ μὲν δὴ μὴ λυμαίνεσθαι γνώριμον οἶδ' ὅτι πᾶσι μὴ μαστιγοῦν, μὴ δεῖν, μὴ τὰ τοιαῦτα ποιεῖν λέγει, τὸ δὲ μηδ' ἀποινᾶν μὴ χρήματα πράττεσθαι· τὰ γὰρ [g] χρήματα ἄποινα
38 ὠνόμαζον οἱ παλαιοί. ὁ μὲν δὴ νόμος οὕτω τὸν ἀνδροφόνον [h] καὶ τὸν ἑαλωκότα ἤδη διώρισεν ὡς κολαστέον καὶ [i] οὗ· τὴν τοῦ πεπονθότος εἰπὼν πατρίδα, καὶ περὶ τοῦ μηδένα ἄλλον τρόπον ἢ τοῦτον μηδ' ἄλλοθι πλὴν ἐνταῦθ' ἄντικρυς εἴρηκεν. ὁ δὲ τὸ ψήφισμα γράφων, πολλοῦ γε [k] δεῖ, διώρισεν, [l] ὅς γε πάντα τούτοις τἀναντία εἴρηκεν·
39 γράψας γὰρ ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω, φησί, πανταχόθεν. τί λέγεις; τῶν νόμων οὐδὲ τοὺς ἑαλωκότας διδόντων ἀπάγειν πλὴν ἐν τῇ ἡμεδαπῇ, σὺ γράφεις ἄνευ κρίσεως τινὰ ἀγώγιμον ἐκ τῆς συμμαχίδος πάσης; καὶ οὐδὲ ἐν τῇ ἡμεδαπῇ ἄγειν [m] κελευόντων τῶν

[c] τὸν ἐκ τῆς] τὸν τῆς r.
[d] ἐκείνως] ἐκεῖνος s.
[e] τάττει] πράττει F.
[f] μή post φησί om. pr. Y.
[g] χρήματα ἄποινα] ἄποινα χρήματα F. S. Y. O. k. r. s. v.
[h] καὶ τὸν ἑαλωκότα] καὶ ἑαλωκότα s.
[i] οὗ] οὗ F. k. r. s. v. οὐ Y. O.
[k] δεῖ] δεῖ καὶ rec. O. καὶ δεῖ k. r. s. v.
[l] ὅς] ὡς Y. O.
[m] κελευόντων τῶν νόμων] τῶν νόμων κελευόντων k.

νόμων, σὺ δίδως ἄγειν [n] πανταχόθεν; καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον [o] πάνθ', ὅσα ἀπείρηκεν ὁ νόμος, δέδωκας, χρήματα πράξασθαι, ζῶντα λυμαίνεσθαι, κακοῦν, ἔχοντα αὐτὸν ἀποκτιννύναι. πῶς οὖν ἄν τις μᾶλλον [p] ἐλεγχθείη παράνομα εἰρηκὼς ἢ πῶς [q] δεινότερ' ἂν γράφων ἢ τοῦτον τὸν τρόπον; [r] ὃς [s] δυοῖν [t] ὑποκειμένοιν ἀνομάτοιν, κατὰ μὲν τῶν [u] ἐν αἰτίᾳ, ἐάν τις ἀποκτείνῃ, κατὰ δὲ τῶν [x] ἐαλωκότων, ἐάν τις ἀνδροφόνος ᾖ, ἐν μὲν τῇ προσηγορίᾳ τὸ τοῦ τὴν αἰτίαν ἔχοντος ἔλαβες ὄνομα, τὴν δὲ τιμωρίαν, ἣν οὐδὲ κατὰ τῶν ἐξεληλεγμένων διδόασιν οἱ νόμοι, ταύτην κατὰ τῶν ἀκρίτων ἔγραψας, καὶ τὸ μέσον τούτων ἐξεῖλες. μέσον γάρ ἐστιν αἰτίας καὶ [y] ἐλέγχου κρίσις, ἣν οὐδαμοῦ γέγραφεν οὗτος ἐν τῷ ψηφίσματι.

41 Λέγε τοὺς ἐφεξῆς νόμους.

ΝΟΜΟΣ.

[z] Ἐὰν δέ τις τὸν ἀνδροφόνον κτείνῃ ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς [a] ἱερείας καὶ ἄθλων καὶ ἱερῶν Ἀμφικτυονικῶν, ὥσπερ 632
τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι, διαγιγνώσκειν δὲ τοὺς [b] ἐφέτας.

42 Τοῦτον δεῖ μαθεῖν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι τὸν νόμον, τί ποτ' [c] ἐβούλεθ' ὁ θεὶς· ὄψεσθε γὰρ ὡς ἅπαντ' εὐλα- 5
βῶς διώρισε καὶ νομίμως. ἐάν τις ἀποκτείνῃ τὸν ἀνδροφόνον, φησίν, ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς [d] ἐφο-

[n] πανταχόθεν om. F. S. Y. O. post ἄγειν ponunt k. r. s.
[o] πάνθ'] ἅπανθ' k. r. s.
[p] ἐλεγχθείη] ἐλεγχείη F.
[q] δεινότερ' ἂν] δεινότερα k. r. s.
[r] ὃς] ὡς Y. et pr. O.
[s] δυοῖν] δυοῖν F. Y. O.
[t] ὑποκειμένοιν ἀνομάτοιν] ὑποκειμένων ἀνομάτων S. Y. O. k. r. s.
[u] ἐν αἰτίᾳ] ἐν αἰτίᾳ ὄντων k. r. s.
[x] ἐαλωκότων] ἐαλωθότων r.
[y] ἐλέγχου] ἐλέγχων v.
[z] Ἐὰν δέ τις] ἐάν τις Y. et pr. O.
[a] ἱερείας] ἱερείας r. s. ἱερηίας k. δοκεῖ μοι τὸ ἱερείας εἰ διὰ τοῦ ι γράφοιτο καταλληλότερον ἔχειν κατὰ τὴν τοῦ δημοσθένους ἐξήγησιν τοῦ ἀνόματος margo k. paullo infra.
[b] ἐφέτας] ἐφέτας Y. O. r. qui sic et postea.
[c] ἐβούλεθ'] βούλεται k. r. s.
[d] ἐφερίας] καὶ ἐφερίας v.

ρίας [e] καὶ ἄθλων καὶ ἱερῶν Ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι, διαγιγνώ-
43 σκειν δὲ τοὺς ἐφέτας. τί δῆ ταῦτ' ἐστίν; ἐκεῖνος ᾤετο τὸν πεφεύγοτα ἐπ' αἰτίᾳ φόνου καὶ ἐαλωκότα, ἐάνπερ ἅπαξ ἐκφύγῃ καὶ σωθῇ, εἴργειν μὲν τῆς τοῦ παθόντος πατρίδος δίκαιον εἶναι, κτείνειν δὲ οὐχ ὅσιον [f] ἁπανταχοῦ. τί σκοπῶν; ὅτι [g] καὶ τοὺς δεῦρο πεφευγότας, ἐὰν ἡμεῖς τοὺς ἑτέρωσε ἀποκτιννύωμεν, ἀποκτενοῦσιν ἕτεροι. εἰ δὲ τοῦτ' ἔσται, ἡ [h] μόνη λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασι σωτηρία διαφθαρήσεται. ἔστι δ' αὕτη τίς; ἐκ τῆς τῶν πεπονθότων [i] μεταστάντα εἰς τὴν τῶν μηδὲν ἠδικημένων ἀδεῶς
44 μετοικεῖν. ἵνα δὴ μὴ τοῦτο ᾖ μηδ' ἀπέραντοι τῶν [k] ἀτυχημάτων αἱ τιμωρίαι γίγνωνται, ἔγραψεν ἐάν τις τὸν ἀνδροφόνον [l] κτείνῃ ἀπεχόμενον, [m] φησίν, ἀγορᾶς ἐφορίας. τί τοῦτο λέγων; τῶν ὁρίων τῆς χώρας· ἐνταῦθα γάρ, ὥς [n] γ' ἐμοὶ δοκεῖ, τἀρχαῖα συνήεσαν οἱ πρόσχωροι παρά τε ἡμῶν καὶ τῶν ἀστυγειτόνων, ὅθεν ὠνόμακεν ἀγορὰν ἐφο-
45 ρίαν. καὶ πάλιν ἱερῶν Ἀμφικτυονικῶν. τί δήποτε καὶ τούτων ἀπέκλεισε τὸν ἀνδροφόνον; ὅσων τῷ παθόντι ζῶντι μετῆν, τούτων εἴργει τὸν δεδρακότα, πρῶτον μὲν τῆς πα- 633
τρίδος καὶ τῶν ἐν [o] ταύτῃ πάντων καὶ ὁσίων καὶ ἱερῶν, τὴν ἐφορίαν ἀγορὰν ὅρον [p] προσγράψας, ἧς εἴργεσθαί φησιν, εἶτα τῶν ἱερῶν τῶν ἐν [q] Ἀμφικτύοσι· καὶ γὰρ τούτων, εἴ περ ἦν Ἕλλην ὁ παθών, μετῆν αὐτῷ. καὶ ἄθλων. διὰ

[e] καὶ ante ἄθλων om. O.
[f] ἁπανταχοῦ] πανταχοῦ k. r. s.
[g] καὶ post ὅτι om. pr. O.
[h] μόνη λοιπὴ] μόνη καὶ λοιπὴ k. r. s.
[i] μεταστάντα] μεταστάντας k.
[k] ἀτυχημάτων] ἀδικημάτων k. r. s.
[l] κτείνῃ] κτενῇ pr. k.
[m] φησίν om. k.
[n] γ' ἐμοὶ s. ἔμοιγε r. vulg. γέ μοι.
[o] ταύτῃ] αὐτῇ k. r.
[p] προσγράψας ἧς] Reiskius προγράψας [ἧς].
[q] Ἀμφικτύοσι] ἀμφικτυόσι O. r. s. v.

τί; ὅτι κοινοὶ πᾶσιν εἰσιν οἱ κατὰ τὴν Ἑλλάδα ἀγῶνες, κατὰ δὲ τὴν πάντων μετουσίαν μετῆν καὶ τούτων τῷ
46 [r] πεπονθότι· καὶ τούτων οὖν ἀπεχέσθω. [s] τούτων μὲν δὴ τὸν εἰργασμένον εἴργει. ἐὰν δ' ἔξω τούτων κτείνῃ τις αὐ- 10
τὸν [t] ἄλλοθί [u] που, τὴν αὐτὴν ὑπὲρ αὐτοῦ δίκην δεδωκεν, ἥνπερ, ἂν τὸν Ἀθηναῖον κτείνῃ. τὸν γὰρ φυγάδα [x] τὸ τῆς πόλεως οὐ [y] προσεῖπεν [z] ὄνομα, ἧς οὐκ ἔστι μετουσία αὐτῷ, [a] ἀλλὰ τὸ τοῦ πράγματος, ᾧ κατέστησεν αὐτὸν ἐκεῖνος ἔνοχον· καὶ διὰ [b] ταῦτ' ἂν τις ἀποκτείνῃ, φησί, 15
τὸν ἀνδροφόνον. [c] εἶτ' εἰπὼν ὧν εἰργόμενον, ἐπὶ τῷ τὴν τιμωρίαν νομίμως ἐπιθεῖναι τὸ τῆς πόλεως ὄνομα ἀνόμασε, [“] τοῖς αὐτοῖς ἐνεχέσθω, καθάπερ ἂν τὸν Ἀθηναῖον [“] ἀποκτείνῃ,” γράψας [d] ἀνομοίως, ὦ ἄνδρες Ἀθηναῖοι,
47 τῷ τοιῷδε τὸ ψήφισμα εἰρηκότι. καίτοι πῶς οὐχὶ δεινὸν 20
εἰ, οἷς ὁ νόμος δεδωκεν, ἐὰν ὧν [e] εἶπον εἴργωνται, μετ' ἀσφαλείας ζῇν [f] φυγοῦσι, τούτους ἐκδότους τις εἶναι γράφει, καὶ ἀφαιρεῖται τὸ τῆς συγγνώμης ὠφέλιμον, [g] ὃ τοῖς ἀτυχοῦσιν ὑπάρχειν εἰκὸς παρὰ τῶν ἔξω τῶν ἐγκλη- 25
μάτων ὄντων, ὅτῳ ποτὲ τῶν [h] πάντων ἀποκειται ἄδηλον [i] ὄν, μὴ προδήλου τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ; καὶ [k] νυνὶ τὸν [l] ἀποκτείναντα Χαρίδημον, ὄντως ἂν ἄρα τοῦτο γένηται, ἐὰν [m] ἀνταποκτείνωσί τινες λαβόντες ἔκδοτον,
48 πεφευγότα καὶ τῶν νομίμων εἰργόμενον, ἔνοχοι μὲν αὐτοὶ 634

[r] πεπονθότι] παθόντι F. s. v.
[s] τούτων μὲν] τοῦτον μὲν k.
[t] ἄλλοθι] ἢ ἄλλοθι F. k. r. s. v.
[u] που om. S.
[x] τὸ τῆς πόλεως οὐ] οὐ τὸ τῆς πόλεως k. r. s.
[y] προσεῖπεν] προσεπεῖν r. s.
[z] ὄνομα] ἀόριστον k.
[a] ἀλλὰ τὸ] ἀλλὰ τῷ Y.
[b] ταῦτ'] τοῦτ' F. τοῦτο v.
[c] εἶτ' εἰπὼν] ἐκεινὸν S. Y. O.
[d] ἀνομοίως] ἀνόμοις δὲ F. k. ἀνόμοιος ἂν r. s.
[e] εἶπον] εἶπεν F. O. v.
[f] φυγοῦσι] φύγωσιν Y. O.
[g] ὃ τοῖς] ἢ τότε s.
[h] πάντων] ἀπάντων F. k. v.
[i] ὄν om. S.
[k] νυνὶ] νῦν k. r. s.
[l] ἀποκτείναντα] ἀποκτείνοντα s.
[m] ἀνταποκτείνωσί] ἀποκτείνωσί r.

ταῖς φονικαῖς δίκαις ἔσονται, ἔνοχος δὲ [n] σύ· καὶ γὰρ ἄν τις αἴτιος ᾖ γέγραπται, ἔσῃ δ' αἴτιος τὴν διὰ τοῦ ψηφίσματος [o] ἐξουσίαν δεδωκώς. οὐκοῦν εἰ μὲν ἐάσομεν ὑμᾶς τούτων συμβάντων, οὐ καθαροῖς [p] οὖσιν ὁμοῦ [q] διατρίψομεν· εἰ δ' [r] ἐπέξιμεν, οἷς ἐγνώκαμεν, [s] αὐτοὶ τἀναντία πράττειν ἀναγκασθησόμεθα. ἆρά γε μικρὸν ἢ τὸ τυχόν ἐστιν, ὑπὲρ οὗ [t] δεῖ λῦσαι τὸ ψήφισμα ὑμᾶς;

49 Λέγε δὴ τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

Ἐάν τίς [u] τινα τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα, πέρα [x] ὅρου ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ, τὰ ἴσα [y] ὀφείλειν ὅσα περ, [z] ἂν ἐν τῇ ἡμεδαπῇ [a] δράσῃ.

50 Ἄλλος οὗτος ὦ ἄνδρες Ἀθηναῖοι νόμος ἀνθρωπίνως καὶ καλῶς κείμενος, ὃν παραβὰς οὗτος ὁμοίως φανήσεται. ἐάν τίς τινα τῶν ἀνδροφόνων, φησί, τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα. τῶν ἐπ' ἀκουσίῳ φόνῳ λέγει μεθεστηκότων. τῷ τοῦτο δῆλον; τῷ τε ἐξεληλυθότων εἰπεῖν, ἀλλὰ μὴ [b] φευγόντων, καὶ τῷ διορίζειν ὧν τὰ χρήματα ἐπίτιμα· τῶν γὰρ ἐκ προνοίας δεδήμευται τὰ ὄντα. περὶ
51 μὲν δὴ τῶν ἀκουσίων ἂν λέγοι. [c] λέγει δὲ τί; ἐὰν πέρα ὅρου, φησίν, ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ. τοῦτο δέ ἐστι τί, τὸ πέρα ὅρου; ἔστι πᾶσιν ὅρος τοῖς ἀνδροφόνοις τῆς τοῦ παθόντος εἴργεσθαι πατρίδος. ἐκ μὲν δὴ ταύτης δίδωσιν 635
ἐλαύνειν καὶ ἄγειν, πέρα δὲ οὐκ ἐᾷ [d] τούτων οὐδέτερον

[n] σύ] καὶ σύ rec. margo O.
[o] ἐξουσίαν] αἰτίαν F. et pr. v. χάριν k.
[p] οὖσιν ὁμοῦ] οὖσι νόμου F.
[q] διατρίψομεν] συνδιατρίψομεν F. k. r. s.
[r] ἐπέξιμεν] ἐπεξίομεν F. ἐπεξίωμεν k.
[s] αὐτοὶ] αὐτοῖς Y.
[t] δεῖ λῦσαι] διαλῦσαι r. s. et pr. k.
[u] τινα om. S. Y. O.
[x] ὅρου] ὅρων v.
[y] ὀφείλειν] ὀφείλει S. Y. O.
[z] ἂν ἐν] ἄν καὶ ἐν v.
[a] δράσῃ] δράσειν k.
[b] φευγόντων S. r. s. ceteri πεφευγότων.
[c] λέγει] λέγοι v.
[d] τούτων] τοῦτον k. τούτων δὲ S. Y. O. v.

ποιεῖν. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, τὴν [c] αὐτὴν ἔδωκεν ὑπὲρ αὐτοῦ δίκην ἥνπερ ἄν, εἰ μένοντα ἠδίκει οἴκοι, γρά-
52 ψας [f] ταὐτὰ ὀφείλειν ἅπερ, ἂν οἴκοι δράσῃ. εἰ δή τις [5] ἔροιτο Ἀριστοκράτην τουτονί (καὶ μὴ νομίσητε εὔηθες τὸ ἐρώτημα) πρῶτον μὲν εἰ οἶδεν εἴ τις ἀποκτενεῖ Χαρίδημον [g] ἢ καὶ ἄλλως πως τελευτήσει, οὐκ ἄν, οἶμαι, φαίη. [h] θήσομεν τοίνυν [i] ἀποκτενεῖν. πάλιν οἶσθ', ἐκὼν ἢ ἄκων, καὶ ξένος ἢ πολίτης ὁ τοῦτο ποιήσων ἔσται; οὐκ ἔνεστ' [10]
53 εἰπεῖν ὡς [k] οἶσθα. οὐκοῦν ταῦτά γε δῆπου προσῆκε [l] προσγράψαι, ἐάν τις [m] ἀποκτείνῃ [n] γράφοντα [o] ἄκων ἢ ἑκών, ἀδίκως ἢ δικαίως, ξένος ἢ πολίτης, [p] ἵν' ὅτῳ ποτὲ τοῦργον ἐπράχθη, τούτῳ τὰ ἐκ τῶν νόμων ὑπῆρχε δίκαια, μὴ [15] μὰ Δί' αὐτὸ [q] τὸ τῆς αἰτίας ὄνομ' εἰπόντα ἀγώγιμος ἔστω προσγράψαι. τίνα γὰρ [r] σὺ λέλοιπας ὅρον τῷ [s] γράμματι τούτῳ, τοῦ νόμου σαφῶς οὑτωσὶ λέγοντος μὴ
54 πέρα ὅρων ἐλαύνειν, ὃς πανταχόθεν δίδως ἄγειν; ὁ νόμος δὲ [t] οὐ μόνον οὐκ ἐλαύνειν [u] τῶν ὅρων πέρα, ἀλλ' οὐδ' [20] ἄγειν ἐᾷ. ἐκ δὲ τοῦ σοῦ ψηφίσματος ὁ βουλόμενος ἄξει τὸν ἄκοντα ἀπεκτονότα, ἔκδοτον λαβών, εἰς τὴν τοῦ παθόντος βίᾳ πατρίδα. ἆρ' οὐ πάντα συγχεῖς [x] τἀνθρώπινα; καὶ ἀφαιρῇ τὴν πρόφασιν μεθ' ἧς ἡ καλόν ἐστιν
55 [y] ἕκαστον τῶν ἔργων ἢ αἰσχρόν; ὁρᾶτε γὰρ ὡς ἐπὶ πάν- [25] των, οὐκ ἐπὶ τῶν φονικῶν [z] μόνον, οὕτω τοῦτ' ἔχει. ἄν τις

[c] αὐτὴν] αὐτοῦ O.
[f] ταὐτὰ] ταῦτα Y. O. r. s. v.
[g] ἢ] vulg. ἤ εἰ.
[h] θήσομεν] θησομέν τοι r.
[i] ἀποκτενεῖν] ἀποκτείνειν S.
[k] οἶσθα] οἶδα F.
[l] προσγράψαι] γράψαι F. S. Y. O. k. s. v.
[m] ἀποκτείνῃ] ἀποκτεῖ k.
[n] γράφοντα om. F.
[o] ἄκων] ἄκοντα Y. O.
[p] ἵν'] ἐφ' correctus v.
[q] τὸ om. O.
[r] σὺ om. s.
[s] γράμματι] πράγματι v. et γρ. F.
[t] οὐ μόνον om. S.
[u] τῶν ὅρων πέρα] πέρα τῶν ὅρων Y. O.
[x] τἀνθρώπινα] τὰ ἀνθρώπεια r. s.
[y] ἕκαστον τῶν ἔργων] τῶν ἔργων ἕκαστον v.
[z] μόνον] μόνων k. r. v.

τύπτῃ τινά, φησίν, ἄρχων χειρῶν ἀδίκων, ὡς, εἴγε ἠμύνατο, οὐκ ἀδικεῖ. ἄν τις κακῶς ἀγορεύῃ, τὰ ψευδῆ προσεθηκεν, ὡς, εἴγε τἀληθῆ, προσῆκον. ἄν τις ἀποκτείνῃ 636
ἐκ προνοίας, ὡς, εἴ γε ἄκων, οὐ ταὐτόν. ἄν τις κατα-
βλάψῃ [a] τινὰ [b] ἑκὼν ἀδίκως. πανταχοῦ τὴν πρόφασιν
βεβαιοῦσαν τὸ πρᾶγμα εὑρήσομεν. ἀλλ' οὐ [c] σοί, ἀλλ'
[d] ἁπλῶς, ἄν τις ἀποκτείνῃ Χαρίδημον, ἀγέσθω, κἂν ἄκων, 5
κἂν δικαίως, κἂν ἀμυνόμενος, κἂν ἐφ' οἷς δίδοασιν οἱ νό-
μοι, κἂν ὁπωσοῦν.

56 Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

Φόνου δὲ δίκας μὴ εἶναι [e] μηδαμοῦ κατὰ τῶν τοὺς φεύγοντας 10
ἐνδεικνύντων, ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστιν.

Ὁ μὲν νόμος ἐστὶν οὗτος Δράκοντος, ὦ [f] ἄνδρες Ἀθη-
ναῖοι, καὶ οἱ ἄλλοι [g] δέ, ὅσους ἐκ τῶν φονικῶν νόμων
57 παρεγραψάμην· δεῖ δέ, ἃ λέγει, σκέψασθαι. κατὰ τῶν
ἐνδεικνύντων, φησί, τοὺς κατιόντας ἀνδροφόνους, [h] ὅποι μὴ 15
ἔξεστι, δίκας φόνου μὴ εἶναι. [i] ἐνταυθὶ δύο δηλοῖ δίκαια,
ἃ παρ' ἀμφότερα [k] οὗτος εἴρηκε τὸ ψήφισμα, ὅτι τε ἐν-
δεικνύναι δίδωσι τὸν ἀνδροφόνον καὶ οὐκ αὐτὸν ἀγώγιμον
εἶχεσθαι λαβόντα, καὶ ὅτι, ἐὰν κατίῃ τις [l] ὅποι μὴ ἔξ-
εστι, καὶ αὐτὸ τοῦτο δίδωσιν, [m] οὐχ ὅποι βούλεταί τις. 20
58 οὐκ ἔξεστι δὲ [n] ποῖ; ἐξ ἧς ἂν [o] φεύγῃ [p] τις πόλεως. ποῦ
καὶ σφόδρα σαφῶς τοῦτο δηλοῖ; ἐάν τις κατίῃ, φησί.

[a] τινά om. v.
[b] ἑκὼν om. k.
[c] σοί] σύ k.r.s. παρὰ σοί γρ. F.
[d] ἁπλῶς ἄν τις] ἄν τις ἁπλῶς Y. O.
[e] μηδαμοῦ] οὐδαμοῦ v.
[f] ἄνδρες om. k. v.
[g] δὲ post ἄλλοι om. k.
[h] ὅποι] ὅπου v.
[i] ἐνταυθὶ] ἐνταυθοῖ F. ἐνταυθοῖ k. r. s. v.
[k] οὗτος] οὕτως k.
[l] ὅποι] ὅπου k. ὅπῃ r. v.
[m] οὐχ ὅποι] οὐχ ὅπῃ v.
[n] ποῖ] πῇ v.
[o] φεύγῃ] φεύγοι k.
[p] τις] τῆς k. r. s.

ταῦτο δ' οὐκ [q] ἔστ' [r] ἐπενεγκεῖν ἄλλῃ [s] πολει πλὴν ἢν ἀν φεύγῃ τις· ὅθεν γὰρ [t] μηδὲ ἐξέπεσέ τις τὴν ἀρχήν, οὐκ ἔνι ὅπου κατελθεῖν εἰς ταύτην. ὁ μὲν τοινυν νόμος ἔνδειξιν δεδωκε, καὶ ταύτην, ἂν κατιῃ [u] ὅποι μὴ ἔξεστιν· ὁ δὲ ἀγώγιμος ἔστω γέγραφε κἀντεῦθεν, ὅποι φεύγειν οὐδεὶς κωλύει νόμος.

59 Λέγε [x] ἄλλον νόμον.

ΝΟΜΟΣ. 637

Ἐάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων, ἢ ἐν ὁδῷ καθελών, ἢ ἐν πολέμῳ ἀγνοήσας, ἢ ἐπὶ ὁἁμαρτι [y] ἢ ἐπὶ μητρὶ ἢ ἐπ' ἀδελφῇ ἢ ἐπὶ θυγατρί, ἢ ἐπὶ παλλακῇ [z] ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ, τούτων ἕνεκα μὴ φεύγειν κτείναντα.

60 [a] Πολλῶν ὦ [b] ἄνδρες Ἀθηναῖοι νόμων ὄντων, παρ' οὓς εἴρηται τὸ ψηφισμα, παρ' οὐδένα μᾶλλον ἢ παρὰ [c] τοῦτον τὸν ἀνεγνωσμένον νῦν εἴρηται. διδόντος γὰρ τοῦ νόμου σαφῶς οὑτωσὶ καὶ λέγοντος ἐφ' οἷς ἐξεῖναι κτεῖναι, οὗτος ἅπαντα παρεῖδε ταῦτα, καὶ γέγραφεν, [d] οὐδὲν ὑπειπὼν [e] ὅπως ἄν τις ἀποκτείνῃ, τὴν τιμωρίαν. καίτοι σκέψασθε ὡς ὁσίως καὶ καλῶς ἕκαστα διεῖλεν ὁ ταῦτα ἐξ ἀρχῆς
61 διελών. [f] ἄν τις ἐν ἄθλοις ἀποκτείνῃ τινά, τοῦτον ὥρισεν οὐκ ἀδικεῖν. διὰ τί; οὐ τὸ συμβὰν ἐσκέψατο, ἀλλὰ τὴν τοῦ δεδρακότος διάνοιαν. ἔστι δὲ αὕτη τίς; ζῶντα νικῆσαι καὶ οὐκ ἀποκτεῖναι. εἰ δ' ἐκεῖνος ἀσθενέστερος ἦν τὸν ὑπὲρ τῆς νίκης ἐνεγκεῖν πόνον, [g] αὐτὸν] ἑαυτῷ τοῦ πάθους αἴτιον ἡγήσατο, διὸ τιμωρίαν [h] οὐκ ἔδωκεν ὑπὲρ αὐτοῦ.

[q] ἔστ'] ἔσται k. v.
[r] ἐπενεγκεῖν] ἀπενεγκεῖν r. s.
[s] πόλει] πόλει τοῦτο μα γρ. F. et rec. S.
[t] μηδὲ] μὴ r. s.
[u] ὅπου] ὅποι F.
[x] ἄλλον] τὸν k. v.
[y] ἢ ἐπὶ μητρὶ om. S.
[z] ἣν] ἢ ἣν v.
[a] Πολλῶν] ἐπίσχες. τολλῶν r.
[b] ἄνδρες om. k. r. v.
[c] τοῦτον] τουτοὶ k. r. s. v.
[d] οὐδὲν] μὴ k. v.
[e] ὅπως] πῶς k. r. s. v.
[f] ἄν τις] ἐάν τις r. s.
[g] [αὐτὸν] om. F.S.Y.O k.r.s.
[h] οὐκ ἔδωκεν] οὐ δέδωκεν r.

62 πάλιν ἂν ἐν πολέμῳ, φησίν, ἀγνοήσας, καὶ τοῦτον εἶναι καθαρόν. καλῶς· εἰ γὰρ ἐγώ τινα τῶν ἐναντίων οἰηθεὶς εἶναι διέφθειρα, οὐ δίκην ὑπέχειν ἀλλὰ συγγνώμης τυχεῖν δίκαιός εἰμι. ἢ ἐπὶ δάμαρτι, φησίν, ἢ ἐπὶ μητρὶ ἢ ἐπὶ ἀδελφῇ ἢ [i] ἐπὶ θυγατρί, ἢ ἐπὶ παλλακῇ [k] ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ· καὶ τὸν ἐπὶ τούτων [l] τῷ κτείναντα ἀθῷον ποιεῖ, πάντων γε ὀρθότατα ὦ [m] ἄνδρες Ἀθηναῖοι 63 τοῦτον ἀφιείς. τί δήποτε; ὅτι ὑπὲρ ὧν τοῖς πολεμίοις μαχόμεθα, ἵνα μὴ πάσχωσιν ὑβριστικὸν μηδὲ ἀσελγὲς μηδέν, ὑπὲρ τούτων καὶ τοὺς [n] φιλίους, ἐὰν παρὰ τὸν νό- 638
μον εἰς αὐτοὺς ὑβρίζωσι καὶ διαφθείρωσιν, ἔδωκεν ἀποκτεῖναι. ἐπειδὴ γὰρ οὐ γένος ἐστὶ [o] φιλίων καὶ πολεμίων, ἀλλὰ τὰ πραττόμενα ἐξεργάζεται [p] τούτων [q] ἑκάτερον, 5
τοὺς ἐχθρὰ ποιοῦντας ἐν ἐχθροῦ μέρει κολάζειν ἀπέδωκεν ὁ νόμος. οὐκοῦν δεινόν, [r] εἰ τοσούτων ὄντων ἐφ' οἷς τοὺς ἄλλους ἔξεστιν ἀποκτιννύναι, [s] μόνον ἀνθρώπων ἐκεῖνον 64 μηδ' ἐπὶ τούτοις ἐξέσται ἀποκτεῖναι. φέρε, ἂν δέ τι συμβῇ τοιοῦτον οἷον ἴσως [t] ἤδη τῷ καὶ ἄλλῳ, ἀπαλλαγῇ 10
μὲν ἐκ Θράκης, ἐλθὼν δὲ εἰς πόλιν [u] οἰκῇ που, τῆς μὲν ἐξουσίας μηκέτι κύριος ὢν δι' ἣς πολλὰ [x] ποιεῖ τῶν ἀπειρημένων [y] ὑπὸ τῶν νόμων, τοῖς δ' ἔθεσι καὶ ταῖς ἐπιθυμίαις ταῦτ' [z] ἐπιχειρῶν πράττειν, ἄλλο τι ἢ σιγῶντα δέησει Χαρίδημον ἐᾶν αὐτὸν ὑβρίζειν; οὐ γὰρ ἀποκτεῖναί γε 15
ἀσφαλές, οὐδὲ τιμωρίαν λαβεῖν ἣν δίδωσιν ὁ νόμος, διὰ

[i] ἐπὶ ante θυγατρὶ om. F.S.Y.
[k] ἣν] ἢ ἣν v.
[l] τῷ Y. O. τινὶ F. τινὰ S. k. r. s. v.
[m] ἄνδρες om. v.
[n] φιλίους rescripsi pro librorum φίλους.
[o] φιλίων] φίλων Y. O. k. r. s. v.
[p] τούτων] vulg. τοῦθ'.
[q] ἑκάτερον] ἑκάτερα k. s. v.
[r] εἰ om. s.
[s] μόνον] μόνων Y. O.
[t] ἤδη om. k.
[u] οἰκῇ] εἰκῇ r.
[x] ποιεῖ om. r.
[y] ὑπὸ] ἀπὸ k.
[z] ἐπιχειρῶν] ἐπιχειρῇ k. v.

65 τὸ ψήφισμα [a] τουτί. καὶ μὴν εἴ τις [b] ἐκεῖνο ὑπολαμβάνει πῶς [c] δὲ γένοιτο ἂν ταῦτα; τί κωλύει κἀμὲ λέγειν τίς δ' ἂν ἀποκτείναι Χαρίδημον; ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· ἀλλ' ἐπειδήπερ ἐστὶ τὸ φεῦγον ψήφισμα οὐκ ἐπ' ἤδη γεγενημένῳ τινὶ πράγματι, ἀλλ' ἐπὶ τοιούτῳ ὃ μηδ' εἰ γενήσεται μηδεὶς οἶδε, τὸ μὲν τοῦ μέλλοντος ἔσεσθαι κοινὸν ἀμφοῖν ὑπαρχέτω, πρὸς δὲ τοῦτο ὑποθέντες ἀνθρωπίνως τὰς ἐλπίδας [d] οὕτω σκοπῶμεν, ὡς τάχ' ἄν, 25
66 εἰ τύχοι, καὶ τούτων κἀκείνων συμβάντων. λύσασι μὲν τοίνυν τὸ ψήφισμα, ἂν ἄρα συμβῇ τι παθεῖν ἐκείνῳ, εἰσὶν αἱ [e] κατὰ τοὺς νόμους ὑπὲρ αὐτοῦ τιμωρίαι· ἐῶσι δέ, ἂν ἄρα ἐκεῖνος ζῶν ἀδικῇ τινά, ἀνῄρηται τοῖς ὑβριζομένοις ἡ μετὰ τῶν νόμων δίκη. ὥστε πανταχῇ καὶ ἐναντίον ἐστὶ 639
τοῖς νόμοις τὸ ψήφισμα καὶ λῦσαι συμφέρει.

67 Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

Καὶ ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, 5 [f] νηποινεὶ [g] τεθνάναι.

Ἄλλα ταῦτα ἐφ' οἷς ἔξεστι [h] κτεῖναι. ἐὰν ἄγοντα ἢ φέροντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, [i] νηποινεὶ
68 τεθνάναι κελεύει. θεάσασθε πρὸς Διὸς ὡς εὖ· τῷ μὲν ὑπειπόν, ἐφ' οἷς ἐξεῖναι κτείνειν, [j] προσγράψαι τὸ εὐθὺς 10 [k] ἀφεῖλε τὸν τοῦ βουλεύσασθαί [l] τι κακὸν χρόνον· [m] τῷ δὲ ἀμυνόμενος γράψαι δῆλοι τῷ πάσχοντι δίδοὺς τὴν ἐξουσίαν, οὐκ ἄλλῳ τινί. ὁ μὲν δὴ νόμος [n] διὰ ταῦτα εὖ-

[a] τουτί] τοιοῦτοι k. v.
[b] ἐκεῖνο] ἐκεῖνος r.
[c] δὲ post πῶς om. r. s.
[d] οὕτω S. Y. O. ceteri αὐτοῖς.
[e] κατὰ τοὺς νόμους] κατὰ νόμους O.
[f] νηποινεὶ] νηποινὶ k. r. et correctus s.
[g] τεθνάναι] τεθνάναι κελεύει v.
[h] κτεῖναι] κρῖναι k.r.s. et γρ. F.
[i] νηποινεὶ] νηποινὶ r. s.
[j] προσγράψαι] προσγράψαι F. προσγράψας r. s.
[k] ἀφεῖλε] ἀφείλετο r. s. v.
[l] τι om. pr. Y.
[m] τῷ—γράψαι] τὸ—γράψας k.
[n] διὰ ταῦτα om. s.

θυς ἀμυνομένῳ [o] δέδωκεν ἀποκτιννύναι, ὁ δ' οὐδὲν εἴρηκεν ἀλλ' ἁπλῶς, [p] ἄν τις ἀποκτείνῃ, [[q] κἂν δικαίως], κἂν
69 ὡς οἱ νόμοι διδόασιν. ἀλλὰ νὴ Δία συκοφαντοῦμεν τὸ πρᾶγμα· τίνα γὰρ οἴσει ἢ ἄξει βίᾳ ἀδίκως Χαρίδημος; πάντας ἀνθρώπους. ἴστε γὰρ [r] δήπου τοῦθ', ὅτι πάντες οἱ [s] στρατεύματ' [t] ἔχοντες, ὧν ἂν [u] οἴωνται κρείττους ἔσεσθαι, ἄγουσι καὶ [x] φέρουσι χρήματ' αἰτοῦντες. [y] εἶτ' οὐ δεινόν, ὦ γῆ καὶ θεοί, καὶ φανερῶς παράνομον, οὐ μόνον παρὰ τὸν γεγραμμένον νόμον ἀλλὰ [z] καὶ παρὰ τὸν κοινὸν [a] ἁπάντων [b] ἀνθρώπων, τὸν ἄγοντα [c] ἢ φέροντα βίᾳ τἀμὰ ἐν πολεμίου μοίρᾳ μὴ ἐξεῖναι [d] ἐμοὶ [e] ἀμύνεσθαι, [f] εἴγε μηδὲ [g] τοῦτον τὸν τρόπον ἐξέσται Χαρίδημον ἀποκτεῖναι, ἀλλ', [h] ἐὰν ἀδικῶν ἄγῃ καὶ φέρῃ βίᾳ τά τινος ληϊζόμενος, ἀγώγιμος ὁ κτείνας ἔσται, τοῦ νόμου διδόντος, ἐὰν ἐπὶ τούτοις, ἀθῷον εἶναι;

70 Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ. 640

Ὃς ἂν ἄρχων ἢ ἰδιώτης [i] αἴτιος ᾖ τὸν θεσμὸν [k] συγχυθῆναι τόνδε, ἢ [l] μεταποιήσῃ αὐτόν, ἄτιμον [m] εἶναι καὶ [n] παῖδας ἀτίμους καὶ τὰ ἐκείνου.

Ἠκούσατε [o] μὲν τοῦ νόμου [p] λέγοντος ἄντικρυς, ὦ

[o] δέδωκεν] δέδωκεν εὐθὺς v.
[p] ἄν] ἐὰν O.
[q] κἂν δικαίως om. F.S.Y. et pr. O.
[r] δήπου om. v.
[s] στρατεύματ'] στράτευμα S. Y. O. v.
[t] ἔχοντες] ἔχοντες οὗτοι k. r. s. v.
[u] οἴωνται] οἶωνται F.
[x] φέρουσι χρήματ'] φρίττουσι κτήματ' r.
[y] εἶτ'] ἔπειτ' v. εἶτα τοῦτ' k.
[z] καὶ post ἀλλὰ om. O.
[a] ἁπάντων] ἁπάντων τῶν k. v.
[b] ἀνθρώπων] ἀνθρώπων νόμον O. k. r. s. v.
[c] ἢ φέροντα om. Y. et pr. O.
[d] ἐμοὶ] μοι k. r. s. v.
[e] ἀμύνεσθαι] ἀμύνεσθαι F. ἀμύνασθαι k. r. s. v.
[f] εἴγε] εἰ k. r. s.
[g] τοῦτον τὸν τρόπον] τὸν τρόπον τοῦτον Y. O.
[h] ἐὰν] ἐᾶν correctus v.
[i] αἴτιος] ἢ αἴτιος r. s.
[k] συγχυθῆναι] συγχεῖναι r.
[l] μεταποιήσῃ] μεταποιήσοι k.
[m] εἶναι] ἔσται r.
[n] παῖδας—ἔστω om. r.
[o] μὲν om. r. s.
[p] λέγοντος ante ὃς ponunt k.r.v.

[q] ἄνδρες Ἀθηναῖοι, ὃς ἂν ἄρχων ἡ ἰδιώτης αἴτιος [r] ἢ [s] τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ [t] μεταποιήσῃ [u] αὐτόν, ἄτιμος
71 [x] ἔστω καὶ οἱ παῖδες [y] καὶ τὰ ἐκείνου. ἆρ' οὖν μικρὰν ἢ φαύλην προνοίαν [z] ἔχειν ὑμῖν ὁ θεὶς τὸν νόμον δοκεῖ, ὅπως κύριος ἔσται καὶ μήτε συγχυθήσεται μήτ' αὖ μεταποιηθήσεται; ἀλλ' Ἀριστοκράτης οὑτοσὶ [a] μικρὰ φροντίσας [b] αὐτοῦ μεταποιεῖ καὶ συγχεῖ. τί γὰρ ἄλλο [c] ἐστὶ τὸ μεταποιεῖν, ἢ ὅταν ἔξω τῶν τεταγμένων δικαστηρίων καὶ ὅρων, ὧν εἰργεσθαι [d] δεῖ, διδῷ τις τὰς τιμωρίας, καὶ [e] τὸ λόγου τυχεῖν ἀναιρῶν ἐκδότους ποιῇ; τί δ' ἄλλο [f] τὸ συγχεῖν, ἢ ὅταν ἐξῇς οὑτωσὶ πάντα τἀναντία τῶν ἐν τοῖς νόμοις τις [g] γεγραμμένων γράφῃ;

72 Οὐ τοίνυν [h] τούτους μόνον τοὺς νόμους ὦ [i] ἄνδρες Ἀθηναῖοι παραβέβηκεν, ἀλλὰ καὶ ἄλλους πολλοὺς οὓς [k] οὐ παραγεγράμμεθα διὰ τὸ πλῆθος. ἀλλ' ἐν κεφαλαίῳ λέγω· ὁπόσοι [l] νόμοι περὶ τῶν φονικῶν δικαστηρίων εἰσί, καλεῖσθαι λέγοντες ἢ μαρτυρεῖν ἢ διόμνυσθαι τοὺς ἀγωνιζομένους ἢ ἄλλ' ὁτιοῦν [m] προστάττοντες, [n] πάντας ὑπερβέβηκε τούτους καὶ πᾶσιν ἐναντίον εἴρηκε τὸ ψήφισμα τουτί. οὗ γὰρ [o] οὐ κλῆσις, [οὐ κρίσις,] οὐ μαρτυρία συνειδότος, οὐ διωμοσία, ἀλλ' ἀπ' αἰτίας εὐθὺς ἡ τιμωρία

[q] ἄνδρες om. v.
[r] ἢ] ἢ ἢ k. totum hoc αἴτιος ἢ post τόνδε ponit k.
[s] τὸν—αὐτὸν om. s.
[t] μεταποιήσῃ] μεταποιήσει k.
[u] αὐτὸν] αὐτὸς v.
[x] ἔστω] ἔστωσαν Y.
[y] καὶ τὰ] οἱ τὰ r.
[z] ἔχειν ὑμῖν] ἔχειν ἡμῖν k. ἡμῖν ἔχειν v. ὑμῖν ἔχειν F.
[a] μικρὰ] μικρᾷ F. μικρὸν O. s. μικροῦ r.
[b] αὐτοῦ] αὐτὸν k.
[c] ἐστὶ] ἔσται k.
[d] δεῖ] δεῖν Y.
[e] τὸ λόγου] τὸ τοῦ λόγου r.
[f] τὸ post ἄλλο om. r.
[g] γεγραμμένων γράφῃ] γεγραμμένους γράφειν r.
[h] τούτους μόνον] μόνον τούτους v.
[i] ἄνδρες om. v.
[k] οὐ post οὓς om. Y. et pr. O. k.
[l] νόμοι] φόνοι r.
[m] προστάττοντες] προτάττοντες Y. προστάσσοντες F. S. v.
[n] πάντας] ἅπαντας F. O.
[o] [οὐ κλῆσις] ἡ κλῆσις r.

γέγραπται, καὶ [p] αὕτη ἦν ἀπαγορεύουσιν οἱ νόμοι, τί ἂν
73 ἄλλο τις [q] εἴποι; καίτοι ταῦτα πάντα ἐπὶ πέντε δικα-
στηρίοις γίγνεται προστεταγμένα τοῖς νόμοις. νὴ Δία, 641
ἴσως εἴποι τις ἄν, ἀλλὰ ταῦτα μὲν οὐδενός ἐστ' ἄξια
οὐδὲ δικαίως [r] εὑρημένα, ἃ δ' ἔγραψεν οὗτος, δίκαια καὶ
καλά; ἀλλὰ τοὐναντίον τούτου μὲν [s] τοῦ ψηφίσματος
[t] οὐκ οἶδ' [u] εἴ τι δεινότερον γέγονε πώποτ' ἐν ὑμῖν, τούτων 5
[v] δὲ τῶν πάντων, ὁπόσα ἐστὶ δικαστήρια ἐν ἀνθρώποις,
74 οὐδὲν οὔτε σεμνότερον οὔτε δικαιότερον φανήσεται. βούλο-
μαι δ' εἰπεῖν διὰ βραχέων, ἃ καὶ ζῆλόν τινα καὶ τιμὴν
φέρει τῇ πόλει ῥηθέντα, καὶ ἡδίους ἔσεσθε ἀκούσαντες.
ἄρξομαι δ' ἐντεῦθεν, ὅθεν μάλιστα μαθήσεσθε, ἐπὶ τὴν 10
δωρεὰν ἐπανελθών, ἣ τῷ Χαριδήμῳ δέδοται.
75 Ἡμεῖς, ὦ [x] ἄνδρες Ἀθηναῖοι, Χαρίδημον ἐποιησάμεθα
πολίτην, καὶ διὰ τῆς δωρεᾶς ταύτης μετεδώκαμεν αὐτῷ
καὶ ἱερῶν καὶ ὁσίων καὶ νομίμων καὶ πάντων [y] ὅσων περ 15
αὐτοῖς μέτεστιν ἡμῖν. πολλὰ μὲν δὴ παρ' ἡμῖν ἐστὶ
[z] τοιαῦτα οἷα οὐχ ἑτέρωθι, ἓν δ' οὖν [a] ἰδιώτατον πάντων
καὶ σεμνότατον, τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, ὑπὲρ οὗ
τοσαῦτ' ἔστιν εἰπεῖν καλὰ παραδεδομένα καὶ μυθώδη,
καὶ ὧν αὐτοὶ μάρτυρές ἐσμεν, ὅσα περὶ οὐδενὸς ἄλλου 20
δικαστηρίου· ὧν ὥσπερεὶ δείγματος [b] ἕνεκα ἄξιόν ἐστιν
76 ἓν ἢ δύο ἀκοῦσαι. τοῦτο μὲν τοίνυν τὰ παλαιά, ὡς ἡμῖν
[c] ἀκούειν παραδέδοται, ἐν μόνῳ τούτῳ τῷ δικαστηρίῳ
[d] δίκας φόνου θεοὶ καὶ δοῦναι καὶ λαβεῖν ἠξίωσαν καὶ

[p] αὕτη] αὐτὴ k. v.
[q] εἴποι—νὴ Δία om. s.
[r] εὑρημένα] εὑρημένα F.
[s] τοῦ ψηφίσματος] ψήφισμα k. r. s.
[t] οὐκ οἶδ'] δηλοῖ δ' s.
[u] εἴ τι] ὅτι k. v.
[v] δὲ om. s.
[x] ἄνδρες om. v.
[y] ὅσων περ] ὅσων περὶ s.
[z] τοιαῦτα] ταῦτα r. s.
[a] ἰδιώτατον] ἰδιώτατον F. O. ἰδιαίτατον k. v.
[b] ἕνεκα] ἕνεκεν v.
[c] ἀκούειν] ἀκοῦσαι k. v.
[d] δίκας φόνου θεοὶ] θεοὶ δίκας φόνου k. v.

δικασταὶ γενέσθαι διενεχθεῖσιν ἀλλήλοις, ὡς λόγος, λα-
βεῖν μὲν [c] Ποσειδῶν ὑπὲρ Ἁλιρρόθιου τοῦ υἱοῦ παρὰ
[f] Ἄρεως, δικάσαι δὲ Εὐμενίσι καὶ [g] Ὀρέστῃ οἱ δώδεκα
θεοί. καὶ τὰ μὲν δὴ παλαιὰ [h] ταῦτα, τὰ δ' ὕστερον·
77 τοῦτο μόνον τὸ δικαστήριον [i] οὐχὶ τύραννος, οὐκ ὀλιγαρ-
χία, οὐ δημοκρατία τὰς φονικὰς δίκας ἀφελέσθαι τε- 642
τόλμηκεν, ἀλλὰ πάντες ἀσθενέστερον ἂν τὸ δίκαιον εὑρεῖν
[k] ἡγοῦνται περὶ τούτων αὐτοὶ τοῦ παρὰ τούτοις εὑρημένου
δικαίου. πρὸς δὲ τούτοις τοιούτοις οὖσιν, ἐνταυθοῖ μόνον
οὐδεὶς πώποτε οὔτε φεύγων ἀλοὺς οὔτε διώκων ἡττηθεὶς
78 ἐξηλέγξεν ὡς ἀδίκως ἐδικάσθη τὰ κριθέντα. ταύτην τοί-
νυν τὴν φυλακὴν καὶ τὰς ἐν ταύτῃ νομίμους τιμωρίας
παραβὰς ὁ γράφων τὸ ψήφισμα [l] τοδὶ ζῶντι μὲν ἐξου-
σίαν γέγραφε τῷ Χαριδήμῳ ποιεῖν ὅ τι ἂν βούληται,
παθόντος δέ τι τοῖς οἰκείοις συκοφαντίαν δέδωκεν. σκέ-
ψασθε γὰρ [m] οὐτωσί. ἴστε δήπου τοῦθ' ἅπαντες, ὅτι ἐν
Ἀρείῳ πάγῳ, οὗ δίδωσιν ὁ νόμος καὶ κελεύει [n] τοῦ φόνου
79 δικάζεσθαι, πρῶτον μὲν διομεῖται κατ' ἐξωλείας αὐτῷ
καὶ γένους καὶ οἰκίας [o] ὅ τινα αἰτιώμενος εἰργάσθαι τι
τοιοῦτον, εἶτ' οὐδὲ τὸν τυχόντα τιν' ὅρκον [p] τοῦτον ποιήσει
ἀλλ' ὃν οὐδεὶς ὄμνυσιν ὑπὲρ οὐδενὸς ἄλλου, στὰς ἐπὶ τῶν
τομίων κάπρου καὶ κριοῦ καὶ ταύρου, καὶ τούτων ἐσφαγ-
μένων ὑφ' ὧν δεῖ καὶ ἐν αἷς ἡμέραις [q] καθηκει, ὥστε καὶ
ἐκ τοῦ χρόνου καὶ ἐκ τῶν μεταχειριζομένων ἅπαν, ὅσον
80 ὅσθ' ὅσιον, πεπρᾶχθαι. καὶ μετὰ ταῦτα ὁ τὸν τοιοῦτον
ὅρκον ὁμωμοκὼς οὔπω πεπίστευται, ἀλλ' ἐὰν ἐξελεγχθῇ

[c] Ποσειδῶν] ποσειδῶ k. r. s.
[f] Ἄρεως] ἄρεος v.
[g] Ὀρέστῃ] ὀρέσται pr. r. ὀρέσταις idem correctus.
[h] ταῦτα] τοιαῦτα k. s. v.
[i] οὐχὶ] οὐ Y. O.
[k] ἡγοῦνται] ἡγοῦντο v.
[l] τοδὶ] τουτὶ k. r. s. v.
[m] οὐτωσὶ] οὑτωσὶν r.
[n] τοῦ ante φόνου om. v.
[o] ὅ τινα] ὅν τινα r. s. εἴ τινα v. et correctus k.
[p] τοῦτον] τοῦτο S. Y. O. k. r. v.
[q] καθήκει] προσήκει k. v.

μὴ λέγων ἀληθῆ, τὴν ἐπιορκίαν [r] ἀπενεγκάμενος τοῖς ἑαυτοῦ παισὶ καὶ τῷ γένει πλέον οὐδ' ὁτιοῦν ἕξει. ἐὰν δὲ δόξῃ τὰ δίκαια ἐγκαλεῖν καὶ ἕλῃ τὸν δεδρακότα τοῦ φόνου, οὐδ' οὕτω κύριος γίγνεται τοῦ ἀλόντος, ἀλλ' ἐκείνου μὲν οἱ νόμοι κύριοι [s] κολάσαι καὶ οἷς προστέτακται [t] ταῦτα, τῷ δὲ ἐπιδεῖν διδόντα δίκην ἔξεστιν, ἣν ἔταξεν ὁ νό- 643
81 μος, τὸν ἀλόντα, πέρα δ' οὐδὲν [u] τούτου. καὶ τῷ μὲν διώκοντι ὑπάρχει ταῦτα, τῷ δὲ φεύγοντι [x] τὰ μὲν τῆς διωμοσίας [y] ταὐτά, τὸν πρότερον δὲ ἔξεστιν εἰπόντα λόγον μεταστῆναι, καὶ οὔθ' ὁ διώκων οὔθ' οἱ δικάζοντες οὔτ' [z] ἄλλος ἀνθρώπων οὐδεὶς κύριος κωλῦσαι. τί δήποτ', ὦ
82 [a] ἄνδρες Ἀθηναῖοι, τοῦθ' οὕτως ἔχει; ὅτι οἱ ταὐτ' ἐξ ἀρχῆς τὰ νόμιμα διαθέντες, οἵτινές ποτ' ἦσαν, εἴθ' ἥρωες εἴτε θεοί, οὐκ ἐπέθεντο τοῖς ἀτυχήμασιν, ἀλλ' ἀνθρωπίνως ἐπεκούφισαν, εἰς ὅσον εἶχε καλῶς, τὰς συμφοράς. ταῦτα μέντοι πάντα οὕτω καλῶς καὶ νομίμως ἔχοντα ὁ γράφων τὸ ψήφισμα τουτὶ παραβεβηκὼς φαίνεται· ἓν γὰρ οὐδ' ὁτιοῦν ἔνι τούτων ἐν τῷ ψηφίσματι [b] τῷ τούτου.
καὶ πρῶτον [c] μὲν [d] παρ' ἓν τοῦτο τὸ δικαστήριον καὶ παρὰ τοὺς γεγραμμένους [e] νόμους καὶ [f] τἄγραφα νόμιμα τὸ ψήφισμα εἴρηται.

83 Δεύτερον δ' [g] ἕτερον δικαστήριον τὸ τῶν ἀκουσίων φόνων φανήσεται συγχέων, τὸ ἐπὶ Παλλαδίῳ, καὶ τοὺς παρὰ

[r] ἀπενεγκάμενος] ἐπενεγκάμενος v. ἐπενεγκάμενος k.
[s] κολάσαι] κολάσειν k. r. s.
[t] ταῦτα om. S.
[u] τούτου] τούτου F.
[x] τὰ μὲν om. s.
[y] ταὐτά] ταῦτα r. τοιαῦτα v.
[z] ἄλλος] ἄλλων k. r. s.
[a] ἄνδρες om. v.
[b] τῷ τούτου] τούτῳ k. v.
[c] μὲν] μὲν εἰ F.
[d] παρ' ἓν τοῦτο τὸ δικαστήριον] παρ' ἓν τοῦτο δικαστήριον F. παρ' ἑνὸς τοῦτο τὸ δικαστήριον Y. παρ' ἑνὸς τούτου δικαστηρίου S. παρ' ἑνὸς τοῦ δικαστηρίου k. παρ' ἑνὸς τούτου τοῦ δικαστηρίου r.s. vulgatam correcti habent O. v.
[e] νόμους om. S. et pr. Y.
[f] τἄγραφα] ἄγραφα S. Y. O. r. s. v.
[g] ἕτερον] ὕστερον O.

τούτῳ νόμους παραβαίνων. καὶ γὰρ ἐνταῦθ' ὑπόκειται πρῶτον μὲν διωμοσία, δεύτερον δὲ λόγος, τρίτον δὲ γνῶσις τοῦ δικαστηρίου, ὧν οὐδέν ἐστιν ἐν τῷ τούτου ψηφίσματι. ἂν δ' ἀλλῷ καὶ δοκῇ τοὔργον εἰργάσθαι, οὔθ' ὁ διώκων τοῦ
84 δεδρακότος κύριος, οὔτ' ἄλλος οὐδεὶς πλὴν [h]ὁ νόμος. τί οὖν ὁ νόμος [i]κελεύει; τὸν ἁλόντα ἐπ' ἀκουσίῳ φόνῳ ἔν τισιν [k]εἰρημένοις χρόνοις ἀπελθεῖν [l]τακτὴν ὁδὸν καὶ φεύγειν, ἕως ἂν αἰδέσηται τινα τῶν ἐν γένει τοῦ πεπονθότος. 644
τηνικαῦτα [m]δ' ἤκειν δεδωκεν ἔστιν ὃν τρόπον, οὐχ ὃν ἂν τύχῃ, ἀλλὰ καὶ θῦσαι καὶ καθαρθῆναι καὶ ἄλλ' ἅττα [n]διεἰρηκεν, ἃ χρὴ ποιῆσαι, ὀρθῶς ὦ [o]ἄνδρες Ἀθηναῖοι 5
85 [p]πάντα ταῦτα λέγων ὁ νόμος. καὶ γὰρ τὸ τῶν ἀκουσίων ἐλάττω τὴν τιμωρίαν [q]ἢ τῶν ἑκουσίων τάξαι δίκαιον, καὶ [r]τὸ παρασχόντ' ἀσφάλειαν ἀπελθεῖν [s]οὕτω προστάττειν φεύγειν ὀρθῶς [t]ἐστὶν ἔχον, καὶ [u]τὸ τὸν κατιόνθ' [x]ὁσιοῦν καὶ καθαίρεσθαι [y]νομίμοις τισί, καὶ τὸ τοὺς νόμους κυ- 10
ρίους ἁπάντων εἶναι, καὶ [z]πάντα ταῦτα ἔχει καλῶς. ταῦτα τοίνυν ἅπαντα δικαίως οὕτω διορισθέντα ὑπὸ τῶν ἐξ ἀρχῆς νομοθετησάντων παρεῖθη γράφων τὸ ψήφισμα οὑτοσί. ταῦτα μὲν δὴ δύο τηλικαῦτα καὶ τοιαῦτα δι- 15
καστήρια καὶ νόμιμα ἐκ παντὸς τοῦ χρόνου παραδεδομένα οὕτως ἀναισθῶς [a]ὑπερπεπήδηκεν.
86 Τρίτον δ' ἕτερον πρὸς τούτοις δικαστήριον, ὃ πάντων

[h] ὁ νόμος om. k. r. s.
[i] κελεύει] κελεύει r.
[k] εἰρημένοις] ὡρισμένοις k. v.
[l] τακτὴν] τὰ κατὰ τὴν s.
[m] δ' ἤκειν] λάβην v.
[n] διεἰρηκεν] δὴ εἴρηκεν v.
[o] ἄνδρες om. v.
[p] πάντα ταῦτα] ταῦτα πάντα k. v.
[q] ἢ τῶν] ἢ τὴν τῶν k. v.
[r] τὸ παρασχόντ'] τῷ παρασχόντι r. s.
[s] οὕτω] οὐ τὸ correctus in ultima littera v.
[t] ἐστὶν ἔχον] ἔχον ἐστί v.
[u] τὸ ante τὸν om. k.
[x] ὁσιοῦν] vulg. ὁσιοῦσθαι.
[y] νομίμοις] τοῖς νόμοις Y. O.
[z] πάντα ταῦτα] ταῦτα πάντα F. k. r. v.
[a] ὑπερπεπήδηκεν] ὑπερβέβηκε γρ. F.

ἁγιώτατα τούτων ἔχει καὶ φρικωδέστατα, ἄν τις ὁμολογῇ μὲν κτεῖναι, ἐννόμως [b]δὲ φῇ δεδρακέναι. τοῦτο δ' ἐστὶ τὸ ἐπὶ [c]Δελφινίῳ. δοκοῦσι γάρ μοι, ὦ [d]ἄνδρες [e]δικασταί, ζητῆσαι τοῦτο πρῶτον ἁπάντων [f]οἱ περὶ τούτων ἐν ἀρχῇ τὰ δίκαια ὁρίσαντες, πότερ' οὐδένα χρὴ φόνον ὅσιον εἶναι νομίζειν ἢ τινά γ' [g]ἔσθ' ὅσιον νομιστέον, λογιζόμενοι δ' ὅτι μητέρα Ὀρέστης ἀπέκτονὼς ὁμολογῶν θεῶν δικασ- τῶν τυχὼν ἀποφυγγάνει, νομίσαι δίκαιόν τινα εἶναι φόνον· οὐ γὰρ ἂν τά γε μὴ δίκαια θεοὺς ψηφίσασθαι. ὡς δὲ τοῦτο ἐνόμισαν, γράφουσιν ἤδη καὶ διορίζουσι σαφῶς
87 ἐφ' οἷς ἐξεῖναι [h]ἀποκτιννύναι. ἀλλ' οὐχ οὗτος οὐδὲν ἀφεῖ- 645
λεν, ἀλλ' ἁπλῶς, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, κἂν δικαίως, κἂν [i]ὡς οἱ νόμοι διδόασιν, ἔκδοτον ποιεῖ. καίτοι πᾶσίν εἰσι πράγμασι καὶ λόγοις δύο προσθῆκαι, [k]ἡ τοῦ δικαίου καὶ ἀδίκου· ἃς ἅμα μὲν τὸ αὐτὸ πρᾶγμα οὐδὲν ἂν δύναιτο σχεῖν οὐδὲ λόγος οὐδείς (πῶς γὰρ ἂν δίκαια ἅμα ταὐτὰ καὶ μὴ γένοιτο;) τὴν ἑτέραν δ' [l]ἕκαστον
88 ἔχον δοκιμάζεται, κἂν μὲν τὴν ἄδικον φανῇ, πονηρὸν κρίνεται, [m]ἂν δὲ τὴν δικαίαν, χρηστὸν καὶ καλόν. σὺ τοίνυν οὐδετέραν προσέθηκας [n]τούτων, ἄν τις ἀποκτείνῃ γράφων· ἀλλ' ἀόριστον [o]εἰπὼν αὐτὴν τὴν αἰτίαν, καὶ μετὰ ταῦτ' εὐθὺς [p]προσγράψας ἀγώγιμον εἶναι, τρίτον τουτὶ δικαστήριον καὶ τὰ τούτου νόμιμα παραβεβηκὼς [q]φαίνει.
89 Τέταρτον τοίνυν ἄλλο πρὸς τούτοις τὸ ἐπὶ Πρυτανείῳ.

[b] δὲ φῇ] δ' ἔφη Y. O.
[c] Δελφινίῳ] δελφινίων r.
[d] ἄνδρες om. v.
[e] δικασταί S. Y. O. om. s. ceteri ἀθηναῖοι.
[f] οἱ om. r. s.
[g] ἔσθ'] ἔσεσθ' r. s. ἔσεσθαι k.
[h] ἀποκτιννύναι] ἀποκτεινύναι S. qui sic ubique: ἀποκτεινῦναι s. eadem constantia.
[i] ὡς οἱ] ὡς οὐχ οἱ Y.
[k] ἡ] ἥ τε k. v.
[l] ἕκαστον] ἕκαστον αἰτίαν F. k. v. et rec. margo O.
[m] ἄν] ἐὰν v.
[n] τούτων] τοῦτον v.
[o] εἰπὼν αὐτὴν] αὐτὴν εἰπὼν v.
[p] προσγράψας] γράψας k. v.
[q] φαίνει S. ceteri φαίνῃ.

τοῦτο δ' [r] ἐστίν, ἐὰν λίθος [s] ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον ἐμπεσὸν πατάξῃ, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ τις, αὐτὸ δὲ [t] εἰδῇ καὶ ἔχῃ [u] τὸ τὸν φόνον εἰργασμένον, τούτοις ἐν-
90 ταῦθα [x] λαγχάνεται. εἰ τοίνυν τῶν ἀψύχων καὶ μὴ μετεχόντων τοῦ φρονεῖν [y] οὐδέν ἐσθ' ὅσιον, τοιαύτην ἔχον αἰτίαν, ἐᾷν ἄκριτον, ἦ που τόν γε ἀδικοῦντα μὲν οὐδέν, ἐὰν τύχῃ, θήσω δὲ ἀδικοῦντα, ἀλλ' ἄνθρωπόν γε ὄντα καὶ μετειληφότα τῇ τύχῃ τῆς αὐτῆς [z] ἡμῖν φύσεως, [a] ἀνόσιον καὶ δεινὸν ἄνευ [b] λόγου καὶ ψήφου ποιεῖν ἕκδοτον ἐπ' αἰτίᾳ τοιαύτῃ.

91 Ἔτι τοίνυν πέμπτον δικαστήριον [c] ἄλλο, θεάσασθε οἷον, ὑπερβέβηκε, τὸ ἐν Φρεαττοῖ. ἐνταῦθα [d] γάρ, ὦ [e] ἄνδρες Ἀθηναῖοι, κελεύει δίκας ὑπέχειν ὁ νόμος, ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγώς, μήπω τῶν [f] ἐκβαλόντων αὐτὸν ᾐδεσμένων, αἰτίαν ἔχῃ ἑτέρου φόνου ἑκουσίου. καὶ [g] οὐχ, 646
ὅτι δεῦρο οὐχ οἷόν τε ἐλθεῖν αὐτῷ, παρεῖδεν αὐτὸν ὁ ταῦτα [h] ἕκαστα [i] τάξας, οὐδ', ὅτι καὶ πρότερόν τι τοιοῦτον ἐποίησε, καὶ δὴ τὴν ὁμοίαν ἐποιήσατο πιστὴν αἰτίαν κατ' αὐ-
92 τοῦ· ἀλλὰ τό τε εὐσεβὲς εὗρεν ὅπως ἔσται, κἀκεῖνον οὐκ ἀπεστέρησε λόγου καὶ κρίσεως. τί οὖν ἐποίησεν; ἤγαγε τοὺς δικάσοντας [k] οἷ προσελθεῖν [l] οἷόν τε ἐκείνῳ, τῆς χώρας ἀποδείξας τόπον τινὰ ἐν [m] Φρεαττοῖ καλούμενον, [n] ἐπὶ θα-

[r] ἐστὶν] ἐστὶ τί k. r. s. v.
[s] ἢ ξύλον om. s.
[t] εἰδῇ] ἴδῃ Y. O. r. s.
[u] τὸ om. O.
[x] λαγχάνεται] λαγχάνεται k. λαγχάνει r.s. et γρ. F.
[y] οὐδὲν in margine ponit F.
[z] ἡμῖν] ὑμῖν O.
[a] ἀνόσιον] ἐᾶν ὅσιον Y.
[b] λόγου καὶ om. r. s.
[c] ἄλλο om. S.
[d] γὰρ om. k.
[e] ἄνδρες om. v.
[f] ἐκβαλόντων] ἐκβαλλόντων S. r.
[g] οὐχ ὅτι] οὐδ' ὅτι F. οὐδιότι Y. O. et correctus S.
[h] ἕκαστα] ἕκαστα δήπου v.
[i] τάξας] πράξας k.
[k] οἷ] ἐκεῖσε οἷ F. k. v.
[l] οἷόν τε] οἷόν τε ἦν F. k. r. s. v.
[m] Φρεαττοῖ] φρεάττου Y. φρεάτου O.
[n] ἐπὶ θαλάττῃ] ἐπιθαλάττιον v.

λάττη. εἶθ' ὁ μὲν ἐν πλοίῳ προσπλεύσας λέγει, τῆς γῆς
οὐχ ἁπτόμενος, οἱ δ' ἀκροῶνται καὶ δικάζουσιν ἐν τῇ γῇ·
κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἐκουσίοις φόνοις δίκην ἔδωκε,
δικαίως, ἐὰν δὲ ἀποφύγῃ, ταύτης μὲν ἀθῷος ἀφίεται,
93 τὴν δ' ἐπὶ τῷ [o]πρότερον φόνῳ [p]φυγὴν ὑπέχει. τίνος οὖν
ποτὲ ἕνεκα ταῦθ' οὕτω διεσπούδασται; ἴσον ἡγεῖτο ἀσέ-
βημα ὁ ταῦτα διαιρῶν τόν τε ἀδικοῦντα ἐᾶν καὶ τὸν ἀναί-
τιον ἐκδιδόναι πρὸ δίκης. καίτοι εἰ περὶ τῶν ἀνδροφόνων
[q]τῶν ἤδη [r]κεκριμένων τοσαύτη [s]γίγνεται σπουδή, ὅπως
λόγου καὶ κρίσεως καὶ πάντων [t]ὁπόσα ἐστὶ δίκαια [u]τεύ-
ξονται περὶ τῶν ὕστερον αἰτιῶν, ἢ που περί γε τοῦ μήθ'
ἑαλωκότος μήτ' ἐγνωσμένου, πότερον δέδρακεν [x]ἢ οὔ καὶ
πότερ' ἄκων ἢ ἑκών, πάνδεινον γράφειν ὡς ἐκδοτέον τοῖς
ἐγκαλοῦσιν [y]εὐθὺς πρὸ δίκης].
94 [z]Ἔτι τοίνυν [z]ἐστὶν ἔκτη τιμωρία πρὸς ἁπάσαις ταύταις,
ἣν ὁμοίως παραβὰς γέγραφε τὸ ψήφισμα [a]οὑτοσί. εἰ
πάντα ταῦτά τις ἠγνόηκεν, ἢ [b]καὶ παρεληλύθασιν οἱ
χρόνοι ἐν οἷς ἔδει τούτων ἕκαστα ποιεῖν, ἢ δι' ἄλλο τι οὐχὶ
βούλεται τούτους τοὺς τρόπους ἐπεξιέναι, τὸν ἀνδροφόνον 647
δ' ὁρᾷ [c]περιόντα ἐν τοῖς ἱεροῖς καὶ κατὰ τὴν ἀγοράν,
ἀπάγειν ἔξεστιν εἰς τὸ δεσμωτήριον, [d]οὐκ οἴκαδε οὐδ'
ὅποι [e]βούλεται, ὥσπερ σὺ δέδωκας. κἀνταῦθ' ἀπαχθεὶς
οὐδ' ὁτιοῦν, [f]πρὶν ἂν κριθῇ, πείσεται, ἀλλ' ἐὰν μὲν ἁλῷ,
θανάτῳ ζημιωθήσεται, ἐὰν δὲ μὴ μεταλάβῃ τὸ πέμπτον

[o] πρότερον S.Y.O. ceteri προτέρῳ.
[p] φυγὴν] δίκην r. s.
[q] τῶν ante ἤδη om. r.s.
[r] κεκριμένων] κεκρυμμένων v.
[s] γίνεται om. S. Y. et pr. O. post σπουδὴ ponunt k. r. s. v.
[t] ὁπόσα] ὅσα k. v.
[u] τεύξονται] τεύξωνται rec. k.
[x] ἢ οὔ] ἢ μὴ r.
[y] εὐθὺς] αὐτοῖς k. r. s. v. totum hoc εὐθὺς πρὸ δίκης om. F.S.Y.O.
[z] ἐστὶν om. v.
[a] οὑτοσί] οὑτοσίν r.
[b] καὶ post ἢ om. r. s.
[c] περιόντα] περιόντα F.S.Y.O.
[d] οὐκ] καὶ οὐκ k.
[e] βούλεται] βούλεταί τις F. k. v.
[f] πρὶν om. Y. et pr. O.

μέρος τῶν ψήφων ὁ [a]ἀπαγαγών, χιλίας προσοφλήσει.
95 ἀλλ' οὐχ [b]οὗτος ἔγραψε ταῦτα, ἀλλὰ τὸν μὲν ἀθῷον αἰτιάσασθαι, τὸν δὲ ἄκριτον παραχρῆμα ἐκδίδοσθαι. ἐὰν δέ τις ἀνθρώπων ἢ καὶ [i]ὅλη πόλις τοσούτοις νομίμοις ἀναιρουμένοις ὅσοις ἐγὼ διεξεληλυθα, καὶ τοσούτοις δικαστηρίοις καταλυομένοις ὅσοις εἴρηκα, ἃ θεοὶ κατέδειξαν καὶ μετὰ ταῦτα ἄνθρωποι χρῶνται πάντα τὸν χρόνον, βοηθήσῃ, καὶ τὸν ὑβριζόμενον καὶ παρανομούμενον ἀφέληται, ἔκσπονδον [k]ἔγραψεν εἶναι, καὶ οὐδὲ τούτῳ λόγον οὐδὲ κρίσιν [l]πεποίηκεν, ἀλλὰ καὶ τοῦτον εὐθὺς ἄνευ κρίσεως κολάζει. πῶς ἂν ἢ δεινότερον γένοιτο ἢ παρανομώτερον τούτου ψήφισμα;

96 [y]Ἆρά τις ἡμῖν [m]ἔτι λοιπός ἐστι νόμος; δεῖξον. [n]οὐτοσί. λέγε [o]τοῦτον.

ΝΟΜΟΣ.

Ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, ὑπὲρ τούτου τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἡ δίκας τοῦ φόνου ὑπόσχωσιν ἢ τοὺς ἀποκτείναντας ἐκδῶσι. τὴν δὲ ἀνδροληψίαν εἶναι μέχρι τριῶν, πλέον δὲ μή.

97 Πολλῶν, ὦ [p]ἄνδρες Ἀθηναῖοι, καλῶς ἐχόντων [q]νόμων οὐκ οἶδ' εἴ τινος ἧττον οὗτος ἔχει καλῶς καὶ δικαίως ὁ νόμος. σκέψασθε γὰρ ὡς νομίμως καὶ σφόδρα ἀνθρωπίνως κεῖται. ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, φησί. πρῶτον μὲν δὴ [r]τοῦτο προσγράψας τὸ [s]βιαίῳ σύμβολον πε-
98 ποίηκεν, ᾧ γιγνώσκομεν ὅτι, ἂν ἀδίκως, λέγῃ. ὑπὲρ τούτου φησὶ [t]τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως

[a] ἀπαγαγών] ἀπάγων Y. O.
[b] οὗτος] οὗτως v.
[i] ὅλη] ὅλη ἡ k.v. et correctus O.
[k] ἔγραψεν om. pr. k.
[l] πεποίηκεν] πέποικεν k.
[m] ἔτι λοιπὸς ἐστι] ἐστι λοιπὸς ἔτι k.v.
[n] οὐτοσί] οὐτοσὶν r. οὗτοι Reisk.
[o] τοῦτον S. Y. r. τὸν νόμον s. τουτωὶ reliqui.
[p] ἄνδρες om. v.
[q] νόμων] τῶν νόμων F.
[r] τοῦτο] τούτῳ v. et pr. k.
[s] βιαίῳ] βιαίως F. S. Y. O.
[t] τοῖς om. pr. k.

ἂν ἢ δίκας τοῦ φόνου ὑπόσχωσιν ἢ τοὺς ἀποκτείναντας ἐκδῶσι. σκοπεῖσθε ὡς καλῶς. πρότερον μὲν ὑποσχεῖν δίκας ἀξιοῖ, μετὰ ταῦτα δέ, [u]ἂν τοῦτο μὴ βούλωνται, προσέταξεν ἐκδοῦναι· ἐὰν [x]δὲ μηδέτερον τούτων ἐθέλωσι, τὸ ἀνδροληψιόν φησιν εἶναι μέχρι τριῶν, πλέον δὲ μή.

99 παρὰ τοίνυν ὅλον τοῦτον τὸν νόμον εἴρηται τὸ ψήφισμα. πρῶτον μὲν γάρ, ἐάν τις ἀποκτείνῃ γράφων, οὐ προσέγραψεν ἀδίκως οὐδὲ βιαίως οὐδ' ὅλως οὐδέν. εἶτα πρὸ τοῦ δίκην ἀξιῶσαι λαβεῖν εὐθὺς ἔγραψεν ἀγώγιμον εἶναι. πρὸς δὲ τούτοις ὁ μὲν νόμος, [y]ἂν μήτε δίκας [z]ὑπόσχωσι παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δεδρακότας ἐκδιδῶσι, κελεύει κατὰ τούτων εἶναι [a]μέχρι τριῶν τὸ ἀν-

100 δροληψιον· ὁ δὲ τούτους μὲν ἀθῴους [b]παρῆκε, καὶ οὐδὲ λόγον [c]πεποίηται περὶ αὐτῶν οὐδένα, [d]τοὺς δὲ τὸν ἤδη πεφευγότα ([e]θήσω γὰρ οὕτω) κατὰ τὸν κοινὸν [f]ἁπάντων ἀνθρώπων νόμον, ὃς κεῖται τὸν φεύγοντα δέχεσθαι, [g]τοὺς ὑποδεξαμένους ἐκσπόνδους εἶναι γράφει, ἐὰν μὴ τὸν ἱκέ-

101 την ἔκδοτον διδῶσιν. οὐκοῦν καὶ [h]τῷ μὴ προσθεῖναι [i]πῶς ἐὰν ἀποκτείνῃ, καὶ τῷ μηδεμίαν κρίσιν εἰπεῖν, καὶ τῷ μὴ δίκας αἰτεῖν, καὶ τῷ πανταχόθεν διδόναι λαβεῖν, καὶ τῷ τοὺς ὑποδεξαμένους ἀλλὰ μὴ παρ' οἷς ἂν τὸ πάθος γένηται κολάζειν, καὶ πᾶσιν [k]οὑτωσὶ φανερῶς καὶ παρὰ τοῦ- 649

τον εἴρηκε τὸν νόμον.

102 Λέγε δὴ τὸν ἐφεξῆς.

[u] ἂν τοῦτο] ἐὰν τοῦτο r. s.
[x] δὲ post ἐὰν om. s.
[y] ἂν μήτε] ἐὰν μήτε O. s.
[z] ὑπόσχωσι] ὑπέχωσι k. r. s. v.
[a] μέχρι τριῶν τὸ ἀνδροληψιον] τὸ ἀνδροληψιον μέχρι τριῶν vulg.
[b] παρῆκε] παραφῆκε Y. O.
[c] πεποίηται] πεποίηκε v.
[d] τοὺς δὲ] οὗτος δὲ r. s. v.
[e] θήσω] φήσω v.
[f] ἁπάντων] πάντων k. v.
[g] τοὺς] τοὺς δὲ r.
[h] τῷ—τῷ—τῷ—τῷ—τῷ] τὸ—τὸ—τὸ—τὸ—τὸ k.
[i] πῶς ἐὰν] vulg. πῶς ἂν.
[k] οὑτωσὶ] οὑτοσὶ k.

ΝΟΜΟΣ.

Μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν [l]ἐπὶ πᾶσιν Ἀθηναίοις.

Ἔστι μὲν οὐκέτι τῶν φονικῶν [m]ὅδε ὁ νῦν ἀνεγνωσμένος νόμος, ὦ [n]ἄνδρες [o]δικασταί, οὐδ' ὁτιοῦν [p]δ' ἧττον ἔχει καλῶς, [q]εἴπερ καὶ ἄλλος τις. ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον μετεστιν ἑκάστῳ, οὕτως ᾤετο δεῖν καὶ τῶν νόμων ἴσον μετέχειν πάντας ὁ θεὶς αὐτόν, καὶ διὰ ταῦτ' [r]ἔγραψε μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν
103 αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις. ὁπότε τοίνυν τὰ ψηφίσματα δεῖν κατὰ τοὺς νόμους ὁμολογεῖται γράφειν, ὁ γράφων ἰδιά τι Χαριδήμῳ τοιοῦτον, ὃ μὴ πᾶσι καὶ [s]ὑμῖν ἔσται, σαφῶς [t]καὶ παρὰ τοῦτον ἂν εἰρηκὼς εἴη τὸν νόμον. οὐ γὰρ δήπου, ἃ μηδὲ νομοθετεῖν ἔξεστι, ταῦτα ἐν ψηφίσματι γράψας τις ἔννομ' ἂν εἰρηκὼς εἴη.

104 Λέγε τὸν μετὰ ταῦτα νόμον. ἢ οὗτοι πάντες εἰσίν;

ΝΟΜΟΣ.

Ψήφισμα δὲ μηδὲν μήτε βουλῆς μήτε δήμου [u]νόμου κυριώτερον εἶναι.

Καταθου. Πάνυ μικρὸν ὑπειληφά μοι τὸν λόγον, ὦ ἄνδρες [x]δικασταί, καὶ ῥᾴδιον εἶναι περὶ τοῦ [y]παρὰ ταῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα. ὃς γὰρ ὑπαρχόντων τοσούτων νόμων πάντας ὑπερβὰς τούτους [z]γέγραφέ [a]τι, καὶ κατεκλεισεν ἴδιον πρᾶγμα ψηφισματι, τοῦτον τί τις

[l] ἐπὶ πᾶσιν] ἐφ' ἅπασιν k.r.s.v.
[m] ὅδε om. O. ὁ om. S. v. et fortasse Y.
[n] ἄνδρες om. v.
[o] δικασταί] ἀθηναῖοι k. om. s.
[p] δ' om. pr. Y.
[q] εἴπερ] ἥπερ F. r.
[r] μηδὲ] οὐδὲ v.
[s] ὑμῖν] ἡμῖν v. παρ' ἡμῖν k.
[t] καὶ ante παρὰ om. F. Y. O.
[u] νόμου om. v. et pr. O.
[x] δικασταί om. k. s. v.
[y] παρὰ] καὶ παρὰ F. k. r. s. v. et rec. O.
[z] γέγραφε] ἔγραφεν O.
[a] τι om. S.

ἄλλο ποιεῖν φήσει πλὴν ψήφισμα νόμου κυριώτερον ἀξιοῦν εἶναι;

105 Βούλομαι τοίνυν [b]ὑμῖν καὶ ἓν ἢ δύο ψηφίσματα δεῖξαι τῶν γεγραμμένων τοῖς ὡς ἀληθῶς εὐεργέταις τῆς πόλεως, ἵν' εἰδῆτε ὅτι ῥᾴδιόν ἐστι γράφειν τὰ δίκαια, ὅταν αὐτοῦ τις ἕνεκα τούτου γράφῃ, τοῦ τιμῆσαί τινα καὶ μεταδοῦναι τῶν [c]ἡμῖν ὑπαρχόντων, καὶ μὴ διὰ τοῦ ταῦτα δοκεῖν ποιεῖν [d]βούληται κακουργεῖν καὶ παρακρούεσθαι. λέγε τὰ ψηφίσματα ταυτί. ἀλλ' ἵνα μὴ μακρὸν [e]ἀκούειν ὑμῖν ᾖ, ἐξ ἑκάστου τῶν ψηφισμάτων αὐτὸ τοῦτο ἐξείλεκται, περὶ οὗ τούτου κατηγορῶ. λέγε. 650

[f]ΕΚ ΤΩΝ ΨΗΦΙΣΜΑΤΩΝ.

106 Ὁρᾷθ' ὅτι πάντες, ὦ [g]ἄνδρες Ἀθηναῖοι, τὸν αὐτὸν τρόπον γεγράφασιν. ἔστω, φησίν, ὑπὲρ αὐτοῦ ἡ αὐτὴ τιμωρία, καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ, κυρίους μὲν ἐῶντες τοὺς περὶ τούτων ὑπάρχοντας ὑμῖν νόμους, σεμνοὺς δὲ ἀποφαίνοντες, οἵγε ἐν δωρεᾶς ἐποιήσαντο τάξει τὸ τούτων

107 [h]μεταδοῦναι. ἀλλ' οὐκ Ἀριστοκράτης, ἀλλὰ [i]προπηλακίζει μὲν καθ' [k]ὅσον [l]δύναται τούτους (ὡς γοῦν οὐδενὸς ἀξίων [m]ὄντων ἴδιόν τι γράφειν ἐπεχείρησε), μικρὰν δ' ἀποφαίνει κἀκείνην τὴν δωρεάν, [n]ᾗ [o]τὴν πολιτείαν δεδώκατε τῷ Χαριδήμῳ. ὃς γάρ, ὡς ἀγαπώντων τοῦθ' ὑμῶν καὶ προσοφειλόντων χάριν αὐτῷ, γέγραφε καὶ [p]προσφυ-

[b] ὑμῖν om. v.
[c] ἡμῖν] ὑμῖν F. r. s.
[d] βούληται] βούλεσθαι k.r.v. deletisque ταῦτα δοκεῖν ποιεῖν s.
[e] ἀκούειν ὑμῖν] ὑμῖν ἀκούειν k.r.s.
[f] ΕΚ ΤΩΝ ΨΗΦΙΣΜΑΤΩΝ] ψήφισμα F. ψηφίσματα S. Y. O. et, qui illa ἐκ τῶν ψηφισμάτων ad λέγε apponunt, r. s.
[g] ἄνδρες om. s. v.
[h] μεταδοῦναι] μεταδοῦναί τινι O. k. r. s. v.
[i] προπηλακίζει] προπηλακίζειν S.
[k] ὅσον] ὃν k. v.
[l] δύναται] δύναται τρόπον k.r.s.v.
[m] ὄντων om. S. ante ἀξίων ponunt r. s. v. ὄντος k.
[n] ᾗ] ἐν ᾗ Y.O.k.r.s.v. et γρ. F.
[o] τὴν πολιτείαν] τῆς πολιτείας Y. O. et γρ. F.
[p] προσφυλάττειν] πρὸς, φυλάττειν F. προσέτι φυλάττειν k. r. s. v.

λάττειν ὑμᾶς ἐκεῖνον, ὅπως ἀδεῶς ὅ τι ἂν βούληται ποιῇ, πῶς οὐ τοῦθ' ὁ λέγω διαπράττεται;

108 Οὐκ ἀγνοῶ τοίνυν, ὦ [q]ἄνδρες Ἀθηναῖοι, ὅτι ὡς μὲν οὐ παρὰ τοὺς νόμους φανερῶς γέγραφε τὸ ψήφισμα Ἀριστοκράτης οὐχ ἕξει δεῖξαι, ὃ δὲ δεινότατον πάντων ἐστί, [r]τὸ μηδεμίαν χρῖσιν ἐν παντὶ ποιῆσαι τῷ ψηφίσματι τοιαύτης αἰτίας, τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. [s]ἐγὼ δὲ περὶ αὐτοῦ τούτου πολλὰ μὲν λέγειν οὐκ οἴομαι δεῖν, ἐκ δὲ τοῦ ψηφίσματος αὐτοῦ δείξω σαφῶς οὐδὲ αὐτὸν τοῦτον 109 ἡγούμενον εἶναι κρίσιν οὐδεμίαν τῷ τὴν αἰτίαν ἔχοντι. γέγραφε γὰρ "ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος "ἔστω, ἐὰν δέ τις ἀφέληται ἡ πόλις ἢ ἰδιώτης, ἔκσπον- "δος ἔστω," οὐκ ἐὰν μὴ παράσχῃ εἰς κρίσιν τὸν ἀφαιρεθέντα, ἀλλ' ὅλως εὐθύς. καίτοι εἴγε ἐδίδου κρίσιν [t]καὶ μὴ ἀφῃρεῖτο, τότ' ἂν [u]προσέγραψε κατὰ τῶν ἀφελομένων τὴν τιμωρίαν, ὁπότε εἰς τὴν κρίσιν μὴ παρέσχον ὃν [x]ἀφείλαντο.

110 Οἴομαι τοίνυν αὐτὸν κἀκεῖνον ἐρεῖν τὸν λόγον, καὶ σφόδρα [y]ταύτῃ [z]ζητήσειν ἐξαπατᾶν ὑμᾶς, ὡς ἀκυρόν ἐστι τὸ ψήφισμα· προβούλευμα γάρ ἐστιν, [a]ὁ νόμος δ' [b]ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα, ὥστε κἂν αὐτοῦ ὦν [c]ἀποψηφίσησθε, ἥ γε πόλις φλαῦρον οὐδὲν πεί- 111 σεται κατὰ τὸ ψήφισμα τοῦτο. ἐγὼ δὲ πρὸς ταῦτα οἴομαι δεῖν ὑμᾶς ἐκεῖνο ὑπολαμβάνειν, ὅτι [d]τοῦτο τὸ ψήφισμα [e]οὗτος ἔγραψεν οὐχ ἵνα ὄντος ἀκύρου μηδὲν ἀηδὲς

[q] ἄνδρες om. v.
[r] τὸ μηδεμίαν] τοῦ μηδεμίαν k.
[s] ἐγὼ δέ] ἐγὼ δὴ F.
[t] καὶ μή] ἢ μὴ F. S.
[u] προσέγραψε] ἔγραψε r. s.
[x] ἀφείλαντο] ἀφείλαντο k. ἐξείλαντο F. S. Y. O.
[y] ταύτῃ] ταυτὶ k. v.
[z] ζητήσειν] ζητεῖν r. s. et γρ. F.
[a] ὁ νόμος δέ] ὁ δὲ νόμος r. s.
[b] ἐπέτεια] ἐπέτεια r. ἐπαίτια s.
[c] ἀποψηφίσησθε] ἀποψηφιεῖσθε k. r. s.
[d] τοῦτο τὸ ψήφισμα] τὸ ψήφισμα τοῦτο k. r. s. v.
[e] οὗτος] οὕτως Y. O.

ὑμῖν συμβῇ ([f]τὴν ἀρχὴν γὰρ ἐξῆν αὐτῷ μὴ γράφειν, εἴγε τὸ βέλτιστον τῇ πόλει σκοπεῖν ἐβούλετο) ἀλλ' ἵν' ἐξαπατηθέντων ὑμῶν διαπράξαιντό τινες ταναντία τοῖς ὑμῖν συμ- 28
φέρουσιν. οἱ δὲ γραψάμενοι καὶ χρόνους ἐμποιήσαντες, καὶ δι' οὓς ἄκυρόν [g]ἐστι, ἡμεῖς ἐσμέν. ἄτοπον δὴ γένοιτ' ἄν, εἰ [h]ὧν ἡμῖν χάριν εἰκὸς ὑπάρχειν, ταῦτα τούτοις εἰς
112 σωτηρίαν [i]ὑπάρξειεν. ἔτι τοίνυν οὐδὲ ἁπλοῦν τοῦθ' οὕτως 652
ἐστίν, [k]ὥς τις οἴεται. εἰ μὲν γὰρ μηδεὶς ἄλλος ἦν, ὅστις ἤμελλεν ὁμοίως τούτῳ τῶν συμφερόντων [l]ὑμῖν ὀλιγωρήσας γράφειν, ἴσως ἂν [m]ἧττον ἦν [n]δεινόν· νῦν δὲ ὄντων οὐκ ὀλί- 5
γων οὐχὶ καλῶς ἔχει μὴ λῦσαι τὸ ψήφισμα ὑμῖν. τίς γὰρ οὐ γράψει [o]γε θαρρῶν πάλιν, ἡνίκ' [p]ἂν ᾖ τοῦτο [q]ἀποπεφευγός; τίς δὲ οὐκ ἐπιψηφιεῖ; τίς δὲ [r]γράψεται; οὐ τοίνυν τοῦτο σκεπτέον, εἰ τοῦτ' ἔστιν ἄκυρον τοῖς χρόνοις, ἀλλ' [s]ἐκεῖνο, ὅτι τῇ περὶ τούτου ψήφῳ, νῦν ἐὰν [t]ἀποψη- 10
φίσησθε, τοῖς ἀδικεῖν [u]βουλησομένοις αὖθις ὑμᾶς ἄδειαν δώσετε.

113 Οὐ τοίνυν οὐδὲ ἐκεῖνό [x]με ὦ ἄνδρες Ἀθηναῖοι λέληθεν, ὅτι ἁπλῆν μὲν οὐδὲ δικαίαν οὐδ' ἠντινοῦν ἀπολογίαν Ἀριστοκράτης ἕξει λέγειν, παραγωγὰς δὲ [y]τοιαύτας τινὰς ἐρεῖ, ὡς ἄρα πολλὰ τοιαῦτα ἤδη γέγονε ψηφισματα 15
πολλοῖς. ἔστι δ' [z]οὐδέν, ὦ [a]ἄνδρες Ἀθηναῖοι, τοῦτο ση-

[f] τὴν ἀρχὴν γὰρ ἐξῆν αὐτῷ] vulg. ἐξῆν γαρ αὐτῷ τὴν ἀρχὴν.
[g] ἐστι] ἐστι τὸ ψήφισμα k.r.s.v.
[h] ὧν ἡμῖν] ἂν ὑμῖν v.
[i] ὑπάρξειεν] ὑπάρξειν k. ὑπάρξει r. s. v.
[k] ὥς τις] ὅστις pr. r.
[l] ὑμῖν] ἡμῖν r.
[m] ἧττον om. S.
[n] δεινὸν] τοῦτο F. S. Y. O.
[o] γε om. Y. O. k. r. s.
[p] ἂν om. S. O.
[q] ἀποπεφευγός] ἀποπεφευγώς k.
[r] γράψεται] οὐ γράψεται v.
[s] ἐκεῖνο] ἐκεῖνο ὁρᾶν F.Y.O.k.v.
[t] ἀποψηφίσησθε] ἀποψηφίσαισθε F. ψηφίσησθε r.
[u] βουλησομένους] βουλομένους O.v.
[x] με ὦ ἄνδρες ἀθηναῖοι λέληθεν] με λέληθεν ὦ ἄνδρες ἀθηναῖοι k. r. s. με λέληθεν ὦ ἀθηναῖοι v.
[y] τοιαύτας τινὰς] τινὰς τοιαύτας k. r. s. v.
[z] οὐδὲν ante τοῦτο ponunt k. v.
[a] ἄνδρες om. v.

μεῖον τοῦ τοῦτον ἔνοχα εἰρηκέναι· πολλαὶ γὰρ προφάσεις
114 εἰσὶ δι' ἃς πολλάκις ὑμεῖς ἐξηπάτησθε. οἷον εἴ τι τῶν
ἐαλωκότων ψηφισμάτων παρ' [b]ὑμῖν μὴ ἐγράφη, κύριον
ἂν [c]δήπουθεν ἦν· καὶ μὴν παρὰ τοὺς νόμους γ' ἂν εἴρητο.
καὶ εἴ τι γε γραφὲν ἢ καθυφέντων τῶν κατηγόρων ἢ μὴ
δυνηθέντων [d]μηδὲν διδάξαι [c]ἀπέφυγε, καὶ τοῦτο οὐδὲν κω-
λύει παράνομον εἶναι. οὐκ ἄρα εὐορκοῦσιν οἱ δικάσαντες
αὐτό; ναί. πῶς; ἐγὼ διδάξω. γνώμῃ τῇ δικαιοτάτῃ δι-
κάσειν ὀμωμόκασιν, ἡ δὲ τῆς γνώμης δόξα ἀφ' ὧν ἂν
ἀκούσωσι παρίσταται· [f]ὅτε τοίνυν κατὰ ταύτην ἔθεντο
115 [g]τὴν ψῆφον, εὐσεβοῦσι. [h]πᾶς γὰρ ὁ μήτε δι' ἔχθραν
μήτε δι' εὔνοιαν μήτε δι' ἄλλην ἄδικον πρόφασιν μηδε-
μίαν, παρ' ἃ γιγνώσκει, θέμενος τὴν ψῆφον εὐσεβεῖ· εἰ 653
γὰρ ἠγνόησέ [i]τι διδασκόμενος, τοῦ μὴ συνεῖναι δίκην οὐκ
ὀφείλει δοῦναι· ἀλλ' εἴ τις εἰδὼς [k]ἐκείνους προδέδωκεν ἢ
ἐξαπατᾷ, [l]οὗτός ἐστ' ἔνοχος τῇ ἀρᾷ. διόπερ καταρᾶται 5
καθ' ἑκάστην ἐκκλησίαν ὁ κῆρυξ οὐκ εἴ τινες ἐξηπατήθη-
σαν, ἀλλ' εἴ τις ἐξαπατᾷ λέγων ἢ βουλὴν ἢ δῆμον ἢ τὴν
116 [m]ἡλιαίαν. μὴ δὴ τοῦθ' [n]ὑμῖν ἔατε λέγειν, ὡς γέγονεν,
ἀλλ' ὡς ἔστι δίκαιον [o]γίγνεσθαι, μηδ' ὡς ἕτεροι δικασαν-
τες ἐκύρωσαν ἐκεῖνα, ἀλλ' ὑμᾶς αὐτοὺς ἀξιοῦτε [p]διδα- 10
σκειν ὡς δικαιότερ' [q]ἡμῶν περὶ τοῦδε λέγουσιν. εἰ δὲ ταῦτα
μὴ δυνήσονται, οὐχὶ καλῶς ἔχειν [r]ὑμῖν ἡγοῦμαι τὴν ἐτέ-

[b] ἡμῖν] ἐμοὶ F. S. Y. O.
[c] δήπουθεν ἦν] ἦν δήπουθεν k. v.
[d] μηδὲν] οὐδὲν v.
[e] ἀπέφυγεν] ἀπέφυγεν O. ἃ πέφυγεν F.
[f] ὅτε—ἔξειν §. 118. om. s.
[g] τὴν ψῆφον] τὴν γνώμην διὰ λόγου F.
[h] πᾶς] πᾶς r.
[i] τι] τις k.
[k] ἐκείνους προδέδωκεν] ἐκεῖνο προδέδωκεν k. r. s. v.
[l] οὗτός ἐστ' ἔνοχος] vulg. ἔνοχος οὗτός ἐστι.
[m] ἡλιαίαν] ἡλιέαν F.
[n] ἡμῖν] ἡμῶν k. v.
[o] γίγνεσθαι] γενέσθαι F. k. r. s. v.
[p] διδάσκειν] διδάσκειν r.
[q] ἡμῶν] ἐμῶν k. v.
[r] ἐμῶ om. k. r. s. v.

ρων ἀπάτην κυριωτέραν ποιήσασθαι τῆς ὑμετέρας αὐτῶν
117 γνώμης. ἔτι τοίνυν ἔμοιγε δοκεῖ καὶ σφόδρα ἀναιδὴς [a]ὁ τοιοῦτος εἶναι λόγος, ὡς γέγονε καὶ πρότερόν τισιν [t]ἄλλοις τοιαῦτα ψηφίσματα. οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ ταῦτ' ἐμιμήσω, διὰ τοῦτ' [u]ἀποφυγεῖν σοι προσήκει, ἀλλὰ τοὐναντίον πολὺ μᾶλλον ἀλίσκεσθαι διὰ ταῦτα. ὥσπερ γάρ, εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως, ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει.

118 Ὡς μὲν τοίνυν οὐ παρὰ πάντας τοὺς νόμους φανερῶς γέγραφε τὸ ψήφισμα Ἀριστοκράτης, οὐκ οἶομαι λέγειν αὐτὸν ἔξειν· ἤδη δέ τινα εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι, γραφὴν ἀγωνιζόμενον παρανόμων τοῖς νόμοις μὲν ἁλισκόμενον, ὡς δὲ συμφέρονθ' [x]ὑμῖν γέγραφε λέγειν ἐπιχειροῦντα, καὶ ταύτῃ βιαζόμενον, εὐήθη [y]μέν, οἶμαι, μᾶλλον
119 δ' ἀναιδῆ λόγον· εἰ γὰρ καὶ [z]κατὰ τἆλλα πάντα [a]συμφέρει τὰ εἰρημένα, [b]ἥ γε ὁμωμοκότας κατὰ τοὺς νόμους [c]δικάσειν ὑμᾶς ἀξιοῖ κυροῦν ἃ μηδ' αὐτὸς ἔχει [d]δικαίως δεῖξαι γεγραμμένα, [e]ἀσύμφορον ἂν εἴη, εἴπερ τὸ εὐορκεῖν περὶ πλείστου πᾶσίν ἐστι ποιητέον· οὐ μὴν ἀλλ' ἔχει τινὰ ὅμως ἡ ἀναίδεια αὕτη λόγον. τούτῳ τοίνυν οὐδ' [f]οὗτος ἐνέσται πρὸς ὑμᾶς [g]ὁ λόγος· οὕτω γὰρ σφόδρα ἐναντίον ὂν τοῖς νόμοις τὸ ψήφισμα μᾶλλον ἀσύμφο-
120 ρόν ἐστιν ἢ παράνομον. βούλομαι [h]δ' ἤδη καὶ τοῦθ' ὑμῖν

[a] ὁ τοιοῦτος εἶναι] εἶναι ὁ τοιοῦτος v.
[t] ἄλλοις] ἄλλα v.
[u] ἀποφυγεῖν] ἀποφεύγειν k.r.s.v.
[x] ὑμῖν] ἡμῖν k. v.
[y] μὲν] μὲν εἶναι k. μὲν τοῖς ἅπασιν v.
[z] κατὰ τἆλλα] κατ' ἄλλα k. r. s. v.
[a] συμφέρει] συμφέροι r. s.
[b] ἥ γε] εἴ γε k. v.
[c] δικάσειν] δικάζειν v. διδάσκειν r. s.
[d] δικαίως δεῖξαι] δεῖξαι δικαίως k. r. s. v.
[e] ἀσύμφορον] ἀσύμφορα k. r. s. v.
[f] οὗτος] οὕτως Y. O. k. r. v.
[g] ὁ om. S. k. v.
[h] δ' ἤδη καὶ τοῦθ' ὑμῖν] δὲ δὴ καὶ

ἐπιδεικνύναι. ἵνα δὲ ὡς διὰ βραχυτάτου λόγου δῆλον ὃ βούλομαι ποιήσω, παράδειγμά τι γνώριμον [1]πᾶσιν ὑμῖν ἐρῶ. [k]ἴσθ' ὅτι συμφέρει τῇ πόλει μήτε Θηβαίους μήτε Λακεδαιμονίους ἰσχύειν, ἀλλὰ τοῖς μὲν Φωκέας ἀντιπάλους τοῖς δ' ἄλλους τινὰς εἶναι· ἐκ γὰρ τοῦ ταῦθ' οὕτως
121 ἔχειν [l]ὑμῖν ὑπάρχει μεγίστοις οὖσιν ἀσφαλῶς οἰκεῖν. [m]τοῦτο τοίνυν νομίζετε ταὐτὸ καὶ τοῖς Χερρόνησον οἰκοῦσι τῶν πολιτῶν [n]συμφέρειν, μηδένα εἶναι τῶν Θρᾳκῶν ἰσχυρόν· ἡ γὰρ ἐκείνων πρὸς ἀλλήλους ταραχὴ καὶ ὑποψία φρουρὰ Χερρονήσου μεγίστη τῶν [o]πασῶν ἐστὶ καὶ βεβαιοτάτη. τὸ τοίνυν ψήφισμα τουτὶ τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν διδόν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος μή τιν' αἰτίαν ἔχωσι παριστάν, τοὺς μὲν ἀσθενεῖς, τὸν δ' ἕνα
122 ὄντα ἰσχυρὸν καθιστησιν. ἵνα δὲ μὴ πάνυ θαυμάζητε εἰ τὰ παρ' ὑμῖν ψηφίσματα τηλικαύτην [p]ἔχει δύναμιν, γεγονὸς [q]καὶ ὃ πάντες ἐπίστασθε πρᾶγμα ὑμᾶς ὑπομνήσω. ὅτε Μιλτοκύθης ἀπέστη Κότυος, συχνὸν ἤδη χρόνον ὄντος τοῦ πολέμου, καὶ ἀπηλλαγμένου μὲν Ἐργοφίλου, μέλλοντος δ' Αὐτοκλέους ἐκπλεῖν στρατηγοῦ, ἐγράφη τι παρ' [r]ὑμῖν ψήφισμα τοιοῦτον, δι' οὗ Μιλτοκύθης μὲν ἀπῆλθε φοβηθεὶς καὶ νομίσας ὑμᾶς οὐ προσέχειν αὐτῷ, Κότυς δ' ἐγκρατὴς τοῦ τε ὄρους τοῦ ἱεροῦ καὶ τῶν
123 θησαυρῶν ἐγένετο. [s]καὶ γάρ τοι μετὰ ταῦτα, ὦ [t]ἄνδρες Ἀθηναῖοι, Αὐτοκλῆς μὲν ἐκρίνετο ὡς ἀπολωλεκὼς Μιλ-

τοῦθ' ὑμῖν γρ. F. θ' ὑμῖν καὶ τοῦτ' k. r. s. v.

[1] πᾶσιν om. k. post γνώριμον ponunt r. s.

[k] ἴσθ'] ἴστω k.

[l] ὑμῖν] ἡμῖν F. S. Y. O.

[m] τοῦτο — ταὐτὸ] τοῦτο — ταὐτὸ F. ταυτὸ — τοῦτο k. r. s. v.

[n] συμφέρειν] συμφέρει pr. k.

[o] πασῶν] ἁπασῶν O.

[p] ἔχει] ἔσχε F. om. r.

[q] καὶ ὃ] ἃ καὶ k. v.

[r] ὑμῖν] ἡμῖν k. r. s.

[s] καὶ γάρ τοι om. r. s.

[t] ἄνδρες om. r. s. v.

τοκύθην, οἱ δὲ χρόνοι κατὰ [u]τοῦ τὸ ψήφισμα εἰπόντος τῆς γραφῆς ἐξεληλύθεσαν, τὰ δὲ πράγματα [x]ἀπολώλει
124 τῇ πόλει. [y]εὖ τοίνυν ἴστε ὅτι καὶ νῦν, εἰ μὴ [z]λύσετε τὸ ψήφισμα τοδί, καὶ τοῖς βασιλεῦσι θαυμαστὴ γενήσεται [a]δι' αὐτὸ ἀθυμία καὶ τοῖς στρατηγοῖς αὐτῶν· ὅλως γὰρ ἡγήσονται [b]παρεωρᾶσθαι μὲν [c]αὐτοί, πρὸς Κερσοβλέπτην δ' ἀποκλίνειν [d]ὑμᾶς. [e]εἰ δ' ἐκ τοῦ ταῦτα γνῶναι παραχωρήσονται τῆς ἀρχῆς ἐπὶ καιροῦ τινος [f]αὐτοῖς ἐπιθεμένου [g]τοῦ Κερσοβλέπτου, πάλιν ὁρᾶτε τί συμβήσεται.
125 φέρε γὰρ πρὸς θεῶν, [h]ἂν ἡμᾶς ἀδικῇ Κερσοβλέπτης, ὃ μᾶλλον [i]ἐλπὶς ἢ μὴ δυνηθέντα ποιῆσαι, οὐκ ἐπ' ἐκείνους ἴμεν καὶ δι' ἐκείνων [k]ἀσθενῆ ποιεῖν αὐτὸν [l]ζητήσομεν; ἂν οὖν εἴπωσιν ἡμῖν [m]ὅτι "[n]ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ
126 " μόνον ἡμῖν ἀδικουμένοις οὐκ ἐβοηθήσατε, ἀλλὰ καὶ " [o]φόβον, ἂν ὑπὲρ ἡμῶν αὐτῶν ἀμυνώμεθα, θαυμαστὸν " παρεστήσατε, ψήφισμα ποιησάμενοι, τὸν ἐναντία τοῖς " ὑμῖν συμφέρουσι καὶ ἡμῖν πράττοντα [p]ἄν τις ἀποκτεί- " νῃ, ἀγώγιμον εἶναι· οὔκουν ἐστὲ δίκαιοι βοηθοὺς καλεῖν 656 " ἡμᾶς, ἐφ' οἷς καὶ περὶ ὑμᾶς αὐτοὺς καὶ περὶ ἡμᾶς " κακῶς ἐβουλεύσασθε" εἰπέ μοι, ταῦτ' ἐὰν λέγωσιν, οὐ δικαιότερ' ἡμῶν ἐροῦσιν; ἔγωγ' οἶμαι.

[u] τοῦ τὸ] τοῦτο τὸ r.
[x] ἀπολώλει] ἀπωλώλει r. s. et correctus v.
[y] εὖ] εἰ Y. et pr. O.
[z] λύσετε] λύσητε F. Y. O.
[a] δι' αὐτὸ om. r.
[b] παρεωρᾶσθαι] παρεῶσθαι γρ. S.
[c] αὐτοὶ] αὐτοὺς k.
[d] ὑμᾶς] ἡμᾶς k.
[e] εἰ δ' ἐκ] ἐκ δὲ s.
[f] αὐτοῖς om. pr. k.
[g] τοῦ om. pr. k.
[h] ἂν] ἐὰν s.
[i] ἐλπὶς] ἐλπίσαντα v. ἐλπὶς αὐτὸν r. s. et correctus k.
[k] ἀσθενῆ] πάλιν ἀσθενῆ F. k. r. s. v.
[l] ζητήσομεν] ἐπιχειρήσομεν k. r. s. v.
[m] ὅτι] πρὸς ταῦτα ἐκεῖνοι k. r. s. v.
[n] ὑμεῖς] ὑμεῖς δὲ F. r. s.
[o] φόβον — παρεστήσατε] φόβον ἀνυπέρβλητον καὶ θαυμαστόν, ἂν — ἀμυνώμεθα, παρεστήσατε γρ. S. φόβον ἀνυπέρβλ. καὶ θαυμαστὸν παρεστήσατε, ἂν — ἀμυνώμεθα r. s. ἡμῶν αὐτῶν k. v. ceteri ὑμῶν αὐτῶν. totum hoc ἂν — ἀμυνώμεθα om. Y. O.
[p] ἄν τις] ἐάν τις r. s.

127 Καὶ μὴν οὐδ' ἐκεῖνό γ' [q]ἔστιν εἰπεῖν, ὅτι νὴ Δί' εἰκό-
των ἐφενακίσθητε καὶ παρεκρούσθητε. εἰ γὰρ μηδὲν εἴ-
χετε τῶν ἄλλων λογίσασθαι, μηδ' ἐφ' ὑμῶν αὐτῶν οἵοι
τε [r]ἦτε ταῦτα [s]συνεῖναι, ἦν ἰδεῖν παράδειγμα Ὀλυνθίους
τουτουσί, οἳ τί πεπονηκότος αὐτοῖς Φιλίππου πῶς αὐτῷ
128 [t]χρῶνται; ἐκεῖνος ἐκείνοις Ποτιδαιαν οὐχὶ τηνικαῦτ' ἀπ-
έδωκεν, ἡνίκ' ἀποστερεῖν οὐκέθ' οἷός τ' ἦν, ὥσπερ ὑμῖν
[u]Κερσοβλέπτης Χερρόνησον· ἀλλὰ πρὸς ὑμᾶς πολεμῶν
χρήματα πολλὰ ἀναλώσας, ἑλὼν καὶ δυνηθεὶς ἂν αὐτὸς
ἔχειν, εἴπερ [x]ἐβουλήθη, παρεδωκε, καὶ οὐδ' ἐπεχείρησεν
129 ἄλλο ποιεῖν οὐδέν. ἀλλ' ὅμως ἐκεῖνοι [y]τέως μὲν ἐώρων
[z]αὐτὸν τηλικοῦτον ἡλίκος ὢν [a]καὶ πιστὸς ὑπῆρχε, σύμ-
μαχοί τε ἦσαν καὶ δι' ἐκεῖνον ἡμῖν ἐπολέμουν, ἐπειδὴ δὲ
εἶδον [b]μείζω τῆς πρὸς αὐτοὺς πιστεως γιγνόμενον, τοσ-
οῦτ' ἀπέχουσι τοῦ ψηφισασθαι, [c]ἂν τις ἀποκτείνῃ τινὰ
τῶν ἐκείνῳ συγκατεσκευακότων τὴν ἀρχήν, ἐκ τῶν ἑαυτῶν
130 συμμάχων ἀγώγιμον εἶναι, ὥσθ' [d]ὑμᾶς, οὓς ἴσασιν
ἁπάντων ἀνθρώπων ἥδιστ' ἂν καὶ τοὺς ἐκείνου φίλους καὶ
αὐτὸν [e]τὸν Φιλιππον [f]ἀποκτείναντας, φίλους πεποιη-
ται, φασὶ δὲ καὶ συμμάχους [g]ποιησεσθαι. εἶτ' Ὀλύν-
θιοι μὲν ἴσασι τὸ μέλλον προορᾶν, ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι
ταῦτο τοῦτ' [h]οὐχὶ ποιήσετε; ἀλλ' αἰσχρὸν τοὺς [τῷ]
περὶ πραγμάτων ἐπίστασθαι βουλεύσασθαι δοκοῦντας
προέχειν ἧττον Ὀλυνθίων τὸ συμφέρον εἰδότας ὀφθῆναι. 657

[q] ἔστιν] ἔνεστιν k. r. s. v.
[r] ἦτε om. r. s.
[s] συνεῖναι] συνιέναι r. s.
[t] χρῶνται] κέχρηνται k. r. s. v.
[u] Κερσοβλέπτης] ὁ κερσοβλέπτης k. r. s. v.
[x] ἐβουλήθη] ἠβουλήθη v.
[y] τέως] ἕως v.
[z] αὐτὸν τηλικοῦτον] τηλικοῦτον αὐτὸν k. r. s. v.
[a] καὶ post ὢν om. k. r. s. v.
[b] μείζω] μεῖζον F. S. Y. O. v.
[c] ἄν] ἐάν r. s.
[d] ἡμᾶς] ἡμᾶς v.
[e] τὸν om. O.
[f] ἀποκτείναντας F. ἀποκτείνοντας Y. O.
[g] ποιήσεσθαι] ποιήσασθαι k.
[h] οὐχί] οὐ k. v.
[i] [τῷ] om. omnes.

131 Ἀκούω τοίνυν [k]αὐτὸν καὶ τοιοῦτόν τιν' ἐρεῖν λόγον, οἷον καὶ πρότερόν ποτε Ἀριστόμαχος [l]παρ' ὑμῖν ἐδημηγόρει, ὡς οὐκ ἔστιν ὅπως ποτὲ Κερσοβλέπτης αἱρήσεται Χερρόνησον ἀποστερεῖν ἐπιχειρῶν [m]ἐχθρὸς ὑμῖν εἶναι· οὐδὲ γὰρ εἰ λάβοι καὶ κατάσχοι, λυσιτελήσειν αὐτῷ. ἐκ μέν γ' ἐκείνης οὐκ ἔστιν ὑπὲρ τριάκοντα τάλαντα ἡ πρόσοδος μὴ πολεμουμένης, εἰ [n]πολεμήσεται δέ, οὐδέν· ἐκ δὲ τῶν ἐμπορίων, ἃ τότ' ἂν κλεισθείη, πλέον ἢ [o]τριακόσια τάλαντά ἐσθ' ἡ πρόσοδος· ὥστε [p]τί βουλόμενος [q]μικρὰ [r]λαμβάνειν καὶ πολεμεῖν ἂν ἕλοιτο, ἔξον τὰ πλείω καὶ 132 [s]φίλος εἶναι, θαυμάζειν φήσουσιν. ἐγὼ δ' οὐκ ἀπορῶ μὲν εἰπεῖν πολλά, ἃ μοι δοκεῖ μᾶλλον ἄν τις ἰδὼν ἀπιστεῖν εἰκότως, ἢ τούτοις πιστεύων ἐκεῖνον ἐᾶν μέγαν γίγνεσθαι· οὐ μὴν ἀλλ' ὃ μάλιστα πρόχειρον ἔχω, τοῦτ' ἐρῶ. ἴστε δήπου Φίλιππον [t]ὦ ἄνδρες Ἀθηναῖοι τουτονὶ τὸν 133 Μακεδόνα, ᾧ πολὺ δήπου μᾶλλον ἐλυσιτέλει τὰς ἐξ ἁπάσης Μακεδονίας προσόδους ἀδεῶς λαμβάνειν ἢ μετὰ κινδύνων τὰς ἐξ Ἀμφιπόλεως, καὶ χρῆσθαι φίλοις αἱρετώτερον ἦν αὐτῷ τοῖς πατρικοῖς [u]ὑμῖν ἢ Θετταλοῖς, οἳ τὸν πατέρα αὐτοῦ [x]ποτ' ἐξέβαλον. ἄνευ γὰρ τούτου κἀκεῖνο ἔστιν ἰδεῖν· ὑμεῖς [y]μὲν ὦ ἄνδρες Ἀθηναῖοι οὐδένα προὐδώκατε πώποτε τῶν φίλων, Θετταλοὶ δὲ οὐδένα 134 πώποθ' ὅντινα οὔ. ἀλλ' ὅμως [z]οὕτως ἐχόντων τούτων μικρὰ λαμβάνειν καὶ τοὺς ἀπίστους φίλους καὶ τὸ κινδυνεύειν ἀντὶ τοῦ μετ' ἀσφαλείας ζῆν ὁρᾶτε προῃρημένον

[k] αὐτὸν] αὐτοὺς k. r. s. v.
[l] παρ' ὑμῖν] παρ' ἡμῖν k. r. s.
[m] ἐχθρὸς ὑμῖν] ἐχθρὸς ἡμῖν r.
[n] πολεμήσεται] πολεμήσετε Y. O. k. v.
[o] τριακόσια] διακόσια F.Y.O.v.
[p] τί] εἰ F. εἴ v. εἰ ἡ S. ἢ Y.O.
[q] μικρὰ] μικρὰν F.
[r] λαμβάνειν καὶ] λαμβάνων k.r.s.
[s] φίλος] φίλους k.
[t] ὦ om. O. ἄνδρες om. k. v.
[u] ὑμῖν] ἡμῖν k. v.
[x] ποτ' om. k. v.
[y] μὲν om. pr. O.
[z] οὕτως ἐχόντων τούτων] τούτων οὕτως ἐχόντων v.

αὐτόν. τί δή [a]ποτ' αἴτιον; οὐ γὰρ δὴ λόγον γε τὸ πρᾶγ-
135 μα οὕτωσὶ [b]πρόχειρον ἔχει. ὅτι ὦ [c]ἄνδρες Ἀθηναῖοι δυοῖν 658
ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου καὶ
μεγίστου πάντων, τοῦ εὐτυχεῖν, τοῦ δὲ ἐλάττονος μὲν
τούτου τῶν δ' ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι, 5
οὐχ ἅμα ἡ κτῆσις παραγίγνεται τοῖς ἀνθρώποις, οὐδ'
ἔχει τῶν [d]εὖ πραττόντων οὐδεὶς ὅρον [e]οὐδὲ τελευτὴν τῆς
τοῦ πλεονεκτεῖν ἐπιθυμίας· δι' ὅπερ [f]πολλοὶ πολλάκις
136 μειζόνων [g]ἐπιθυμοῦντες τὰ παρόντα ἀπώλεσαν. καὶ τί
δεῖ Φιλιππον λέγειν ἢ τιν' ἄλλον; ἀλλ' ὁ πατὴρ αὐτὸς ὁ 10
Κερσοβλέπτου Κότυς, ἡνίκα μὲν [h]στασιάζοι πρός τινας,
πρέσβεις [i]πέμπων [k]ἅπαντα ποιεῖν ἕτοιμος ἦν, καὶ τότε
ἡσθάνετο ὡς ἀλυσιτελὲς [l]τὸ τῇ πόλει πολεμεῖν, [m]ἐπειδὴ
δ' ὑφ' ἑαυτῷ τὴν Θράκην [n]ἔχοι, κατελάμβανε [o]τὰς πό- 15
λεις, ἠδίκει, μεθύων ἐπαρῴνει μάλιστα μὲν εἰς ἑαυτόν,
[p]εἶτα καὶ εἰς [q]ἡμᾶς, τὴν χώραν ἐποιεῖθ' [r]ἑαυτοῦ, τὸ
πρᾶγμα ἀμήχανον ἦν. τῶν γὰρ ὑπὲρ τοῦ πλεονεκτεῖν
ἐπιχειρούντων οἷς οὐ χρὴ οὐ τὰ δυσχερέστατα ἕκαστος 20
137 [s]εἴωθε λογίζεσθαι, ἀλλ' ἃ κατορθώσας διαπράξεται. ἐγὼ
[t]δὴ δεῖν ὑμᾶς οἶομαι τοῦτον τὸν τρόπον βεβουλεῦσθαι,
ὅπως, ἂν μὲν ἃ χρὴ περὶ [u]ὑμῶν γιγνώσκῃ Κερσοβλέ-
πτης, μηδὲν ὑφ' ὑμῶν [x]ἀδικήσεται, ἐὰν δὲ ἀλόγως ἀδι-

[a] ποτ' αἴτιον] ποτε τὸ αἴτιον F. k. v.
[b] πρόχειρον] μέτριον r.
[c] ἄνδρες om. k. r. v.
[d] εὖ om. r. s.
[e] οὐδὲ] ἢ S.
[f] πολλοὶ om. k.
[g] ἐπιθυμοῦντες] ἐπιθυμήσαντες F.
[h] στασιάζοι] στασιάζει v.
[i] πέμπων] πέμπειν πρὸς ἡμᾶς k. r. s. v.
[k] ἅπαντα] πάντα k.
[l] τὸ om. k. v.
[m] ἐπειδὴ] ἐπειδὰν F. S.
[n] ἔχοι] ἔχει O. v.
[o] τὰς πόλεις] τὴν πόλιν r.
[p] εἶτα] ἔπειτα δὲ k. r. s. v.
[q] ἡμᾶς] ὑμᾶς O. r. s.
[r] ἑαυτοῦ] ἐφ' ἑαυτῷ k. r. s. v.
[s] εἴωθε ante τὰ δυσχερέστατα ponit v.
[t] δὴ] δὲ k. v.
[u] ὑμῶν] ἡμῶν r. v.
[x] ἀδικήσεται] ἀδικηθήσεται F. Y. O. v.

κεῖν ἐπιχειρῇ, μὴ μείζων ἔσται τοῦ [y] δοῦναι δίκην. ἀνα- 25
γνώσομαι δ' ὑμῖν τὴν ἐπιστολὴν ἥν, ὅτε [z] ἀφειστήκει
Μιλτοκύθης, Κότυς ἔπεμψε, καὶ ἣν ὅτε πᾶσαν [a] ἔχων
τὴν ἀρχὴν πέμψας Τιμομάχῳ τὰ χωρία ὑμῶν ἐξεῖλεν.

ΕΠΙΣΤΟΛΗ. 659

138 Τοῦτο ὦ [b] ἄνδρες Ἀθηναῖοι τὸ παράδειγμα ἑωρακότες,
ἂν ἐμοὶ [c] μὴ [d] πεισθῆτε, κἀκεῖνο εἰδότες, ὅτι Φίλιππος,
ὅτε μὲν [e] ἐπολιόρκει Ἀμφίπολιν, ἵν' ὑμῖν παραδῷ, πολι- 5
ορκεῖν ἔφη, ἐπειδὴ δ' ἔλαβε, καὶ Ποτίδαιαν [f] προσαφεί-
λετο, ἐκείνην τὴν πίστιν βουλήσεσθε ἔχειν, [g] ἣν πέρ φασι
πρὸς Λακεδαιμονίους ποτ' εἰπεῖν [h] Φιλοκράτην τὸν Ἐφι-
139 άλτου· καὶ γὰρ ἐκεῖνόν φασιν, ἐξαπατώντων [i] τι τῶν
Λακεδαιμονίων καὶ προτεινόντων πίστιν ἥντινα [k] βούλεται 10
λαμβάνειν, εἰπεῖν ὅτι πίστιν ἂν οἴεται γενέσθαι μόνην, εἰ
[l] δείξειαν ὅπως, [m] ἂν ἀδικεῖν βούλωνται, μὴ δυνήσονται,
ἐπεὶ ὅτι γ' ἀεὶ βουλήσονται εὖ εἰδέναι· ἕως ἂν οὖν δύνων-
140 ται, πίστιν οὐκ εἶναι. ταύτην, ἂν ἐμοὶ χρῆσθε συμβούλῳ,
φυλάξετε τὴν πίστιν πρὸς [n] τοῦτον τὸν Θρᾷκα, καὶ μὴ 15
[o] βουλήσεσθε εἰδέναι τίνα ἄν, εἰ πάσης ἄρξειε [p] τῆς Θρᾴ-
κης, πρὸς ὑμᾶς σχοίη γνώμην.

141 Ὅτι τοίνυν ὅλως οὐδ' ὑγιαινόντων [q] ἐστὶν ἀνθρώπων
τοιαῦτα γράφειν ψηφίσματα καὶ διδόναι τισὶ τοιαύτας

[y] δοῦναι δίκην] δίκην δοῦναι O.
[z] ἀφειστήκει] ἀφεστήκει O.
[a] ἔχων τὴν ἀρχὴν] τὴν ἀρχὴν ἔχων v.
[b] ἄνδρες om. s. v.
[c] [μὴ] om. k.r.s.v. punctis notant F. O.
[d] πεισθῆτε] πείθησθε Y. r. s. v.
[e] ἐπολιόρκει Ἀμφίπολιν] ἀμφίπολιν ἐπολιόρκει F. S. Y. O.
[f] προσαφείλετο] καὶ πρισαφείλετο s.
[g] ἣν περ] ἥν k. v.
[h] Φιλοκράτην S. Y. O. ceteri Ἰφικράτην.
[i] τι om. O.
[k] βούλεται] βούληται s.
[l] δείξειαν] δείξαιεν k. v. δείξειεν O.
[m] ἄν] ἐὰν r.
[n] τοῦτον] τουτονὶ k. r. s. v.
[o] βουλήσεσθε] βουλεύεσθε r.s. At legendum βούλεσθε.
[p] τῆς om. F. S. Y. O.
[q] ἐστὶν ἀνθρώπων] ἀνθρώπων ἐστὶ v.

δωρεάς, καὶ ταῦτ' ἐκ πολλῶν ῥᾴδιον γνῶναι. ἴστε [r]γὰρ δήπου πάντες ὦ ἄνδρες Ἀθηναῖοι [s]τοῦτο ὁμοίως ἐμοί, ὅτι τὸν Κότυν ποτ' ἐκεῖνον ἐποιήσασθε πολίτην δῆλον ὡς κατ' ἐκεῖνον τὸν χρόνον εὔνουν ἡγούμενοι [t]καὶ φίλον. καὶ μὴν καὶ χρυσοῖς στεφάνοις ἐστεφανοῦτε, οὐκ ἄν, εἰγ' ἐχθρὸν
142 ἡγεῖσθε. ἀλλ' ὅμως, ἐπειδὴ πονηρὸς καὶ θεοῖς ἐχθρὸς ἦν καὶ μεγάλα ὑμᾶς ἠδίκει, τοὺς ἀποκτείναντας ἐκεῖνον [u]Πύθωνα καὶ Ἡρακλείδην, τοὺς [x]Αἰνίους, πολίτας ἐποιήσασθ' ὡς εὐεργέτας καὶ χρυσοῖς στεφάνοις ἐστεφανώσατε. εἰ δὴ [y]τότε, ὃθ' ὑμῖν οἰκείως ἔχειν ὁ Κότυς ἐδόκει, ἔγραψέ τις, ἐάν τις ἀποκτείνῃ Κότυν, ἔκδοτον [z]αὐτὸν εἶναι, [a]πότερον ἐξέδοτ' ἂν τὸν Πύθωνα καὶ τὸν ἀδελφόν, ἢ 660
παρὰ τὸ ψήφισμα τοῦτο πολίτας ἐποιεῖσθε καὶ ὡς εὐερ-
143 γέτας ἐτιμᾶτε; τί δ'; Ἀλέξανδρον ἐκεῖνον τὸν Θετταλόν, ἡνίκ' εἶχε μὲν αἰχμαλώτων [b]δήσας Πελοπίδαν, ἐχθρὸς δ' ὡς οὐδεὶς [c]ἦν Θηβαίοις, ὑμῖν δ' οἰκείως διέκειτο οὕτως ὥστε παρ' ὑμῶν στρατηγὸν αἰτεῖν, ἐβοηθεῖτε δ' αὐτῷ καὶ πάντ' ἦν Ἀλέξανδρος, πρὸς Διὸς εἴ τις ἔγραψεν, [d]ἄν τις ἀποκτείνῃ Ἀλέξανδρον, ἀγώγιμον εἶναι, ἆρ' [e]ἂν ὢν μετὰ ταῦθ' ὕβρισε καὶ προὐπηλάκισεν ἀσφα-
144 λὲς [f]ἦν [g]τῷ παρ' αὐτοῦ δίκην [h]πειρᾶσθαι λαβεῖν; τί δὲ τἄλλα λέγοι τις ἄν; ἀλλ' ὁ μάλιστα δοκῶν νῦν [i]ἡμῖν ἐχθρὸς εἶναι Φίλιππος οὑτοσί, εἰ τοῦθ', ὅτ' [k]Ἀργαῖον κατάγοντας λαβὼν τῶν ἡμετέρων τινὰς πολιτῶν ἀφῆκε μὲν

[r] γὰρ om. r.
[s] τοῦτο ante πάντες ponit v.
[t] καὶ φίλον om. S.
[u] Πύθωνα] πείθωνα O.
[x] Αἰνίους] αἰνείους k.
[y] τότε] ποτε S.
[z] αὐτὸν om. v.
[a] πότερον] πότερα r. s.
[b] δήσας] δείσας k.
[c] ἦν Θηβαίοις] θηβαίοις ἦν k. r. s. v.
[d] ἄν τις] ἐάν τις k. r. s. v.
[e] ἂν om. k. v.
[f] ἦν] ἂν ἦν v.
[g] τῷ] τὸ k. v.
[h] πειρᾶσθαι om. r.
[i] ἡμῖν] δ' ἡμῖν k. ἡμῖν r. s. v.
[k] Ἀργαῖον] ἄργαιον k.

αὐτούς, ἀπέδωκε δὲ πάντα ὅσ' [l]ἀπώλεσαν αὐτοῖς, πέμ- 15
ψας δὲ γράμματα [m]ἐπηγγέλλετο ἕτοιμος εἶναι συμμαχίαν ποιεῖσθαι καὶ τὴν πατρικὴν φιλίαν ἀνανεοῦσθαι, εἰ τότ' ἠξίωσε τυχεῖν τούτων καί τις ἔγραψε τῶν ἀφεθέντων ὑπ' αὐτοῦ, ἐάν τις ἀποκτείνῃ Φίλιππον, ἀγώγιμον εἶναι, 20
145 καλήν γ' ὕβριν ἧμεν ἂν ὑβρισμένοι. ἆρά γε ὁρᾶτε καὶ καταμανθάνετε, ὦ [n]ἄνδρες Ἀθηναῖοι, ἐφ' ἑκάστου τούτων ἡλίκην ἂν [o]ὠφληκότες ἦτε παράνοιαν, εἴ τι [p]τοιοῦτον ἐτυγχάνετε ἐψηφισμένοι; ἔστι γὰρ οὐχ ὑγιαινόντων, [q]οἶμαι, ἀνθρώπων οὔθ' ὅταν τινὰ ὑπειλήφωσι φίλον, οὕτω 25
πιστεύειν ὥστε, ἂν ἀδικεῖν ἐπιχειρῇ, τὸ [r]ἀμύνασθαι σφῶν αὐτῶν ἀφελέσθαι, οὔθ' ὅταν ἐχθρόν τινα ἡγῶνται, οὕτως αὖ μισεῖν ὥστ', [s]ἐὰν παυσάμενος [t]βούληται φίλος εἶναι, τὸ ποιεῖν ἐξεῖναι ταῦτα κωλῦσαι· ἀλλ' ἄχρι τούτου καὶ φιλεῖν, οἶμαι, χρὴ καὶ μισεῖν, μηδετέρου τὸν καιρὸν ὑπερ- 661
βάλλοντας.

146 Οὐ τοίνυν ἔγωγε οὐδ' ἐκεῖνο ἰδεῖν δύναμαι, ὡς οὐχὶ πάντες ἄνθρωποι τούτων ἀξιώσουσι τυχεῖν, [u]ὅσοις πέρ ἐστι καὶ ἠτισοῦν εὐεργεσίας πρόφασις πρὸς ὑμᾶς, εἰ Χαριδήμῳ δώσετε, οἷον, εἰ βούλεσθε, Σίμων, Βιάνωρ, 5
Ἀθηνόδωρος, ἄλλοι μυρίοι. εἰ μὲν τοίνυν πᾶσι ψηφιούμεθα [x]ταὐτά, λήσομεν, ὡς ἔοικε, μισθοφόρων ἔργον ἀνθρώπων ποιοῦντες τὴν ἑκάστου σωτηρίαν τούτων δορυφοροῦντες· εἰ δὲ [y]τῷ μὲν τοῖς δ' οὔ, δικαίως ἐγκαλέσουσιν
147 οἱ μὴ [z]τυχόντες. φέρ', ἐὰν δὲ δὴ καὶ Μενέστρατος ἡμᾶς 10

[l] ἀπώλεσαν] ἀπώλεσεν S.
[m] ἐπηγγέλλετο] ἐπηγγείλατο v.
[n] ἄνδρες om. v.
[o] ὠφληκότες ἦτε παράνοιαν] παρανομίαν ὠφληκότες ἦτε k. r. s.
[p] τοιοῦτον] τοιοῦτο k. s. v.
[q] οἶμαι ἀνθρώπων] ἀνδρῶν οἶμαι k. r. s. v.
[r] ἀμύνασθαι] ἀμύνεσθαι k.r.s.v.
[s] ἐὰν O. r. s. ceteri ἂν.
[t] βούληται φίλος εἶναι] φίλος εἶναι βούληται F.
[u] ὅσοις] ὁπόσοις F.k.r.v. ὁπόσοι s.
[x] ταῦτα F. r. s.
[y] τῷ μὲν] τοῖς μὲν k. r. s. v.
[z] τυχόντες] μετέχοντες v.

ὁ Ἐρετριεὺς ἀξιοῖ [a]ταῦτα καὶ αὐτῷ ψηφίσασθαι, ἢ [b]Φάϋλλος ὁ Φωκεὺς ἤ τις ἄλλος δυνάστης (πολλοῖς δὲ δήπου διὰ καιρούς τινας πολλάκις φίλοι γιγνόμεθα), [c]πότερον ψηφιούμεθα πᾶσιν ἢ οὔ; ψηφιούμεθα νὴ Δία. καὶ [d]τί [e]φήσομεν ὦ [f]ἄνδρες Ἀθηναῖοι καλόν, εἰ τῶν Ἑλλήνων ἐπ' ἐλευθερίᾳ προεστάναι φάσκοντες τοὺς [g]ἰδίᾳ δυνάμεις ἐπὶ τοῖς πλήθεσι κεκτημένους δορυφοροῦντες φανούμεθα; [h]ἐγὼ μὲν οὐχ ὁρῶ. εἰ γάρ ἐστί τῳ [i]δοτέον τι [k]τοιοῦτον, ὡς ἔγωγε οὔ φημι, πρῶτον μὲν τῷ μηδὲν ἠδικηκότι πώποτε, δεύτερον δὲ [l]τῷ μηδ' ἂν ἀδικεῖν βούληται δυνησομένῳ, ἔπειθ' ὡς ἀληθῶς ὅστις ἅπασιν ἀνθρώποις ἔσται φανερὸς ὑπὲρ τοῦ μὴ παθεῖν ταῦτα εὑρισκόμενος, καὶ οὐκ ἐπὶ τῷ ποιεῖν μετ' ἀδείας ἑτέρους κακῶς, [m]τούτῳ δοτέον. ὅτι μὲν τοίνυν ὁ Χαρίδημος οὔτε τῶν ἀναμαρτήτων ἐστὶ πρὸς ὑμᾶς οὔτε τῶν ἵνα μή τι [n]πάθωσι ταῦτα εὑρισκομένων, ἐάσω· ἀλλ' ὡς οὐδὲ πιστὸς εἰς τὸν [o]ἔπειτα χρόνον, ἀκούσατέ μου, καὶ σκοπεῖτε, ἂν [p]ὑμῖν ὀρθῶς ἐξεταζειν δοκῶ.

149 Ἐγὼ νομίζω, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσοι μὲν τῶν ἡμετέρων ἐθῶν καὶ νόμων ἐπιθυμηταὶ γενόμενοι πολῖται 662 [q]ἐσπούδασαν γενέσθαι, ἅμα τ' [r]αὐτοὺς ἂν τυγχάνειν [s]τούτων καὶ παρ' [t]ἡμῖν οἰκεῖν καὶ μετέχειν ὧν ἐπεθύμη-

[a] ταῦτα] ταυτὰ k. v. τὰ αὐτὰ F. S. Y. O.
[b] Φάϋλλος] φάϋλος O. k. v.
[c] πότερον] πότερα r. s.
[d] τί] τί δῆτα v.
[e] φήσομεν] ψηφίσομεν F.
[f] ἄνδρες om. v.
[g] ἰδίᾳ] Bas. Y. O. et correctus k. Conf. Anecd. p. 164, 4: ubi mox φαινόμεθα.
[h] ἐγὼ μὲν οὐχ ὁρῶ om. S. ἐγὼ μὲν οὐκ ἔχω F. Y. O.
[i] δοτέον] δέον r. s.
[k] τοιοῦτον] τοιοῦτο k.
[l] [τῷ] post δὲ omittunt omnes.
[m] τούτῳ] τοῦτο F. τοῦτῳ k.
[n] πάθωσι Reiskius: libri πάθῃ.
[o] ἔπειτα] ἅπαντα r. s.
[p] ὑμῖν ὀρθῶς] ὀρθῶς ὑμῖν v.
[q] ἐσπούδασαν γενέσθαι S. Y. O. ceteri γενέσθαι ἐσπούδασαν.
[r] αὐτοὺς ἄν] ἂν αὐτοὺς v.
[s] τούτων—μετέχειν om. r.
[t] ἡμῖν] ὑμῖν k.

σαν. [u] ὅσοις δὲ τούτων μὲν μηδενὸς μήτ' ἐπιθυμία μήτε ζῆλος εἰσέρχεται, τὴν πλεονεξίαν δ' ἀγαπῶσιν, ἣν διὰ τοῦ [x] δοκεῖν ὑφ' ὑμῶν τιμᾶσθαι καρποῦνται, τούτους [y] δ' οἶομαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὅταν ποτὲ μείζονος πλεονεξίας [z] ἑτέρωθεν ἐλπίδα ἴδωσιν, οὐδ' ὁτιοῦν [a] ὑμῶν φρον-
150 τίσαντας ἐκείνην [b] θεραπεύσειν. οἷον, [c] ἵν' εἰδῆτε καὶ ὑμεῖς πρὸς [d] ὃ ταῦτ' ἐγὼ βλέπων λέγω, Πύθων οὑτοσί, ὅτε μὲν Κότυν εὐθὺς ἀπεκτονὼς οὐκ ἀσφαλὲς ἡγεῖτο ἀπελθεῖν [e] ὅποι τύχοι, ἦλθεν ὡς [f] ὑμᾶς καὶ πολιτείαν [g] ἠτήσε καὶ πάντων [h] ἐποιήσατο πρώτους ὑμᾶς, ἐπειδὴ δὲ οἴεται τὰ Φιλίππου πράγματα συμφέρειν αὐτῷ μᾶλλον, οὐδ' ὁτι-
151 οῦν ὑμῶν φροντίσας τἀκείνου φρονεῖ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ [i] ἄνδρες Ἀθηναῖοι, παρὰ τούτοις τοῖς ἐπὶ τῇ τοῦ πλεονεκτεῖν προαιρέσει ζῶσιν οὐδὲν οὔτε βέβαιον οὔθ' ὅσιον, ἀλλὰ δεῖ [k] τούτων, ὅστις εὖ φρονεῖ, φυλαττόμενον περι-
151 εῖναι, μὴ προπιστεύσαντα κατηγορεῖν. εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐναντίον ἢ τἀληθὲς [l] ὑπάρχει, [m] θείημεν τὸν Χαρίδημον αὐτὸν καὶ γεγενῆσθαι περὶ ἡμᾶς σπουδαῖον καὶ εἶναι καὶ ἔσεσθαι, καὶ μηδέποτε ἄλλην γνώμην ἢ ταύτην σχήσειν, οὐδὲν μᾶλλον ἔχει καλῶς ταῦτ' αὐτῷ ψηφίσασθαι. εἰ μὲν γὰρ ἐπ' ἄλλο τι [n] ταύτην τὴν ἄδειαν ἐλάμβανε, τὴν ἐκ τοῦ ψηφίσματος, ἢ τὰ Κερσοβλέπτου πράγματα, ἧττον ἂν ἦν δεινόν· νῦν δ', ὑπὲρ οὗ [o] καται-

[u] ὅσοις] ὅσους S.
[x] δοκεῖν ὑφ' ὑμῶν τιμᾶσθαι] διώκειν τὰς ὑφ' ὑμῶν τιμὰς k. ὑμῶν etiam r. s. v.
[y] δ' om. F. k. r. s. v.
[z] ἑτέρωθεν ἐλπίδα] ἐλπίδα ἑτέρωθεν k. v.
[a] ὑμῶν] ἡμῶν F. S. Y. O.
[b] θεραπεύσειν] θεραπεύειν k.
[c] ἵν'] ἣν Y. O.
[d] ὃ ταῦτ' ἐγὼ βλέπων] ἃ βλέπων ἐγὼ ταῦτα k. r. s. v.
[e] ὅποι] ὅπου k. r. s.
[f] ὑμᾶς] ἡμᾶς O. k. v.
[g] ἠτήσε] ἠτήσατο F.
[h] ἐποιήσατο] ἐποιεῖτο k. r. s.
[i] ἄνδρες om. k. s. v.
[k] τούτων] τοῦτον F. k.
[l] ὑπάρχει] ἔχει r. s. v. ἔχειν k.
[m] θείημεν post αὐτὸν ponit v.
[n] ταύτην τὴν ἄδειαν ἐλάμβανε] τὴν ἄδειαν ἐλάμβανε ταύτην k.
[o] καταχρήσεται] καταχρήσαιτο r.

χρήσεται τῇ διὰ ταῦ ψηφίσματος πλεονεξίᾳ, οὐκ ἀξιόπιστον οὔθ' ἡμῖν οὔτ' ἐκείνῳ λογιζόμενος αὐτὸν εὑρίσκω. 663
52 σκέψασθε [p] δὲ ὡς δικαίως ἕκαστα ἐξετάζω, καὶ σφόδρα [q] γε εἰκότως δεδιώς. ἐγὼ σκοπῶ Κότυν, ὅτι κηδεστὴς ἦν [r] Ἰφικράτει τὸν αὐτὸν τρόπον ὅνπερ [s] Χαριδήμῳ Κερσοβλέπτης, καὶ τὰ πεπραγμένα ὁρῶ πολλῷ μείζονα καὶ χάριτος πλείονος ἄξια ὑπὲρ Κότυος Ἰφικράτει ἢ ὑπὲρ
153 Κερσοβλέπτου Χαριδήμῳ. [t] σκεψώμεθα δ' [u] οὑτωσί. ἴστε δήπου τοῦτ', [x] ἄνδρες Ἀθηναῖοι, ὅτι χαλκῆς εἰκόνος οὔσης παρ' ὑμῖν Ἰφικράτει καὶ σιτήσεως ἐν πρυτανείῳ καὶ δωρεῶν καὶ τιμῶν ἄλλων, δι' ἃς [y] εὐδαίμων ἐκεῖνος ἦν, ὅμως ἐτολμησεν ὑπὲρ τῶν Κότυος πραγμάτων ἐναντία τοῖς [z] ὑμετέροις [a] στρατηγοῖς ναυμαχεῖν, καὶ περὶ πλείονος ἐποιήσατο τὴν ἐκείνου σωτηρίαν ἢ τὰς ὑπαρχούσας ἑαυτῷ παρ' [b] ὑμῖν τιμάς· καὶ εἰ μὴ μετριωτέραν [c] ἔσχετε τὴν ὀργὴν ὑμεῖς τῆς ἐκείνου προπετείας, οὐδεὶς ἂν αὐτὸν ἐκώλυ-
154 σεν [d] ἀθλιώτατον ἀνθρώπων ἁπάντων εἶναι. ἀλλ' ὅμως ὁ Κότυς, ὑπ' ἐκείνου [e] σωθεὶς καὶ λαβὼν ἔργῳ τῆς [f] ἐκείνου φιλίας πεῖραν, ἐπειδὴ βεβαίως ἡγήσατο σῶς εἶναι, οὐχ ὅπως ἀποδώσει χάριν ἐσπούδασεν αὐτῷ, καὶ πρὸς ὑμᾶς δι' ἐκείνου τι φιλάνθρωπον [g] ἔπραξεν, ἵνα συγγνώμης ἐπὶ τοῖς πεπραγμένοις τύχῃ, ἀλλὰ [h] πᾶν τοὐναντίον ἠξίου μὲν
155 αὐτὸν συμπολιορκεῖν τὰ λοιπὰ τῶν ὑμετέρων χωρίων, οὐκ

[p] δὲ om. Y. O.
[q] γε om. r. s.
[r] Ἰφικράτει] φιλοκράτει v.
[s] Χαριδήμῳ Κερσοβλέπτης] χαρίδημος κερσοβλέπτης k. v. χαρίδημος κερσωλέπτη s.
[t] σκεψώμεθα] σκέψασθε k. r.
[u] οὑτωσί] οὗτος Y. O.
[x] ἄνδρες] ὦ k. s.
[y] εὐδαίμων ἐκεῖνος] ἐκεῖνος εὐδαίμων k.
[z] ὑμετέροις] ἡμετέροις S. k.
[a] στρατηγοῖς] στρατηγεῖν r.
[b] ὑμῖν] ἡμῖν r. s. ἡμῶν k.
[c] ἔσχετε τὴν ὀργὴν ὑμεῖς] ὑμεῖς ἔσχετε τὴν ὀργὴν k. r. s.
[d] ἀθλιώτατον ἀνθρώπων ἁπάντων] ἀνθρώπων ἁπάντων ἀθλιώτερον k. r. s.
[e] σωθεὶς] τότε σωθεὶς F. v.
[f] ἐκείνου] ἐκείνων Y. O.
[g] ἔπραξεν] πότερον ἔπραξεν r.
[h] πᾶν] ἅπαν Y. O.

ἐθέλοντος δ' ἐκείνου λαβὼν αὐτὸς τήν τε βαρβαρικὴν δύναμιν καὶ τὴν ὑπ' ἐκείνου συνειλεγμένην, καὶ τὸν Χαρίδημον τοῦτον [i]προσμισθωσάμενος, [k]προσέβαλλε τοῖς ὑμετέροις χωρίοις, καὶ εἰς τοῦτο κατέστησε [l]τὸν Ἰφικράτην 664
ἀπορίας ὥστε ἀπελθόντα εἰς [m]ᵛΑντισσαν οἰκεῖν καὶ πάλιν εἰς Δρῦν, ἡγούμενον ὡς μὲν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἐλθεῖν, οὓς ὑστέρους ἐπεποίητο τοῦ Θρᾳκὸς καὶ τοῦ βαρβάρου, παρ' ἐκείνῳ δ' οὐκ ἀσφαλὲς εἶναι μένειν, ὃν οὕτως 5
156 ὀλιγωροῦντα ἑώρα τῆς ἑαυτοῦ σωτηρίας. [n]ἂν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ [o]Κερσοβλέπτης ἐκ τῆς τῷ Χαριδήμῳ νῦν ἀδείας κατασκευαζομένης αὐξηθεὶς ὀλιγωρῇ μὲν ἐκείνου, νεωτερίζῃ δέ τι καὶ κινῇ πρὸς ὑμᾶς, ἐξαρκεῖ τοῦθ' 10
ὑμῖν, ἐὰν Χαρίδημος ἐξαπατηθῇ, τὸν Θρᾷκα ἰσχυρὸν [p]ἐφ' ὑμᾶς [q]αὐτοὺς κατεσκευακέναι; ἐγὼ μὲν οὐκ ἀξιῶ. καὶ γὰρ [r]ἐκεῖνο νομίζω δίκαιον, εἰ μὲν αἰσθάνεται ταῦτα καὶ προορᾷ Χαρίδημος, εἶθ' ὅπως τοιούτων ψηφισμάτων τεύξεται διαπράττεται, ὡς ἐπιβουλεύοντι μὴ ἐπιτρέπειν αὐ- 15
157 τῷ, εἰ δὲ λέληθεν [s]αὐτόν, ὅσῳ μᾶλλον εὔνουν τις αὐτὸν ὑπείληφεν εἶναι, τοσούτῳ μᾶλλον προϊδέσθαι καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ [t]ἐκείνου. ἔστι γὰρ φίλων ἀγαθῶν οὐ τὰ τοιαῦτα χαρίζεσθαι τοῖς εὔνοις, ἐξ ὧν κἀκείνοις καὶ σφίσιν αὐτοῖς ἔσται τις βλάβη, ἀλλ' ὃ μὲν ἂν μέλλῃ συνοίσειν ἀμφοῖν, συμπράττειν, ὃ δ' ἂν αὐτὸς ἄμεινον ἐκείνου προορᾷ, πρὸς τὸ καλῶς ἔχον τίθεσθαι καὶ μὴ τὴν ἥδη χάριν τοῦ μετὰ ταῦτα χρόνου παντὸς περὶ πλείονος

[i] προσμισθωσάμενος] προμισθωσάμενος V.
[k] προσέβαλλε τοῖς ὑμετέροις] τοῖς ὑμετέροις προσέβαλε r. τοῖς ὑμετέροις προσέβαλλε k. s. προσέβαλε τοῖς ὑμετέροις v.
[l] τὸν om. F. v.
[m] ᵛΑντισσαν] ἄντυσσαν r.
[n] ἂν] ἐὰν k. r. s.
[o] Κερσοβλέπτης] ὁ κερσοβλέπτης r. ὁ κερσοκλέπτης s.
[p] ἐφ'] ὑφ' O.
[q] αὐτοὺς om. r.
[r] ἐκεῖνο] ἐκείνῳ k.
[s] αὐτὸν om. k. r. s.
[t] ἐκείνου] ἐκείνων k. r. s.

158 ἡγεῖσθαι. οὐ τοίνυν οὐδ' [u]ἐκεῖνο λογιζόμενος δύναμαι κατιδεῖν, ὡς, εἰ καὶ βάρβαρος καὶ ἄπιστος ὁ Κερσοβλέπτης, ὅμως προνοηθείη γ' ἂν μὴ τὰ τηλικαῦτα ἀδικῆσαι Χαριδήμον. ὅταν γὰρ πάλιν ἐξετάσω [x]ἡλίκων Κότυς Ἰφικράτην [y]ἀποστερήσειν μέλλων οὐδὲν ἐφρόντισε, παντελῶς [z]τούτῳ γε οὐδὲν ἂν ἡγοῦμαι μελῆσαι τῶν [a]ἀπο- 665
159 λουμένων Χαριδήμῳ. ὁ μέν γ' ἐκεῖνον τιμᾶς, [b]σίτησιν, εἰκόνας, πατρίδα, ἢ ζηλωτὸν αὑτὸν ἐποίησεν, ὀλίγου δέω λέγειν πάνθ' ὧν ἄνευ ζῆν οὐκ ἄξιον ἦν Ἰφικράτει, νομίζων ἀποστερήσειν οὐκ [c]ἐπεστράφη· οὗτος δ' ὡς ἀληθῶς τινος ἂν καὶ λόγον σχοίη μὴ [τινος] Χαριδήμον ἀποστερήσῃ; οὐδ' ὁτιοῦν [d]γάρ ἐστι παρ' ὑμῖν αὐτῷ, οὐ παῖδες, οὐκ εἰ-
160 κών, οὐ συγγενεῖς, οὐκ ἄλλο οὐδέν. καὶ μὴν εἰ μήτε φύσει πιστὸς ὁ Κερσοβλέπτης, ἔκ τε τῶν γεγενημένων πρότερον δικαίως ἄπιστος, [e]μηδέν τε τοιοῦτον ὑπάρχει τοῖς πράγμασι δι' ὃ κἂν παρὰ γνώμην καὶ φύσιν προνοηθείη τι τοῦ Χαριδήμου, τίνος [f]ἕνεκα ἁπλῶς καὶ κομιδῇ τετυφωμένως οὕτως, ἃ βούλεται διαπράξασθαι, συλλαβωμεν αὐτῷ, καὶ ταῦτα ἐφ' ἡμῖν ὄντα; ἐγὼ [g]μὲν οὐχ ὁρῶ.
161 Ὅτι τοίνυν ἄνευ τοῦ τοῖς πράγμασι μὴ συμφέρειν τὸ ψήφισμα οὐδὲ πρὸς δόξαν συμφέρει τῇ πόλει τοιοῦτον οὐδὲν ἐψηφισμένῃ φαίνεσθαι, καὶ τοῦτο δεῖ μαθεῖν ὑμᾶς. εἰ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, [h]πόλιν οἰκοῦντι τῷ καὶ νόμοις πολιτευομένῳ τὸ ψήφισμα ἐγέγραπτο, δεινὸν ἂν ἦν ἧττον ἂν ἦν αἰσχρόν· νῦν δὲ γέγραπται Χαριδήμῳ τῷ

[u] ἐκεῖνο] ἐκείνου k.
[x] ἡλίκων] πηλίκων Y. O.
[y] ἀποστερήσειν] ἀποστερεῖν k. r. s.
[z] τούτῳ] τοῦτο Y. O. v.
[a] ἀπολουμένων] ἀπολογουμένων r.
[b] σίτησιν εἰκόνας] εἰκόνας σίτησιν k. r. s.
[c] ἐπεστράφη] ἀπεστράφη r. s.
[d] γάρ ἐστι] ἐστὶ γὰρ F. S. Y. O. v.
[e] μηδέν τε] μηδὲν δὲ k.
[f] ἕνεκα] εἵνεκα F. S.
[g] μὲν] μὲν γὰρ F. k. r. s. v.
[h] πόλιν] πόλιν om. O.

πόλιν μὲν οὐδ' ἡντινοῦν οἰκοῦντι, [i]Θρᾳκὶ δὲ ἀνθρώπῳ βασιλεῖ στρατηγοῦντι καὶ διὰ τῆς ἐκείνου βασιλείας πολ-
162 λοὺς ἀδικοῦντι. ἴστε γὰρ δήπου τοῦθ', ὅτι πάντες οἱ [k]ξεναγοῦντες οὗτοι πόλεις καταλαμβάνοντες Ἑλλησίδας ἄρχειν ζητοῦσι, καὶ πάντων, ὅσοι περ νόμοις οἰκεῖν βούλονται τὴν αὑτῶν ὄντες ἐλεύθεροι, κοινοὶ περιέρχονται κατὰ πᾶσαν χώραν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐχθροί. ἆρ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἢ πρέπον [l]ὑμῖν τοῦ μὲν ἕνεκα τῆς 666
ἑαυτοῦ πλεονεξίας [m]ἐπιβουλεύσοντος οἷς ἂν [n]τύχῃ τοιαύτην φυλακὴν ἐψηφισμένους φαίνεσθαι, τοῖς δ' ὑπὲρ τῆς ἑαυτῶν ἐλευθερίας ἀμυνομένοις εἴργεσθαι τῆς ὑμετέρας
163 συμμαχίας [o]προειρηκέναι; ἐγὼ μὲν οὐχ ὑπολαμβάνω τοῦτο οὔτε καλῶς ἔχειν οὔθ' ὑμῶν ἀξίως. πῶς γὰρ οὐκ αἰσχρὸν Λακεδαιμονίοις μὲν ἐγκαλεῖν [p]ὅτι τοὺς τὴν Ἀσίαν οἰκοῦντας [q]Ἕλληνας ἔγραψαν ἐξεῖναι ἁρπάσαι πᾶν ὅ τι [q]ἂν [r]θέλῃ βασιλεύς, αὐτοὺς δ' [s]ἐκδοῦναι καὶ τοὺς τὴν
Εὐρώπην οἰκοῦντας Κερσοβλέπτῃ καὶ πάντας, ὅσων περ ἂν οἴηται κρειττων [t]Χαρίδημος ἔσεσθαι; οὐ γὰρ ἄλλο τι [u]ποιεῖ τὸ ψήφισμα [x]τουτί, [y]ὅτε τῷ [z]μὲν ἐκείνου στρατηγῷ οὐ [a]διείρηται τί πρακτέον ἢ μή, πᾶσι δ', ἄν τις ἀμύνηται, τοσοῦτος ἐπήρτηται φόβος.
164 Καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γεγονός τι πρᾶγμα φράσαι πρὸς ὑμᾶς βούλομαι, δι' οὗ μᾶλλον [b]ἔθ' ὑμῖν

[i] Θρᾳκὶ—ἀδικοῦντι om. k.
[k] ξεναγοῦντες] ξεναγωγοῦντες Y. O.
[l] ὑμῖν] ἡμῖν k. r.
[m] ἐπιβουλεύσοντος] ἐπιβουλεύσαντος k. r. s.
[n] τύχῃ] τύχοι v.
[o] προειρηκέναι] προσειρηκέναι S.
[p] ὅτι τοὺς] ὅτι τοὺς μὲν F.Y.O.v.
[q] ἂν] οὖν k. r. s.
[r] θέλῃ] ἐθέλῃ v. βούλεται k.r.s.
[s] ἐκδοῦναι] ἐκδεδωκέναι k. r. s.
[t] Χαρίδημος ἔσεσθαι] ἔσεσθαι χαρίδημος k. r. s.
[u] ποιεῖ τὸ ψήφισμα] τὸ ψήφισμα ποιεῖ k. r. s.
[x] τουτί] ἢ τουτὶ v. ἢ τοῦτο k.r.s.
[y] ὅτε] ὅτι v. οὅγε Y. O. om. k. r. s.
[z] μὲν] μὲν γὰρ k. r. s.
[a] διείρηται] διήρηται k. r. s. v.
[b] ἔθ'—τουτί om. v.

γενήσεται δῆλον ὡς σφόδρα δεῖ λῦσαι τὸ ψήφισμα
τοῦτο. ὑμεῖς ἐποιήσασθε ἔν τισι καιροῖς [c]καὶ χρόνοις Ἀ-
ριοβαρζάνην πολίτην καὶ δι' ἐκεῖνον Φιλίσκον, ὥσπερ νῦν
165 διὰ Κερσοβλέπτην Χαρίδημον. ὧν δ' ὅμοιος ἐκεῖνος τούτῳ
τῇ προαιρέσει τοῦ βίου, διὰ τῆς Ἀριοβαρζάνου δυνάμεως
πόλεις κατελάμβανεν Ἑλληνίδας, εἰς ἃς εἰσιὼν πολλὰ
καὶ [d]δεινὰ ἐποίει, παῖδας ἐλευθέρους [ἀδίκων] καὶ γυ-
ναῖκας ὑβρίζων, καὶ πάντα ποιῶν ὅσα [e]ἂν ἄνθρωπος
[f]ποιήσειεν ἄνευ νόμων καὶ τῶν ἐν [g]πολιτείᾳ καλῶν τε-
166 θραμμένος, εἰς ἐξουσίαν ἐλθών. ἐν δὴ Λαμψάκῳ τινὲς
ἄνθρωποι γίγνονται δύο· Θερσαγόρας ὄνομα [h]αὐτῷ, θα-
τέρῳ δ' Ἐξήκεστος· εἰ παραπλήσια τοῖς παρ' [i]ἡμῖν
γνόντες περὶ [k]τῶν τυράννων [l]ἀποκτιννύασι [m]τὸν Φιλίσκον 667
δικαίως, τὴν αὐτῶν πατρίδα οἰόμενοι δεῖν ἐλευθεροῦν. εἰ
δὴ τῶν τότε ὑπὲρ Φιλίσκου λεγόντων, ὅτε ἐμισθοδότει μὲν
τοῖς ἐν Περινθῳ ξένοις, εἶχε δ' ὅλον τὸν Ἑλλήσποντον,
μέγιστος δ' ἦν τῶν ὑπάρχων, ἔγραψέ τις ὥσπερ [n]οὗτος 5
νυνί, ἐάν τις ἀποκτείνῃ Φιλίσκον, ἀγώγιμον αὐτὸν ἐκ τῶν
συμμάχων εἶναι, πρὸς Διὸς θεάσασθε εἰς ὅσην [o]αἰσχύνην
167 ἂν ἡ πόλις [p]ἡμῶν ἐληλύθει. ἦκε μὲν γὰρ [q]ὁ Θερσαγόρας
καὶ ὁ Ἐξήκεστος εἰς Λέσβον, καὶ ᾤκουν ἐκεῖ· εἰ δ' 10
ἐφήπτετό τις τῶν [r]Φιλίσκου [s]φίλων ἢ παίδων, ἐξεδίδοτ'
ἂν ὑπὸ τοῦ [t]ὑμετέρου ψηφίσματος. πῶς οὖν οὐκ αἰσχρὸν

[c] καὶ χρόνοις om. k. r. s.
[d] δεινὰ] δεινὰ ἔργα k. r. s.
[e] ἂν om. Y. O. r. s. et pr. k.
[f] ποιήσειεν] ποιήσει pr. O.
[g] πολιτείᾳ] τῇ πολιτείᾳ v.
[h] αὐτῷ θατέρῳ δ'] αὐτῷ θατέρῳ τῷ δ' r. αὐτῶν θατέρῳ τῷ δ' k. s.
[i] ἡμῖν] ἐμοὶ v.
[k] τῶν τυράννων] τὸν τύραννον F. S. r. s. v.
[l] ἀποκτιννύασι] ἀποκτιννύουσι F. v.
[m] τὸν om. k. r. s.
[n] οὗτος νυνί] νῦν οὗτος k. r. s.
[o] αἰσχύνην ἂν] ἂν αἰσχύνην k. r. s.
[p] ἡμῶν] ὑμῶν F. S. Y. O.
[q] ὁ om. r.
[r] Φιλίσκου] τοῦ φιλίσκου F. v.
[s] φίλων ἢ παίδων] παίδων ἢ φίλων k. παίδων F.
[t] ὑμετέρου] ἡμετέρου F. S. Y. k. r. s. v.

καὶ δεινὸν ἂν ἦτε πεποιηκότες, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τοὺς μὲν παρ' ὑμῖν τοιοῦτό [u]τι πράξαντας χαλκοῦς ἱστάντες καὶ ταῖς μεγίσταις [x]δωρεαῖς τιμῶντες [y]ἐφαί-
νεσθε, τοὺς δ' ἑτέρωθί που τὴν αὐτὴν τούτοις διάνοιαν ὑπὲρ τῆς αὐτῶν πατρίδος ἔχοντας ἐκδότους εἶναι [z]κατ-
168 εψηφισμένοι; τοῦτο τοίνυν [a]ἐπ' ἐκείνου μέν, εὖ ποιοῦν, [b]οὐ συνέβη φενακισθεῖσιν ὑμῖν αἰσχύνην ὄφλειν· ἐπὶ τούτου δέ, ἐὰν ἐμοὶ [c]πείθησθε, [d]φυλάξεσθε. μὴ γὰρ ὡρισ-
μένου μηδενός, ἀλλ' ἁπλῶς "ἄν τις ἀποκτείνῃ Χαρίδη-
" μον" γεγραμμένου, τάχ' ἄν, εἰ τύχοι, καὶ τοιοῦτό τι συμβαίη.

169 Βούλομαι τοίνυν ἤδη καὶ τὰ πεπραγμένα ἐξετάσαι τῷ Χαριδήμῳ διὰ βραχέων, καὶ δεῖξαι τὴν ὑπερβολὴν τῆς ἀναιδείας τῶν ἐπαινούντων αὐτόν. ἐν δ' ὑμῖν ἐκεῖνο ὑπ-
ισχνοῦμαι· καί μου μηδεὶς ἀχθεσθῇ τῇ ὑποσχέσει· οὐ μόνον [e]γὰρ [f]ὑμῖν ἐπιδείξω τῆς φυλακῆς οὐκ [g]ἄξιον ἣν γέγραφεν οὗτος, ἀλλὰ καὶ δίκην [h]δόντ' ἂν δικαίως τὴν μεγίστην, εἴπερ οἱ κακόνοι καὶ φενακίζοντες ὑμᾶς καὶ διὰ παντὸς ἐναντία πράττοντες κολάζοιντ' ἂν δικαίως. 668
170 ἴσως δέ τισι λογιζομένοις ὑμῶν ὅτι πρῶτον μὲν πολίτης γέγονεν ἄνθρωπος, εἶτα πάλιν χρυσοῖς στεφάνοις ὡς εὐ-
εργέτης [i]ἐστεφάνωται, θαυμάζειν ἐπελήλυθεν εἰ τὰ τηλι-
καῦτα οὕτως ἐξηπάτησθε ῥᾳδίως. εὖ τοίνυν ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐξηπάτησθε. καὶ δι' ἃ γε εἰκότως [k]τοῦτο

[u] τι om. Y. O.
[x] δωρεαῖς] δωρεῶν r.
[y] ἐφαίνεσθε] φαίνεσθε S. Y. φαίνεσθαι O.
[z] κατεψηφισμένοι] κατεψηφίζεσθε s. v. καταψηφιζεσθαι r.
[a] ἐπ'] ὑπ' k r. s.
[b] οὐ om. O.
[c] πείθησθε] πεισθῆτε k. r. s.
[d] φυλάξεσθε] φυλαξέσθε F. φυλάξασθε v.
[e] γὰρ om. F. S. Y. et pr. O.
[f] ὑμῖν] ἡμῖν k. ἐμοὶ O.
[g] ἄξιον] ἄξιον αὐτὸν F. v.
[h] δόντ'] διδόντ' k. r. s.
[i] ἐστεφάνωται] ἐστεφάνωτο k. r. s.
[k] τοῦτο] ταῦτα k. r. s.

πεπόσθατε, ἐγὼ [l] πρὸς ὑμᾶς φράσω. ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ γιγνώσκοντες ὀρθῶς ὑμεῖς οὐ διὰ τέλους
171 [m] αὐτοῖς χρῆσθε. οἷον τί λέγω; εἴ τις [n] ὑμᾶς ἔροιτο τί [o] πονηρότατον νομίζετε τῶν ἐν τῇ πόλει πάντων [p] ἐθνῶν, οὔτε [q] τοὺς [r] γεωργοὺς οὔτε τοὺς ἐμπόρους οὔτε τοὺς ἐκ τῶν [s] ἀργυρείων οὔτε τῶν τοιούτων [t] οὐδέν ἂν εἴποιτε, ἀλλ' [u] εἰ τοὺς ἐπὶ μισθῷ λέγειν καὶ [x] γράφειν εἰωθότας εἴποι τις, εὖ οἶδ' ὅτι συμφήσαιτ' ἂν ἅπαντες. μέχρι μὲν δὴ τούτου καλῶς ἐγνώκατε, [y] ἔπειτα οὐκέτ' ὀρθῶς τὸ λοιπόν.
172 οὓς γὰρ [z] αὐτοὶ πονηροτάτους νομίζετε πάντων, τούτοις περὶ τοῦ πεῖσαι τιν' ἕκαστον χρὴ νομίζειν πεπιστεύκατε· οἱ δ' ὃν [a] ἂν αὐτοῖς λυσιτελῇ, καὶ [b] χρηστὸν καὶ πονηρὸν εἶναί φασιν, οὐχ ὃν ἂν ᾖ δίκαιον καὶ ἀληθές. [c] ὅπερ πεποιήκασι τὸν Χαρίδημον τοῦτον οἱ ῥήτορες πάντα τὸν χρόνον, ὡς [d] καὶ ὑμεῖς ὁμολογήσετε, ἐπειδὰν ἀκούσητέ μου τὰ πεπραγμένα αὐτῷ.
173 Ὅσα μὲν δὴ στρατιώτης ὢν ἐν [e] σφενδονήτου καὶ ψιλοῦ μέρει τὸ ἀπ' ἀρχῆς ἐναντία ἐστράτευται τῇ πόλει, οὐ τίθημι ἐν [f] ἀδικήματος μέρει, οὐδ' ὅτι [g] ληστικόν ποτε πλοῖον ἔχων ἐλήζετο τοὺς ὑμετέρους συμμάχους, ἀλλ' ἐῶ ταῦτα. διὰ τί; ὅτι ὦ ἄνδρες Ἀθηναῖοι αἱ ἀναγκαῖαι χρεῖαι τοὺς [h] τοῦ τί πρακτέον ἢ μὴ λογισμοὺς ἀναιροῦσιν 669

[l] πρὸς ὑμᾶς φράσω] φράσω πρὸς ὑμᾶς k. r. s.
[m] αὐτοῖς χρῆσθε] χρῆσθε αὐτοῖς v.
[n] ὑμᾶς ἔροιτο] ἔροιτο ὑμᾶς k. r. s.
[o] πονηρότατον] πονηρὸν Y. O.
[p] ἐθνῶν] ἐθνῶν correctus F.
[q] primum τοὺς om. r.
[r] γεωργοὺς] γεωργοῦντας k. r. s.
[s] ἀργυρείων] ἀργυρίων O. k. r. s.
[t] οὐδὲν om. r.
[u] εἰ] ἢ r.
[x] γράφειν] πράττειν r.
[y] ἔπειτα] ἔπειτα δὲ k. r. s.
[z] αὐτοὶ] ὑμεῖς αὐτοὶ, idque supra versum S. αὖ Y. O.
[a] ἂν om. F. v.
[b] χρηστὸν καὶ πονηρὸν] πονηρὸν καὶ χρηστὸν k. r. s.
[c] ὅπερ] ὅπερ καὶ F.
[d] καὶ post ὡς om. O.
[e] σφενδονήτου] σφενδονητοῦ Y.
[f] ἀδικήματος μέρει] μέρει ἀδικήματος Y. O.
[g] ληστικὸν S. Y. O. ceteri λῃστρικόν.
[h] τοῦ ante τί om. pr. v.

ἅπαντας, ὥστ[i] οὐ πάνυ ταῦτα ἀκριβολογεῖσθαι δεῖ τὸν
174 δικαίως ἐξετάζοντα. ἀλλ' ὅθεν ἀρξάμενος ξεναγῶν ἤδη
καί τινων ἀρχῶν στρατιωτῶν κακῶς ὑμᾶς ἐποίει, ταῦτ'
ἀκούσατέ μου. οὗτος ἓν μὲν ἁπάντων πρῶτον, μισθωθεὶς
ὑπὸ Ἰφικράτους καὶ [k]πλεῖον ἢ τρία ἔτη μισθοφορήσας
παρ' ἐκείνῳ, ἐπειδὴ τὸν μὲν Ἰφικράτην ἀποστράτηγον
ἐποιήσατε, Τιμόθεον δ' ἐπ' Ἀμφίπολιν καὶ Χερρόνησον
175 ἐξεπέμψατε στρατηγόν, πρῶτον μὲν τοὺς Ἀμφιπολιτῶν
ὁμήρους, οὓς παρ' [l]Ἀρπάλου λαβὼν Ἰφικράτης ἔδωκε
φυλάττειν αὐτῷ, ψηφισαμένων ὑμῶν ὡς ὑμᾶς κομίσαι
παρέδωκεν Ἀμφιπολίταις· καὶ τοῦ μὴ λαβεῖν Ἀμφί-
πολιν τοῦτ' [m]ἐμποδὼν κατέστη. δεύτερον δέ, μισθουμένου
Τιμοθέου πάλιν αὐτὸν καὶ τὸ στράτευμα, τούτῳ μὲν οὐ
μισθοῖ, πρὸς δὲ Κότυν πλέων ᾤχετο ἔχων τὰς ὑμετέρας
τριακοντόρους, ὃν ἀκριβῶς ἤδει [n]τῶν ὄντων [o]ἀνθρώπων
176 ἐχθρότατα ὑμῖν διακείμενον. καὶ μετὰ [p]ταῦτα, ἐπειδὴ
τὸν πρὸς Ἀμφίπολιν πόλεμον πρότερον πολεμεῖν [q]εἵλετο
Τιμόθεος τοῦ πρὸς Χερρόνησον, καὶ οὐδὲν εἶχε ποιεῖν ὑμᾶς
ἐκεῖ κακόν, μισθοῖ πάλιν αὐτὸν Ὀλυνθίοις τοῖς ὑμετέροις
ἐχθροῖς καὶ τοῖς ἔχουσιν Ἀμφίπολιν κατ' ἐκεῖνον τὸν
χρόνον. καὶ πλέων [r]ἐκεῖσε, ἐκ Καρδίας ἀναχθείς, ἵνα
τἀναντία τῇ πόλει πολεμῇ, ὑπὸ τῶν ἡμετέρων [s]τριήρων
177 ἑάλω. διὰ τὸν παρόντα δὲ καιρὸν [t]καὶ τὸ [u]δεῖν ξένων
ἐπὶ τὸν πόλεμον τὸν ἐπ' Ἀμφίπολιν, ἀντὶ τοῦ δίκην δοῦ-
ναι [x]ὅτι οὐκ [y]ἀποδεδώκει τοὺς ὁμήρους καὶ διότι πρὸς

[i] οὐ] οὐ μὴ S.
[k] πλεῖον] πλέον r. πλέων s.
[l] Ἀρπάλου] ἀλπάλου k.
[m] ἐμποδὼν] ἐμπόδιον k. r. s.
[n] τῶν ὄντων om. k.
[o] ἀνθρώπων] πάντων ἀνθρώπων k. r. s. ἁπάντων ἀνθρώπων v.
[p] ταῦτα] ταῦτά γε F. v.
[q] εἵλετο] προείλετο F. k. r. s. v.
[r] ἐκεῖσε] ἐκεῖθεν k. r. s.
[s] τριήρων] τριηρῶν S.
[t] καὶ τὸ om. r.
[u] δεῖν] δεῖσθαι k. r. s.
[x] ὅτι] διότι F. O. k. r. s.
[y] ἀποδεδώκει] ἀπέδωκε k. r. s.

Κότυν ἐχθρὸν ὄντ' [z] ὑμῖν ηὐτομόλησεν ἔχων τὰς τριακοντέρους, πίστεις δοὺς καὶ λαβὼν ἐστράτευσε μεθ' ὑμῶν. 670
[a] ὧν δ' ἐκεῖνον δίκαιον ἦν χάριν [b] ὑμῖν ἔχειν οὐκ ἀπολω-
178 λότα, τοῦτο παθόντ' ἂν δικαίως, [c] ἀντὶ τούτων ὡς ὀφείλουσα ἡ πόλις αὐτῷ στεφάνους καὶ πολιτείαν καὶ [d] ἃ πάντες ἐπίστασθε δέδωκε. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, τό τε ψήφισμα ἀνάγνωθί μοι τὸ περὶ τῶν ὁμήρων, καὶ τὴν Ἰφικράτους ἐπιστολὴν καὶ τὴν Τιμοθέου, καὶ μετὰ ταῦτα τὴν μαρτυρίαν [e] ταυτηνί· ὄψεσθε γὰρ οὐ [f] λόγους οὐδ' [g] αἰτίας, ἀλλ' ἀλήθειαν [h] οὖσαν ὧν λέγω. λέγε τὴν [i] ἐπι- 10
στολήν.

ΨΗΦΙΣΜΑ. [k] ΕΠΙΣΤΟΛΑΙ. ΜΑΡΤΥΡΙΑ.

179 Ὅτι μὲν τοίνυν καὶ τὸ πρῶτον, οὗ [l] πολεμεῖν ὑμῖν ὤφετο, ἐκεῖσε ἐμίσθωσεν αὐτὸν πολλαχόσε ἄλλοσε μισθῶσαι παρόν, καὶ μετὰ ταῦτα, ὡς οὐδὲν ἐκεῖ κακὸν εἶχε 15
ποιεῖν ὑμᾶς, ἔπλει δεῦρο πάλιν οὗ τἀναντία ἔμελλε [m] πράξειν τῇ πόλει, καὶ τοῦ μὴ λαβεῖν Ἀμφίπολιν [n] πάντων οὗτος αἰτιώτατός ἐστιν, ἀκηκόατ' ἐκ τῆς ἐπιστολῆς [o] καὶ τοῦ ψηφίσματος καὶ τῆς μαρτυρίας. καὶ τὰ μὲν πρῶτα τοιαῦτ' ἐστὶ τῶν ἔργων [p] τῶν Χαρισήμου, 20
180 μετὰ [q] ταῦτα δὲ ἄλλα θεάσασθε. χρόνου γὰρ [r] διελθόντος καὶ τοῦ πολέμου πρὸς Κότυν ὄντος ἤδη, πέμπει πρὸς

[z] ὑμῖν] ἡμῖν F.
[a] ὧν δ' ἐκεῖνον δίκαιον ἦν] ὧν οὖν ἦν δίκαιον ἐκεῖνον γρ. S.
[b] ὑμῖν om. pr. Y.
[c] ἀντὶ τούτων om. k. r. s.
[d] ἃ πάντες] ἅπαντ' ἴσα k. r. s.
[e] ταυτηνί] ταύτην O. k.
[f] λόγους] λόγων s.
[g] αἰτίας] αἰτίαν S. Y. O.
[h] οὖσαν ὧν om. O.
[i] ἐπιστολήν] μαρτυρίαν S. Y. O.
[k] ΕΠΙΣΤΟΛΑΙ Reiskius: ΕΠΙΣΤΟΛΗ libri. r. s. quidem ante ΨΗΦΙΣΜΑ.
[l] πολεμεῖν] πολεμῆσαι k. r. s.
[m] πράξειν] πρᾶξαι k. r. s.
[n] πάντων om. k. r. s.
[o] καὶ τοῦ ψηφίσματος om. S. Y. O.
[p] τῶν Χαρισήμου] τοῦ χαρισήμου r.
[q] ταῦτα δὲ] δὲ ταῦτα k. r. s.
[r] διελθόντος] διελθόντος βραχέος F. O. βραχέος διελθόντος k. r. s. διελιλυθότος βραχέος v.

ὑμᾶς ἐπιστολήν (μᾶλλον δ' [s] οὐχὶ πρὸς ὑμᾶς ἀλλὰ πρὸς Κηφισόδοτον· οὕτω σφόδρα ὑπ' αὐτοῦ [t] γε οὐδ' ἂν ἐξαπατηθῆναι τὴν πόλιν ἡγεῖτο, συνειδὼς ἃ πεποίηκεν) ἐν ᾗ Χερρόνησον ὑπέσχετο τῇ πόλει κομιεῖσθαι, πάντα τούτοις τἀναντία [u] ἐγνωκὼς ποιεῖν. δεῖ δ' ὑμᾶς τὸ πρᾶγμα, οἷον ἦν, τὸ περὶ τὴν ἐπιστολὴν ἀκοῦσαι (καὶ γάρ ἐστι βραχύ) καὶ θεωρῆσαι τὸν τρόπον τἀνθρώπου, ὡς ὑμῖν ἀπ' 671
181 ἀρχῆς κέχρηται. ἐκεῖνος ὡς ἀπόμισθος γίγνεται παρὰ τοῦ Τιμοθέου τότε, ἀπ' Ἀμφιπόλεως ἀναχωρῶν, διαβὰς εἰς τὴν Ἀσίαν, διὰ τὴν σύλληψιν τὴν Ἀρταβάζῳ συμβᾶσαν τότε ὑπ' Αὐτοφραδάτου [x] μισθοῖ [y] τὸ στράτευμα καὶ ἑαυτὸν τοῖς Ἀρταβάζου κηδεσταῖς. λαβὼν δὲ πίστεις καὶ δούς, ὀλιγωρήσας τῶν ὅρκων καὶ παραβὰς αὐτούς, ἀφυλάκτων ὄντων ὡς ἂν πρὸς φίλον τῶν ἐν τῇ χώρᾳ, καταλαμβάνει Σκῆψιν καὶ [z] Κέβρηνα καὶ Ἴλιον
182 [a] αὐτῶν. ἐγκρατὴς δὲ [b] γενόμενος τούτων τῶν χωρίων πρᾶγμ' ἔπαθε τοιοῦτον, οἷον οὐχ [c] ὅτι στρατηγὸς [d] ἂν ἠγνόησέ τις εἶναι φάσκων, ἀλλ' οὐδ' ὁ τυχὼν ἄνθρωπος. οὐδ' ὁτιοῦν γὰρ [e] χωρίον ἔχων [f] ἐπὶ θαλάττῃ, οὐδ' ὅθεν ἂν σιτοπομπίας [g] εὐπόρησε τοῖς στρατιώταις, οὐδ' αὖ σῖτον ἔχων ἐν τοῖς χωρίοις, ὑπέμεινεν ἐν τοῖς τείχεσι καὶ οὐ διαρπάσας ᾤχετο, ἐπειδή γε ἀδικεῖν ἔγνω. ὡς δὲ συλλέξας δύναμιν [h] παρῆν ὁ Ἀρτάβαζος, ἀφειμένος παρὰ τοῦ Αὐτοφραδάτου, τῷ μὲν ὑπῆρχεν ἐπισιτισμὸς ἐκ τῆς

[s] οὐχί] οὐ k. r. s.
[t] γε om. k. r. s.
[u] ἐγνωκὼς] διεγνωκὼς F. s. v.
[x] μισθοῖ] μισθοῦ S. μισθοῦται Y. O.
[y] τὸ] τό τε k. r. s.
[z] Κέβρηνα] κεβρῆνα k.r. κεκρῆνα s.
[a] αὐτῶν] αὐτὸν k.
[b] γενόμενος τούτων] τούτων γενόμενος k. r. s.
[c] ὅτι] ὁ k.
[d] ἂν om. r.
[e] χωρίον ἔχων] ἔχων χωρίον k. r. s.
[f] ἐπὶ] ἐπὶ τῇ k. r. ἐν τῇ s.
[g] εὐπόρησεν F. S. εὐπορήσει Y. O. εὐπορήσειε k. r. s. εὐπόρησε v.
[h] παρῆν om. r.

[i] ἄνωθεν Φρυγίας καὶ Λυδίας καὶ Παφλαγονίας οἰκείας 20
οὔσης, τῷ [k] δ' οὐδ' ὁτιοῦν ἄλλο πλὴν πολιορκία περιει-
183 στήκει. αἰσθόμενος δ' οὖ ἦν κακοῦ καὶ λογισμὸν λαβὼν
ὅτι ληφθήσεται, [l] κἂν μηδενὶ τῶν ἄλλων, τῷ γε λιμῷ,
εἶδεν, εἴτε δή τινος εἰπόντος εἴτ' αὐτὸς συνείς, ὅτι σωτηρία
μόνη γένοιτ' ἂν αὐτῷ, ἥπερ ἅπαντας ἀνθρώπους σῴζει. 25
ἔστι δ' αὕτη τίς; ἡ ὑμετέρα, ὦ ἄνδρες Ἀθηναῖοι, εἴτε χρὴ
184 [m] φιλανθρωπίαν [n] λέγειν εἴθ' ὅ τι δήποτε. γνοὺς δὲ τοῦτο
πέμπει τὴν ἐπιστολὴν ὑμῖν, [o] ἧς ἄξιόν [p] ἐστιν ἀκοῦσαι,
βουλόμενος διὰ τῆς ὑποσχέσεως τοῦ κομιεῖσθαι Χερρόνη-
σον ὑμῖν, καὶ διὰ τοῦ [q] τὸν Κηφισόδοτον δοκεῖν ἐχθρὸν 672 2
ὄντα τοῦ Κότυος καὶ τοῦ Ἰφικράτους [r] ταῦτα [s] βούλεσθαι,
[t] τριήρων εὐπορήσας παρ' [u] ὑμῶν ἀσφαλῶς ἐκ τῆς Ἀσίας
ἀποδρᾶναι. τί δὴ συμβαίνει [x] παραυτά, ὅθεν ἐξηλέγχθη 5
185 [y] φανερῶς τὸ πρᾶγμ' ἐπ' αὐτοφώρῳ; ὁ Μέμνων καὶ ὁ
Μέντωρ, οἱ κηδεσταὶ τοῦ Ἀρταβάζου, ἄνθρωποι νέοι [z] καὶ
κεχρημένοι ἀπροσδοκήτῳ εὐτυχίᾳ τῇ τοῦ Ἀρταβάζου κη-
δείᾳ, βουλόμενοι τῆς χώρας ἄρχειν εὐθὺς ἐν εἰρήνῃ καὶ τι-
μᾶσθαι καὶ μὴ πολεμεῖν μηδὲ κινδυνεύειν, πείθουσι [a] τὸν 10
Ἀρταβάζην τοῦ μὲν τιμωρεῖσθαι τὸν Χαρίδημον [b] ἀφεῖ-
σθαι, ἀποστεῖλαι δ' ὑπόσπονδον, διδάσκοντες ὡς ὑμεῖς,
κἂν ἐκεῖνος μὴ θέλῃ, διαβιβᾶτε καὶ οὐ δυνήσεται κωλύ-
186 ειν. ὡς δὲ τυγχάνει ταύτης τῆς ἀλόγου καὶ ἀπροσδοκή-
του σωτηρίας ὁ Χαρίδημος, διαβὰς εἰς τὴν Χερρόνησον ἐφ' 15

[i] ἄνωθεν] ἄνω k. r. s.
[k] δ' om. Y. et pr. S.
[l] κἂν] καὶ k. r. s.
[m] φιλανθρωπίαν] φιλανθρωπία S.
[n] λέγειν] λέγειν αὐτὴν Y. O.
[o] ἧς] οἷς r.
[p] ἐστιν om. s.
[q] τὸν om. v.
[r] ταῦτα] ταυτὰ F. v.
[s] βούλεσθαι] βουλεύεσθαι s.
[t] τριήρων] τριηρῶν F. S. v.
[u] ὑμῶν] ἡμῶν k. r. s.
[x] παραυτά] παρὰ ταῦτα F. v.
[y] φανερῶς om. F. k. r. s. v.
[z] καὶ post νέοι om. s.
[a] τὸν utrumque om. v.
[b] ἀφεῖσθαι] ἀφεῖσθαι καὶ μὴ πο-
λεμεῖν S. Y. O.

αὐτοῦ διὰ τὰς σπονδάς, τοσούτου ἐδέησεν ἐπελθεῖν τῷ Κότυϊ, γεγραφὼς ὅτι οὐχ ὑπομενεῖ Κότυς αὐτὸν ἐπιόντα, ἢ τὴν Χερρόνησον ὅπως κομιεῖσθε ὑμεῖς συμπράξαι, ὥστε πάλιν μισθώσας αὐτὸν τῷ Κότυϊ τὰ ὑπόλοιπα τῶν ὑμε-
187 τέρων χωρίων [c] Κριθωτὴν καὶ [d] Ἐλεοῦντα ἐπολιόρκει. καὶ ὅτι ταῦτα, καὶ ἡνίκα ἔτ' ἦν ἐν τῇ Ἀσίᾳ καὶ τὴν ἐπιστολὴν [e] ἔπεμπε πρὸς ὑμᾶς, [f] ἐγνωκὼς ποιεῖν ἐφενάκιζεν ὑμᾶς, ἀπὸ τῆς διαβάσεως [g] ἣν ἐποιήσατο γνώσεσθε· ἐκ γὰρ Ἀβύδου τῆς τὸν ἅπαντα χρόνον ὑμῖν ἐχθρᾶς, καὶ ὅθεν ἦσαν οἱ Σηστὸν καταλαβόντες, εἰς Σηστὸν διέβαινεν,
188 [h] ὃν εἶχε Κότυς. καίτοι μὴ νομίζετε μήτ' ἂν τοὺς Ἀβυδηνοὺς αὐτὸν [i] ὑποδέχεσθαι μήτ' ἂν τοὺς ἐν τῷ Σηστῷ τῆς ἐπιστολῆς ὑμῖν ἐκείνης [k] πεπεμμένης, εἰ μὴ συνήδε- 673
σαν [l] φενακίζοντι αὐτῷ τότε καὶ συνεξηπάτων αὐτοί, βουλόμενοι τοῦ μὲν διαβῆναι τὸ στράτευμα ὑμᾶς [m] παρέχειν τὴν ἀσφάλειαν, διαβάντος δ', ὅπερ συνέβη [n] δόντος Ἀρταβάζου τὴν ἄδειαν, αὐτοῖς ὑπάρξαι τὴν χρείαν. ὅτι τοίνυν [o] οὕτω ταῦτ' ἔχει, λέγε τὰς ἐπιστολάς, ἥν τ' ἔπεμψεν ἐκεῖνος, καὶ τὰς παρὰ τῶν ἀρχόντων τῶν ἐκ Χερρονήσου· γνώσεσθε γὰρ ἐκ τούτων ὅτι ταῦθ' οὕτως
189 ἔχει. [p] λέγε.

ΕΠΙΣΤΟΛΑΙ.

Ἐνθυμεῖσθε ὅθεν [q] οἱ διέβη, ἐξ Ἀβύδου εἰς Σηστόν.

[c] Κριθωτὴν] κριθώτην k. r. s.
[d] Ἐλεοῦντα] ἐλαιοῦντα Y.
[e] ἔπεμπε] ἔπεμψε r.
[f] ἐγνωκὼς] τἀναντία ἐγνωκὼς F. k. r. s. v.
[g] ἣν ἐποιήσατο γνώσεσθε] vulg. γνώσεσθε ἣν ἐποιήσατο.
[h] ὃν] ὧν v. ἣν k. r. s.
[i] ὑποδ. μήτ' ἂν] ὑποδ. μήτ' αὖ k. r. s. v.
[k] πεπεμμένης] πεμφθείσης k. r. s. ἀπεσταλμένης γρ. F.
[l] φενακίζοντι αὐτῷ] αὐτῷ φενακίζοντι k. r. s.
[m] παρέχειν] παρασχεῖν k. r. s.
[n] δόντος] διδόντος Y. O. et correctus v.
[o] οὕτω ταῦτ'] ταῦθ' οὕτως k. r. s.
[p] λέγε om. S. Y. O. k.
[q] οἱ om. S. Y. O. v.

ἆρ' οὖν οἴεσθ' ἂν ὑποδέξασθαι τοὺς Ἀβυδηνοὺς [r] αὐτὸν ἢ τοὺς Σηστίους, εἰ μὴ συνεξηπάτων, ὅτε [s] τὴν πρὸς ὑμᾶς [t] ἔπεμπεν ἐπιστολήν;

Λέγε [u] αὐτοῖς [x] τὴν ἐπιστολὴν αὐτήν. καὶ θεωρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς ὑπερβολὰς ὧν αὐτὸς περὶ αὑτοῦ πρὸς ὑμᾶς ἔγραψεν ἐπαίνων, [καὶ] τὰ μὲν ὡς πεποίηκε λέγων, τὰ δ' ὑπισχνούμενος ποιήσειν. λέγε.

ΕΠΙΣΤΟΛΗ.

190 Καλά γε, [y] οὐ γάρ; ὦ ἄνδρες Ἀθηναῖοι, τὰ γεγραμμένα καὶ χάριτος πολλῆς ἀξια, εἴγ' ἦν ἀληθῆ. ὧν δ', ὅτε [z] μὲν τῶν σπονδῶν οὐκ ᾤετο [a] τεύξεσθαι, ταῦτ' ἔγραφεν [b] ἐξαπατῶν· ἐπειδὴ δ' ἔτυχε, λέγε οἷα ἐποίησεν.

[c] ΕΠΙΣΤΟΛΗ.

Οὐκοῦν τοῦ κομιεῖσθαι τὰ ἀπολωλότα χωρία ὑποσχομένου Χαριδήμου, διαβάντος φησὶν ὁ ἄρχων [d] Κριθωτῆς περὶ τῶν ὑπαρχόντων γεγενῆσθαι μείζους τῶν πρότερον
191 τοὺς κινδύνους. [e] λέγ' ἐξ ἑτέρας [f] ἐπιστολῆς ἐπιδειξας.

[g] ΕΠΙΣΤΟΛΗ. 674

[h] Λέγ' ἐξ ἑτέρας.

ΕΠΙΣΤΟΛΗ.

Ὁρᾶτε ὅτι πανταχόθεν τὸ πρᾶγμα μαρτυρεῖται, ὅτι διαβὰς οὐκ ἐπὶ τὸν Κότυν ἀλλ' ἐφ' [i] ἡμᾶς μετ' ἐκείνου

[r] αὐτὸν om. S. k. r.
[s] τὴν om. pr. Y.
[t] ἔπεμπεν] ἔπεμψεν O.
[u] αὐτοῖς] δ' αὐτοῖς k. r. s. v.
[x] τὴν ἐπιστολὴν αὐτὴν] αὐτὴν τὴν ἐπιστολὴν k. r. s.
[y] οὐ γάρ om. pr. S.
[z] μὲν om. S. Y. O.
[a] τεύξεσθαι] τεύξασθαι O.
[b] ἐξαπατῶν] ἐξαπατῶν ὑμᾶς k. r. s.
[c] ΕΠΙΣΤΟΛΗ Y. k. s. πράξεις v. μαρτυρία ἔργων F. O. r. om. S.
[d] Κριθωτῆς] κριθώτης k. r. s.
[e] λέγ'] λέγε γ' F. λέγε δ' v.
[f] ἐπιστολῆς ἐπιδειξας] ἐπιδειξας ἐπιστολῆς v. ἐπιστολῆς ἐπιδειξας λέγε k. r. s. ἐπιστολῆς ἐπιδειξας λέγ' ἐξ ἑτέρας O.
[g] ΕΠΙΣΤΟΛΗ] ἐπιστολαὶ v.
[h] Λέγ' ἐξ ἑτέρας. ΕΠΙΣΤΟΛΗ] Addidi ex F. S. Y.
[i] ἡμᾶς] ὑμᾶς k. r. s.

ἐπορεύετο. ἔτι τοίνυν ταύτην μόνην ἀνάγνωθί μοι τὴν ἐπι- 5
στολήν, τὰς δ' ἄλλας ἔα· δῆλον γάρ [k] που ὑμῖν γέγονεν
ὡς πεφενάκικεν ὑμᾶς. λέγε.

ΕΠΙΣΤΟΛΗ.

192 Ἐπίσχες. Ἐνθυμεῖσθε ὅτι γράψας μὲν ὡς ἀποδώσει 10
Χερρόνησον, τὰ λοιπὰ ἀφελέσθαι μισθώσας αὐτὸν τοῖς
ὑμετέροις ἐχθροῖς ἐπεχείρει, γράψας δὲ ὡς Ἀλεξάνδρου
πρεσβευσαμένου [l] πρὸς αὐτὸν οὐ [m] προσεδέξατο, τοῖς λη-
σταῖς φαίνεται τοῖς παρ' ἐκείνου ταὐτὰ πράττων. εὔνους
γε, οὐ γάρ; ἁπλῶς ὑμῖν, καὶ οὐδὲν [n] ἂν ἐπιστείλας ψεῦ- 15
δος οὐδ' ἐξαπατήσας.

193 Οὐ τοίνυν ἐκ τούτων πω δῆλόν ἐσθ', οὕτω σαφῶς [o] δῆ-
λον ὄν, ὡς οὐδὲν πιστὸν ἐσθ' ὧν ἐκεῖνός φησι [p] καὶ προσ-
ποιεῖται τῇ πόλει προσέχειν, [q] ἀλλ' ἐκ τῶν μετὰ ταῦτα
συμβάντων ἔσται φανερώτερον. τὸν μὲν γὰρ Κότυν, εὖ 20
ποιῶν, ὄντα γ' ἐχθρὸν [r] ὑμῖν καὶ πονηρὸν ἀποκτίννυσιν ὁ
Πύθων, ὁ δὲ Κερσοβλέπτης ὁ [s] νυνὶ βασιλεύων μειρακύλ-
194 λιον ἦν καὶ πάντες οἱ [t] τοῦ Κότυος παῖδες, τῶν δὲ πραγ-
μάτων κύριος διὰ τὴν παρουσίαν καὶ τὸ δύναμιν ἔχειν ὁ 25
Χαρίδημος ἐγεγόνει, [u] ἦκε δὲ [x] Κηφισόδοτος στρατηγῶν,
πρὸς ὃν αὐτὸς ἔπεμψε τὴν ἐπιστολὴν ἐκείνην, καὶ αἱ
τριήρεις, αἳ, ὅτ' ἦν ἄδηλα τὰ τῆς σωτηρίας αὐτῷ, καὶ
195 μὴ συγχωροῦντος Ἀρταβάζου σώζειν ἔμελλον αὐτόν. τί
δῆ [y] προσῆκεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ὡς ἀληθῶς ἁπλοῦν 675

[k] που ὑμῖν] δήπου ὑμῖν F. ὑμῖν δήπου k. r. s.
[l] πρὸς αὐτὸν οὐ in margine ponit S.
[m] προσεδέξατο] vulg. ὑπεδέξατο.
[n] ἂν om. r. s.
[o] δῆλον ὄν om. Y. O.
[p] καὶ ante προσποιεῖται om. F.
[q] ἀλλ' ἐκ S. ceteri ἀλλὰ καὶ ἐκ.
[r] ὑμῖν] ἡμῖν Y. O. v.
[s] νυνὶ] νῦν r. s.
[t] τοῦ om. k. r. s.
[u] ἦκε] ἥκει r. s.
[x] Κηφισόδοτος] ὁ κηφισόδοτος k. s.
[y] προσῆκεν] προσῆκον ἦν k. r. s.

καὶ φίλον [a ποιῆσαι,] παρόντος μὲν στρατηγοῦ οὐχ a ὧν ἐκεῖνος ἔφησεν b ἂν αὐτῷ φθονεῖν οὐδενός, ἀλλ' ὃν αὐτὸς c ἑαυτοῦ φίλον προείλετο τῶν παρ' d ὑμῖν, καὶ πρὸς ὃν τὴν ἐπιστολὴν ἐπεπόμφει, τετελευτηκότος δὲ e Κότυος, κύριον δ' ὄντα τῶν πραγμάτων; οὐκ ἀποδοῦναι μὲν τὴν χώραν εὐθέως f ὑμῖν, κοινὴ δὲ μεθ' ὑμῶν g καθιστάναι τὸν βασιλέα τῆς Θράκης, δηλῶσαι δ' ὡς εἶχεν εὐνοϊκῶς
196 h ὑμῖν, καιροῦ τοιούτου λαβόμενον; ἔγωγ' ἂν φαίην. ἆρ' οὖν ἐποιησέ τι τούτων; πολλοῦ γε i δεῖ. ἀλλὰ τὸν μὲν k ἅπαντα χρόνον μῆνας ἑπτὰ διήγαγεν l ἡμᾶς πολεμῶν, ἐκ προφανοῦς ἐχθρὸς ὢν καὶ οὐδὲ λόγον φιλάνθρωπον διδούς. καὶ κατ' ἀρχὰς μὲν ἡμῶν δέκα ναυσὶ μόναις εἰς Πέρινθον m ὁρμισαμένων, ἀκηκοότων ὅτι πλησίον ἐστὶν
13 ἐκεῖνος, ὅπως συμμίξαιμεν αὐτῷ καὶ περὶ τούτων εἰς λόγους ἔλθοιμεν, ἀριστοποιουμένους φυλάξας τοὺς στρατιώτας n ἐπεχείρησε μὲν ἡμῶν τὰ σκάφη λαβεῖν, πολλοὺς δ' ἀπέκτεινε τῶν ναυτῶν, o κατήραξε δ' εἰς τὴν θάλατταν
197 ἅπαντας, ἱππέας ἔχων καὶ ψιλούς τινας. μετὰ ταῦτα δὲ πλευσάντων ἡμῶν οὐκ ἐπὶ τῆς Θράκης τόπον οὐδένα οὐδὲ χωρίον· οὐδὲ γὰρ τοῦτό p γ' ἂν εἴποι τις "νὴ Δί', "ἀμυνομένους γὰρ ὑπὲρ τοῦ μὴ παθεῖν ἐποιεῖ τι κακόν." οὐκ ἔστι τοῦτο· οὐ γὰρ ἤλθομεν q οὐδαμοῖ τῆς Θράκης,

a ποιῆσαι om. F. S. Y. O. v.
a ὧν] ὃν correcti S. O. r. v.
b ἂν om. F. S. Y. O. v. φθονεῖν αὐτῷ ἔφησεν ἂν k. r. s.
c ἑαυτοῦ] ἑαυτῷ r.
d ὑμῖν] ἡμῖν k. r. s.
e Κότυος] τοῦ κότυος F. k. r. s.
f ὑμῖν] ἡμῖν k.
g καθιστάναι τὸν βασιλέα] τὸν βασιλέα καθιστάναι k. r. s.
h ὑμῖν] ἡμῖν k.
i δεῖ] καὶ δεῖ F. k. r. s. v.
k ἅπαντα] δίλον ἅπαντα k. r. s.
l ἡμᾶς] ἡμῖν k. r. s.
m ὁρμισαμένων] ὁρμησαμένων F. k. r. s.
n ἐπεχείρησε] ἐπεχείρησε k. r. s.
o κατήραξε S. κατήραξε F. κατήρραξε k. r. s. κατίρραξε O. κατίρραξε Y. v. Conf. Valcken. ad Herodot. 9, 69.
p γ' om. k. r. s.
q οὐδαμοῖ Y. O. et correctus S. οὐδαμοῦ F. k. r. s. οὐδαμοῦ v.

ἀλλ' ἐπ' Ἀλωπεκόννησον, [r] ἣ Χερρονήσου μέν ἐστι καὶ ἦν [s] ὑμετέρα, ἀκρωτήριον δ' ἀνέχον πρὸς τὴν [y] Ἴμβρον ἀπωτάτω τῆς Θράκης, λῃστῶν δ' ἦν μεστὴ καὶ καταποντι-
198 στῶν. ἐνταῦθα [t] ἐλθόντων ἡμῶν καὶ πολιορκούντων τού- 676
τους, [u] πορευθεὶς διὰ Χερρονήσου πάσης τῆς [x] ὑμετέρας [y] ἡμῖν [z] μὲν [a] προσέβαλλεν, ἐβοήθει δὲ τοῖς λῃσταῖς καὶ καταποντισταῖς. καὶ [b] πρότερον προσκαθήμενος τὸν [c] ὑμέτερον στρατηγὸν ἔπεισε καὶ ἠνάγκασε μὴ τὰ βέλτιστ' 5
ὑπὲρ [d] ὑμῶν πράττειν, ἢ αὐτὸς ὑπὸ τούτου ἐπείσθη ὧν
199 ὡμολογήκει καὶ [e] ὑπέσχητό [f] τι πρᾶξαι, καὶ γράφει δὴ τὰς συνθήκας [g] ταύτας πρὸς Κηφισόδοτον, ἐφ' αἷς ὑμεῖς οὕτως ἠγανακτήσατε καὶ χαλεπῶς ἠνέγκατε, ὥστε ἀπ- 10
εχειροτονήσατε μὲν τὸν στρατηγόν, πέντε ταλάντοις δ' ἐζημιώσατε, τρεῖς δὲ μόναι ψῆφοι διήνεγκαν [h] τὸ μὴ θανάτου τιμῆσαι. καίτοι πηλίκην τινὰ χρὴ νομίζειν ὦ ἄνδρες Ἀθηναῖοι [i] ταύτην τὴν ἀλογίαν, ὅταν τις ἴδῃ διὰ τὰς αὐτὰς πράξεις τὸν μὲν ὡς [k] ἀδικοῦντα κολασθέντα 15
πικρῶς οὕτω, τὸν δ' ὡς εὐεργέτην ἔτι καὶ νῦν τιμώμενον;
200 ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, τῶν μὲν τῷ στρατηγῷ συμβάντων δῆπου μάρτυρες ὑμεῖς ἐστέ μοι· καὶ γὰρ ἐκρίνεθ' ὑμεῖς καὶ ἀπεχειροτονεῖτε καὶ [l] ὠργίζεσθε, καὶ [m] πάντα 20
ταῦτα σύνισθ' ὑμεῖς· τῶν [n] δ' ἐν Περίνθῳ καὶ τῶν ἐν Ἀλωπεκοννήσῳ κάλει μοι τοὺς τριηράρχους μάρτυρας.

[r] ἣ] ἡ δὲ k.
[s] ὑμετέρα] ἡμετέρα k.
[t] ἐλθόντων] δ' ἐλθόντων S. Y. O.
[u] πορευθεὶς] λαθὼν καὶ πορευθεὶς r. s. λαθὼν καὶ διαπορευθεὶς k.
[x] ὑμετέρας] ἡμετέρας O.
[y] ἡμῖν] ὑμῖν k. s.
[z] μὲν om. pr. v.
[a] προσέβαλλεν] προσέβαλεν r.
[b] πρότερον προσκαθήμενος] οὐ πρότερον προσκαθήμενος ἐπαύσατο πρὶν γρ. F.
[c] ὑμέτερον] ἡμέτερον O. k.
[d] ὑμῶν] ἡμῶν k.
[e] ὑπέσχητο] ὑπέσχετο F. k. r. s. v.
[f] τι om. Y. O. et pr. S. delet v.
[g] ταύτας] ταύτας τὰς S. Y. O.
[h] τὸ μὴ] τοῦ μὴ v. τοῦ μὴ k.
[i] ταύτην om. r.
[k] ἀδικοῦντα] ἀδικήσαντα k. r. s.
[l] ὠργίζεσθε] ὀργίζεσθε O.
[m] πάντα ταῦτα] ταῦτα πάντα s. v.
[n] δ' om. Y. O.

[o]ΤΡΙΗΡΑΡΧΟΙ ΜΑΡΤΥΡΕΣ.

201 Μετὰ ταῦτα [p]τοίνυν, ἐπειδὴ Κηφισόδοτος μὲν ἀπηλ- 25
λάγη τοῦ στρατηγεῖν, ὑμῖν δ' οὐκ ἐδόκουν καλῶς ἔχειν
οὐδὲ δικαίως αἱ πρὸς ἐκεῖνον γραφεῖσαι συνθῆκαι, τὸν
μὲν Μιλτοκύθην, τὸν διὰ παντὸς εὖνουν ὑμῖν τοῦ χρόνου,
[q]λαβὼν προδοθέντα ὑπὸ [r]τοῦ Σμικυθίωνος ὁ χρηστὸς οὗ-
τος Χαρίδημος, οὐκ ὄντος νομίμου τοῖς Θραξὶν ἀλλήλους 677
ἀποκτιννύναι, γνοὺς ὅτι σωθήσεται πρὸς Κερσοβλέπτην
ἂν [s]ἀχθῇ, παραδίδωσι Καρδιανοῖς τοῖς ὑμετέροις ἐχθροῖς.
202 κἀκεῖνοι λαβόντες [t]καὶ αὐτὸν καὶ τὸν υἱόν, ἀναγαγόντες
εἰς τὸ πέλαγος ἐν πλοίῳ, τὸν μὲν υἱὸν ἀπέσφαξαν, ἐκεῖ- 5
νον δ' ἐπιδόντα τὸν υἱὸν ἀποσφαττόμενον κατεπόντισαν.
τῶν δὲ Θρᾳκῶν ἁπάντων χαλεπῶς ἐνεγκόντων ἐπὶ τού-
τοις, καὶ συστραφέντων τοῦ τε Βηρισάδου καὶ τοῦ Ἀμα-
δόκου, ἰδὼν τὸν καιρὸν τοῦτον Ἀθηνόδωρος, συμμαχίαν 10
203 ποιησάμενος [u]πρὸς τούτους [x]οἵος [y]τ' ἦν πολεμεῖν. ἐν
φοβῷ δὲ καταστάντος τοῦ Κερσοβλέπτου γράφει [z]ὁ
Ἀθηνόδωρος συνθήκας, [a]καθ' ἃς ἀναγκάζει τὸν Κερσο-
βλέπτην ὀμόσαι πρός τε [b]ὑμᾶς καὶ [c]τοὺς βασιλέας
εἶναι μὲν τὴν ἀρχὴν κοινὴν τῆς Θρᾴκης εἰς τρεῖς διῃρη- 15
204 μένην, πάντας δ' ὑμῖν ἀποδοῦναι τὴν χώραν. ὡς δ' ἐν
ἀρχαιρεσίαις ὑμεῖς Χαβριαν ἐπὶ τὸν πόλεμον τοῦτον
κατεστήσατε, καὶ τῷ μὲν Ἀθηνοδώρῳ συνέβη διαφεῖναι
τὴν δύναμιν χρήματα οὐκ ἔχοντι παρ' ὑμῶν οὐδ' [d]ἀφορ-

[o] ΤΡΙΗΡΑΡΧΟΙ ΜΑΡΤΥΡΕΣ] μάρτυρες S. Y. O. k. μαρτυρία τριηράρχων r. μαρτυρία v.

[p] τοίνυν om. s.

[q] λαβὼν προδοθέντα] προδοθέντα λαβων v.

[r] τοῦ om. v.

[s] ἀχθῇ] ἀναχθῇ k. r. s.

[t] καὶ αὐτὸν καὶ τὸν υἱὸν] καὶ τὸν υἱὸν καὶ αὐτὸν k. r. s.

[u] πρὸς τούτους om. pr. S. τούτοις F.

[x] οἷος] οἷς k.

[y] τ' om. Y. O. k. r. s.

[z] ὁ om. k. r. s.

[a] καθ' ἃς] ἐν αἷς k. r. s. et γρ. F.

[b] ὑμᾶς] ἡμᾶς F. S. Y. O. v.

[c] τοὺς] πρὸς τοὺς Y. O. k. r. s.

[d] ἀφορμὴν] ἀφορμῶν ἐλλιμίαν F. v.

μὴν τῷ πολέμῳ, [e]τῷ Χαβρίᾳ δὲ μίαν [f]ναῦν ἔχοντι μόνην ἐκπλεῖν, τί [g]πάλιν ποιεῖ οὗτος ὁ Χαρίδημος; ἃς μὲν ὤμοσε πρὸς τὸν Ἀθηνόδωρον συνθήκας, ἔξαρνος γίγνεται καὶ τὸν Κερσοβλέπτην ἀρνεῖσθαι πείθει, γράφει δ' ἑτέρας πρὸς [h]τὸν Χαβριαν ἔτι τῶν πρὸς Κηφισόδοτον δεινοτέρας· οὐκ ἔχων δ' ἐκεῖνος, οἶμαι, δύναμιν στέργειν
205 ἠναγκάζετο τούτοις. ἀκούσαντες δ' ὑμεῖς ταῦτ', ἐν τῷ δήμῳ λόγων ῥηθέντων πολλῶν καὶ τῶν συνθηκῶν [i]ἀναγνωσθεισῶν, οὔτε τὴν [k]Χαβρίου δόξαν αἰσχυνθέντες οὔτε τῶν συναγορευόντων οὐδένα ἀπεχειροτονήσατε καὶ ταύτας 678
πάλιν τὰς συνθήκας, καὶ [l]ἐψηφίσασθε ψήφισμα Γλαύκωνος εἰπόντος ἑλέσθαι πρέσβεις δέκα ἄνδρας ἐξ ὑμῶν αὐτῶν, τούτους δ', [m]ἂν [n]μὲν [o]ἐμμένῃ ταῖς πρὸς Ἀθηνόδωρον συνθήκαις [p]ὁ Κερσοβλέπτης, ὁρκίσαι πάλιν αὐτόν, εἰ δὲ μή, παρὰ μὲν τοῖν δυοῖν βασιλέοιν ἀπολαβεῖν τοὺς ὅρκους, πρὸς δ' ἐκεῖνον ὅπως πολεμήσετε [q]βουλεύεσθαι.
206 ἐκπεπλευκότων δὲ τῶν πρέσβεων συμβαίνει τοῖς χρόνοις εἰς τοῦθ' ὑπηγμένα τὰ πράγματα ἤδη, [r]τριβόντων [s]τούτων καὶ οὐδὲν ἁπλοῦν οὐδὲ δίκαιον ὑμῖν ἐθελόντων πρᾶξαι, ὥστ' [t]ἐβοηθοῦμεν εἰς Εὔβοιαν, καὶ Χάρης ἦκεν [u]ἔχων τοὺς ξένους, καὶ στρατηγὸς ὑφ' ὑμῶν αὐτοκράτωρ εἰς Χερρόνησον ἐξέπλει. οὕτω [x]γράφει πάλιν συνθήκας πρὸς τὸν Χάρητα, παραγενομένου Ἀθηνοδώρου καὶ τῶν

[e] τῷ ante Χαβρίᾳ om. k. r. s.
[f] ναῦν om. O.
[g] πάλιν ποιεῖ] ποιεῖ πάλιν k. r. s.
[h] τὸν ante Χαβρίαν om. k. r. s.
[i] ἀναγνωσθεισῶν] παραγνωσθεισῶν O. s. παραναγνωσθεισῶν Y. k. r.
[k] Χαβρίου] χαβρία r.
[l] ἐψηφίσασθε] ψηφίζεσθε k. r. s.
[m] ἂν] ἐν Y. O.
[n] μὲν om. k. r. s.
[o] ἐμμένῃ om. S. Y. O.
[p] ὁ Κερσοβλέπτης om. S. Y. O.
[q] βουλεύεσθαι] βουλεύεσθαι F. βουλεύσεσθαι v.
[r] τριβόντων] διατριβόντων correctus s.
[s] τούτων om. r.
[t] ἐβοηθοῦμεν] βοηθοῦμεν k. r. s.
[u] ἔχων τοὺς ξένους] τοὺς ξένους ἄγων k. r. s.
[x] γράφει πάλιν] πάλιν γράφει k. r. s.

βασιλέων, ταύτας αἵπερ εἰσὶν [y] ἄρισται καὶ δικαιόταται. καὶ [z] ἔργῳ ἑαυτὸν ἐξήλεγξεν ὅτι καιροφυλακεῖ τὴν πόλιν ἡμῶν, καὶ οὐδὲν ἁπλοῦν ἔγνωκε ποιεῖν οὐδ' [a] ἴσον.
207 εἴθ' ὃν ὁρᾶτε ἐκ [b] προσαγωγῆς [c] ὑμῖν φίλον, καὶ ὅπως ἂν ὑμᾶς δύνασθαι [d] νομίσῃ, οὕτω πρὸς ὑμᾶς εὐνοίας ἔχοντα, τοῦτον οἴεσθε δεῖν ἰσχυρόν ποτ' ἐᾶσαι γενέσθαι, καὶ ταῦτα δι' ὑμῶν; οὐκ ἄρ' ὀρθῶς ἐγνώκατε. ἵνα τοίνυν εἰδῆθ' ὅτι [e] τἀληθῆ λέγω, λαβέ μοι τὴν ἐπιστολὴν ἣ μετὰ τὰς πρώτας συνθήκας ἦλθεν, εἶτα τὴν παρὰ Βηρισάδου· μάλιστα γὰρ οὕτω γνώσεσθε διδασκόμενοι.

[f] ΕΠΙΣΤΟΛΗ.

208 Λέγε καὶ τὴν ἐπιστολὴν [g] τὴν τοῦ Βηρισάδου.

[h] ΕΠΙΣΤΟΛΗ. 679

Ἡ μὲν τοίνυν συμμαχία [i] τοῖν βασιλέοιν τοῖν δυοῖν τοῦτον τὸν τρόπον μετὰ τὴν παράκρουσιν τὴν διὰ τῶν πρὸς Κηφισόδοτον συνθηκῶν συνεστάθη, ἤδη Μιλτοκύθου μὲν ἀνηρημένου, Χαριδήμου δ' ἔργῳ φανερῶς γεγενημένου
209 ὅτι τῆς πόλεως ἐχθρός ἐστιν. ὃς γάρ, ὃν ἥδει διὰ παντὸς τοῦ χρόνου πάντων τῶν Θρᾳκῶν εὐνούστατον ὄνθ' ὑμῖν, τοῦτον [k] ὑποχείριον ἠξίωσε λαβὼν τοῖς ὑμετέροις ἐχθροῖς Καρδιανοῖς [l] ἐγχειρίσαι, πῶς οὐ μεγάλης ἔχθρας δεῖγμα πρὸς ὑμᾶς ἐξέφερεν; ἃς [m] δὴ τὸν πόλεμον δεδιὼς τὸν πρὸς τοὺς Θρᾷκας καὶ πρὸς Ἀθηνόδωρον ἐποιήσατο συνθήκας [n] μετὰ ταῦτα ὁ Κερσοβλέπτης, λέγε.

[y] ἄρισται] βέλτισται k. r. s.
[z] ἔργῳ] ἔργου v.
[a] ἴσον] ἴσιον γρ. F.
[b] προσαγωγῆς] προαγωγῆς Harpocratio.
[c] ὑμῖν] ὑμῶν F. v.
[d] νομίσῃ] νομίσῃ F.
[e] τἀληθῆ] ταῦτ' ἀληθῆ F. k. r. s. v.
[f] ΕΠΙΣΤΟΛΗ—Βηρισάδου om. r. s. v.
[g] τὴν τοῦ] τὴν παρὰ τοῦ v.
[h] ΕΠΙΣΤΟΛΗ om. Y. O. k.
[i] τοῖν βασιλέοιν τοῖν δυοῖν] τῶν δυοῖν βασιλέοιν F. v. τοῖς βασιλεῦσι τῶν δυοῖν S. Y. O.
[k] ὑποχείριον ἠξίωσεν] ἠξίωσεν ὑποχείριον k. r. s. v.
[l] ἐγχειρίσαι] ἐγχειρῆσαι S. et pr. Y. v.
[m] δὴ] δὲ k. r. s. v.
[n] μετὰ] καὶ μετὰ F. v.

ΣΥΝΘΗΚΑΙ.

210 [o]Ταῦτα τοίνυν γράψας καὶ συνθέμενος, καὶ τὸν ὅρκον ὃν [p]ὑμεῖς ἠκούσατε ὀμόσας, ἐπειδὴ τὴν μὲν Ἀθηνοδώρου δύναμιν διαφειμένην εἶδε, μιᾷ δὲ [q]μόνον τριήρει Χαβρίαν ἥκοντα, οὔτε τὸν Ἰφιάδου παρέδωκεν [r]υἱὸν ὑμῖν, οὔτ' ἄλλ' οὐδὲν ὧν ὤμοσεν ἐποίησεν, ἀλλὰ [s]καὶ περὶ τῶν ἄλλων τῶν [t]γεγραμμένων [u]ἐν ταῖς συνθήκαις ἔξαρνος γίγνεται, καὶ γράφει [x]ταύτας τὰς συνθήκας. Λαβέ μοι καὶ λέγε ταυτασί.

ΣΥΝΘΗΚΑΙ.

211 Ἐνθυμεῖσθ' ὅτι καὶ τέλη καὶ δεκάτας ἠξίου λαμβάνειν, καὶ πάλιν ὡς αὐτοῦ τῆς χώρας οὔσης τοὺς λόγους ἐποιεῖτο, τοὺς δεκατηλόγους ἀξιῶν τοὺς αὐτοῦ τῶν τελῶν κυρίους εἶναι, καὶ τὸν ὅμηρον τὸν υἱὸν [y]τὸν Ἰφιάδου, ὃν ὑπὲρ Σηστοῦ ἔχων ὤμοσε [z]πρὸς τὸν Ἀθηνόδωρον παραδώσειν, οὐδ' ὑπισχνεῖται παραδώσειν ἔτι. [a]λαβὲ τὸ ψήφισμα ὃ πρὸς ταῦθ' [b]ὑμεῖς ἐψηφίσασθε. λέγε. 680

ΨΗΦΙΣΜΑ.

212 Ἐλθόντων τοίνυν μετὰ ταῦτα τῶν πρέσβεων εἰς Θράκην, ὁ μὲν Κερσοβλέπτης ὑμῖν ἐπιστέλλει ταυτί, καὶ οὐδ' ὁτιοῦν ὡμολόγει δίκαιον, οἱ δ' ἕτεροι ταυτί. Λέγε αὐτοῖς.

ΕΠΙΣΤΟΛΗ.

Λέγε δὴ τὴν παρὰ [c]τῶν [d]βασιλέων. καὶ σκοπεῖτε εἰ ἄρα ὑμῖν δοκοῦσι μηδὲν ἐγκαλεῖν.

[o] Ταῦτα] vulg. ὁ ταῦτα.
[p] ὑμεῖς ἠκούσατε] ἠκούσατε ὑμεῖς k. r. s.
[q] μόνον] μόνη F. r. v.
[r] υἱὸν ὑμῖν] υἱὸν ἡμῖν F. S. v. ἡμῖν υἱὸν Y. O.
[s] καὶ post ἀλλὰ om. O.
[t] γεγραμμένων] ἐγγεγραμμένων s.
[u] ἐν] τῶν ἐν k.
[x] ταύτας] ταύταις O.
[y] τὸν Ἰφιάδου] τοῦ Ἰφιάδου S. Y. O. r. v.
[z] πρὸς τὸν] πρῶτον r. s.
[a] λαβὲ] λαβὲ δὴ k. r. s.
[b] ὑμεῖς ἐψηφίσασθε] ἐψηφίσασθε ὑμεῖς k. r. s.
[c] τῶν ante βασιλέων om. r.
[d] βασιλέων] βασιλέων ἐπιστολήν F. v.

ΕΠΙΣΤΟΛΗ.

213 [c]Ὁρᾶτε καὶ συνίετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πονηρίαν καὶ τὴν ἀπιστίαν, ὡς ἄνω καὶ κάτω. τὸ πρῶτον ἠδίκει Κηφισόδοτον, πάλιν φοβηθεὶς Ἀθηνόδωρον ἐπαύσατο· αὖθις ἠδίκει Χαβριαν, πάλιν ὡμολόγει Χάρητι. πάντ' ἄνω καὶ κάτω πεποίηκε, καὶ οὐδὲν ἁπλῶς οὐδὲ δικαίως ἔπραξεν.

214 Μετὰ ταῦτα τοίνυν ὅσον μὲν χρόνον ἡ ὑμετέρα δύναμις παρῆν [f]ἐν Ἑλλησπόντῳ, κολακεύων καὶ φενακίζων ὑμᾶς διεγένετο· [g]ἐπεὶ δ' [h]εἶδε τάχιστα τὸν Ἑλλήσποντον ἔρημον δυνάμεως, εὐθὺς ἐνεχείρει [i]καταλύσας καὶ ἀπαλλάξας τοὺς δύο τῆς ἀρχῆς πᾶσαν ὑφ' ἑαυτῷ ποιήσασθαι τὴν ἀρχήν, ἔργῳ πεῖραν ἔχων ὅτι τῶν πρὸς ὑμᾶς οὐδὲν μὴ
215 δυνηθῇ πρότερον λῦσαι, πρὶν ἂν ἐκβάλῃ τούτους. ἵνα δ' ὡς ῥᾷστα τοῦτο περάνειε, ψηφισμα [k]τοιοῦτο παρ' ὑμῶν εὕρετο, ἐξ οὗ κυρωθέντος ἄν, εἰ μὴ δι' ἡμᾶς καὶ [l]ταύτην τὴν γραφήν, ἠδίκητο μὲν φανερῶς οἱ δύο τῶν βασιλέων, ἡσυχίαν δ' ἂν ἦγον οἱ στρατηγοῦντες αὐτοῖς, ὁ Βιάνωρ, ὁ Σίμων, ὁ Ἀθηνόδωρος, φοβούμενοι τὴν διὰ τοῦ ψηφισμα- 681
τος συκοφαντίαν, ὁ δὲ ταύτης τῆς ἐξουσίας ἀπολαύσας καὶ πᾶσαν ὑφ' ἑαυτῷ λαβὼν τὴν ἀρχὴν ἰσχυρὸς [m]ἂν ἐχθρὸς ὑπῆρχεν ὑμῖν.

216 [n]Ἔχει δ' ὁρμητήριον [o]παρὰ παντὰ τὸν χρόνον αὐτῷ τετηρημένον τὴν Καρδιανῶν πόλιν, ἣν ἐν ἁπάσαις μὲν ταῖς

[c] Ὁρᾶτε] ἆρα ἰρᾶτε k. r. s. ἀρά γ' ἰρᾶτε F. v.
[f] ἐν om. F. v.
[g] ἐπεὶ] ἐπειδὴ F. k. r. s. v.
[h] εἶδε τάχ. τὸν Ἑλλ. ἔρημον] τάχ. ἔρημον τὸν Ἑλλ. εἶδε k. r. s.
[i] καταλύσας καὶ ἀπαλλάξας — πᾶσαν] καταλύσει καὶ ἀπαλλάξαι — καὶ πᾶσαν F. S. Y. O. et, qui in margine ἀπαλλάττειν, v.
[k] τοιοῦτο παρ' ὑμῶν] παρ' ὑμῶν τοιοῦτο k. r. s. τοιοῦτόν τι παρ' ὑμῶν F. v.
[l] ταύτην] ταυτηνὶ k. s.
[m] ἂν post ἰσχυρὸς om. O.
[n] Ἔχει] εἶχε k. r. s. v.
[o] παρὰ πάντα] παρ' ἅπαντα k. r. s.

συνθήκαις ἐξαίρετον αὐτῷ γέγραφε, τὸ τελευταῖον δὲ καὶ φανερῶς [p]αὐτὴν ἀφείλετο παρ' ὑμῶν. καίτοι τοῖς ἀπηλλαγμένοις [q]μὲν τοῦ περὶ [r]ἡμῶν τι φρονεῖν ἄδικον, μετὰ πάσης δ' ἀληθείας ἁπλῶς εὐνοεῖν ἡμῖν [s]ἠρημένοις τί [t]προσῆκεν αὐτοῖς ὁρμητήριον [u]καταλιπεῖν χρήσιμον τοῦ
217 πρὸς [x]ἡμᾶς πολέμου; ἴστε γὰρ δήπου τοῦτο, οἱ μὲν ἀφιγμένοι σαφῶς, οἱ δ' ἄλλοι τούτων [y]ἀκούοντες, ὅτι τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει, εἰ γενήσεται [z]τὰ πρὸς τοὺς Θρᾷκας [a]εὐτρεπῆ τῷ Κερσοβλέπτῃ, παρ' ἡμέραν ἔξεστιν αὐτῷ βαδίζειν [b]ἐπὶ Χερρόνησον ἀσφαλῶς. ὥσπερ γὰρ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας [c]πρὸς τῆς Βοιωτίας κεῖται, οὕτω Χερρόνησος κεῖται [d]πρὸς τῆς Θρᾴκης
218 ἡ Καρδιανῶν πόλις. ἣν ὃν ἔχει τόπον ὅστις οἶδεν ὑμῶν, οὐδ' ἐκεῖν' ἀγνοεῖ, τίνος [e]εἵνεκα καιροῦ [f]περιπεποίηται καὶ διεσπούδασται μὴ λαβεῖν ὑμᾶς. [g]ὃν οὐ συμπαρασκευάσαι καθ' ὑμῶν αὐτῶν ὀφείλετε, ἀλλὰ κωλῦσαι καθ' ὅσον δυνατόν, καὶ σκοπεῖν ὅπως μὴ [h]γενήσεται, ἐπεί, ὅτι
219 γε οὐδ' ἂν ὀντινοῦν καιρὸν [i]παρείη, δεδήλωκε. Φιλίππου γὰρ εἰς Μαρώνειαν ἐλθόντος ἔπεμψε πρὸς αὐτὸν Ἀπολλωνίδην, πίστεις δοὺς ἐκείνῳ καὶ Παμμένει· καὶ εἰ μὴ κρατῶν τῆς χώρας Ἀμάδοκος ἀπεῖπε Φιλίππῳ μὴ ἐπι-

[p] αὐτὴν om. k. r. s.
[q] μὲν τοῦ περὶ ἡμῶν τι in litura rec. Y.
[r] ἡμῶν—ἡμῖν] ὑμῶν—ὑμῖν k.r.s.
[s] ἠρημένοις] προηρημένοις k. r. s.
[t] προσῆκεν] προσῆκον k. r. s.
[u] καταλιπεῖν] καταλείπειν Y.O.
[x] ἡμᾶς] ὑμᾶς O. k. r. s.
[y] ἀκούοντες] ἀκούσαντες O.
[z] τὰ om. pr. v.
[a] εὐτρεπῆ] εὐπρεπῆ r.
[b] ἐπὶ χερρόνησον ἀσφαλῶς] ἀσφαλῶς ἐπὶ χερρόνησον k. r. s.
[c] πρὸς] πρὸ F. k. r. s.
[d] πρὸς] πρὸ k. r. s.
[e] εἵνεκα] ἕνεκα k. r. s. περι
[f] περιπεποίηται] ποιεῖται k. ποιεῖται r.s. om. pr. Y. omissa etiam καὶ.
[g] ὃν] ὃν ὑμεῖς F. v.
[h] γενήσεται] γενήσεται δυ S.
[i] παρείη] παριηι F. S. Y. παρίη O. παριη v.

βαινειν, οὐδεν [k]ἂν ἦν ἐν μέσῳ πολεμεῖν [l]ἡμᾶς πρὸς Καρ- 682
διανοὺς [m]ἤδη καὶ [n]πρὸς Κερσοβλέπτην. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, [o]λαβὲ τὴν Χάρητος ἐπιστολήν.

ΕΠΙΣΤΟΛΗ.

220 Ταῦτα [p]μέντοι δεῖ σκοπουμένους ἀπιστεῖν καὶ μὴ τε- 5
τυφῶσθαι, μηδ' ὡς εὐεργέτῃ προσέχειν τὸν νοῦν. οὐ γὰρ
ὧν ἀναγκαζόμενος φίλος εἶναί φησι, φενακιζων ὑμᾶς,
χάριν ἐστὶ δικαιον ὀφείλειν Κερσοβλέπτῃ, οὐδ' ὧν μικρὰ
ἀναλίσκων ἰδίᾳ καὶ τοῖς στρατηγοῖς καὶ τοῖς ῥήτορσι Χα- 10
ρίδημος διαπράττεται πρὸς ὑμᾶς ἐπαινους αὑτῷ γρά-
φεσθαι· ἀλλ' ὧν, ὁσαχοῦ κύριος γέγονε τοῦ πράττειν ὅ τι
βούλεται, πανταχοῦ κακῶς ἐπιχειρῶν [q]ὑμᾶς ποιεῖν φαί-
221 νεται, τούτων πολὺ μᾶλλον ὀργίζεσθαι προσήκει. οἱ μὲν 15
τοίνυν ἄλλοι πάντες, ὅσοι τι παρ' ὑμῶν εὕρηνται πώποτε,
ἐφ' οἷς εὖ πεποιήκασιν ὑμᾶς τετίμηνται, οὗτος δὲ εἷς
[r]ἁπάντων [s]τῶν ἄλλων μόνος ἐφ' οἷς ἐγχειρῶν οὐ δεδύνη-
ται [t]κακῶς ποιῆσαι. καίτοι τῷ τοιούτῳ τὸ δίκης, ἣν
ἔδωκε δικαιως ἂν, ἀφεῖσθαι μεγάλη δωρεὰ παρ' ὑμῶν 20
[u]ἦν. ἀλλ' οὐ ταῦτα δοκεῖ τοῖς ῥήτορσιν, ἀλλὰ πολίτης,
εὐεργέτης, στέφανοι, δωρεαί, δι' ἃ τούτοις ἰδίᾳ δίδωσιν.
εἰ δ' ἄλλοι πεφενακισμένοι κάθησθε, τὰ πράγματα θαυ-
222 μάζοντες. τὸ τελευταῖον δὲ νυνὶ [x]καὶ φύλακας [[y]ἂν] 25
κατέστησαν ὑμᾶς ἐκείνου διὰ τοῦ προβουλεύματος τούτου,
εἰ μὴ τὴν γραφὴν ἐποιησάμεθ' ἡμεῖς ταυτηνί, καὶ τὸ τοῦ

[k] ἂν om. k. r. s.
[l] ἡμᾶς] ἡμῖν k. r. s.
[m] ἤδη om. k. r. s.
[n] πρὸς post καὶ om. Y. O k. r. s. om etiam S. qui κερσοβλέπτην.
[o] λαβὲ] λαβέ μοι F. k. r. s. v.
[p] μέντοι] μὲν pr. S.
[q] ὑμᾶς ποιεῖν] ὑμῖν ποιῶν F. S. Y. O. v.
[r] ἁπάντων] πάντων k. r. s.
[s] τῶν om. O.
[t] κακῶς ποιῆσαι] ποιῆσαι κακῶς k. r. s.
[u] ἦν] ἂν ἦν r.
[x] καὶ om. O.
[y] ἂν post φύλακας om. S. Y. O. k. r. s.

μισθοφόρου καὶ θεραπεύοντος ἐκεῖνον ἔργον ἡ πόλις ἂν διεπράττετο, ἐφρούρει Χαρίδημον. καλόν γε, οὐ γάρ; ὦ 683
Ζεῦ καὶ θεοί, [z]ὃς αὐτός ποτε τοὺς [a]ὑμετέρους ἐχθροὺς μισθὸν λαμβάνων ἐδορυφόρει, τοῦτον ὑφ' [b]ὑμετέρου ψηφίσματος [c]φανῆναι φυλαττόμενον.

223 [y]Ἴσως τοίνυν ἐκεῖνο [d]ἄν τίς μ' ἔροιτο, τί δήποτε ταῦτ' εἰδὼς [e]οὕτως ἀκριβῶς ἐγὼ καὶ παρηκολουθηκὼς ἐνίοις τῶν ἀδικημάτων εἶασα, καὶ οὔθ' ὅτ' αὐτὸν ἐποιεῖσθε πολίτην οὐδὲν ἀντεῖπον, οὔθ' ὅτ' [f]ἐπηνεῖτε, οὔθ' ὅλως πρότερον, πρὶν τὸ ψήφισμα [g]τουτὶ γενέσθαι, λόγον [h]ἐποιησάμην οὐδένα.

224 ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς ἅπασαν ἐρῶ τὴν ἀλήθειαν. καὶ γὰρ ὡς ἀνάξιος ἦν ἤδειν, καὶ παρῆν ὅτε τούτων ἠξιοῦτο, καὶ οὐκ ἀντεῖπον· ὁμολογῶ. διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἀσθενέστερον ἡγούμην ἔσεσθαι πολλῶν ψευδομένων ἑτοίμως περὶ αὐτοῦ πρὸς ὑμᾶς

225 ἵνα τἀληθῆ λέγοντ' ἐμαυτόν· ἔπειθ' ὧν μὲν ἐκεῖνος [i]εὑρίσκετο ἐξαπατῶν ὑμᾶς, μὰ τὸν Δία καὶ [k]θεοὺς [l]πάντας οὐδενὸς [m]εἰσήει μοι φθονεῖν, κακὸν δ' οὐδὲν ἑώρων ὑπερφυὲς [n]πεισομένους ὑμᾶς, εἴ τιν' ἠδικηκότα πολλὰ [o]ἠφίετε καὶ [p]προὐκαλεῖσθέ [q]τι τοῦ λοιποῦ ποιεῖν ὑμᾶς ἀγαθόν· ἐν γὰρ τῷ πολίτην ποιεῖσθαι καὶ στεφανοῦν ταῦτ' ἐνῆν

[z] ὃς] ὅς γε F.v.
[a] ὑμετέρους] ἡμετέρους k. r. s.
[b] ὑμετέρου] ἡμετέρου k.s. ἑτέρου r.
[c] φανῆναι φυλαττόμενον] φυλαττόμενον φανῆναι k.r.s.
[d] ἄν τίς] τις ἄν k. r. s.
[e] οὕτως ἀκριβῶς] ἀκριβῶς οὕτως k. r. s.
[f] ἐπηνεῖτε] ἐπηνεῖτο k. r. s.
[g] τουτὶ γενέσθαι] γενέσθαι τουτὶ k. r. s.
[h] ἐποιησάμην οὐδένα] οὐδένα ἐποιησάμην k r. s.
[i] εὑρίσκετο] ἐφαίνετο F. v.
[k] θεοὺς] τοὺς θεοὺς k. r. s.
[l] πάντας] ἅπαντας F. k. r. s. v.
[m] εἰσήει] ἐπήει k. r. s.
[n] πεισομένους ὑμᾶς] ὑμᾶς πεισομένους F. v.
[o] ἠφίετε] [n]ἀφείετε S. [n]ἀφίετε F. ceteri ἀφίετε.
[p] προὐκαλεῖσθε] προκαλεῖσθε F. Y. O. v.
[q] τι] ἔτι F. v.

226 ἀμφότερα. ἐπειδὴ δ' ὁρῶ [r]προσκατασκευαζόμενόν τι τοι-
οὗτον, δι' οὗ, ἐὰν μόνον εὐτρεπίσηται τοὺς ἐνθάδε ἐξαπα- 25
τήσοντας [s]ὑμᾶς ὑπὲρ αὐτοῦ, τῶν γ' ἔξω φίλων [t]καὶ βου-
λομένων ἄν τι ποιεῖν ὑμᾶς ἀγαθὸν κἀκεῖνον κωλύειν ἐναν-
τία πράττειν ὑμῖν, οἷον Ἀθηνόδωρον λέγω, Σίμωνα, Βιά-
νορα, Ἀρχέβιον τὸν Βυζάντιον, τοὺς Θρᾷκας τοὺς δύο,
τοὺς βασιλέας, τούτων [u]μηδενὶ μήτ' ἐναντιωθῆναι μήτε 684
227 κωλύειν ἐκεῖνον ἐξέσται, τηνικαῦθ' ἥκω καὶ κατηγορῶ.
καὶ νομίζω τὸ μέν, οἷς ἔμελλεν ἐκεῖνος λαβὼν μηδὲν
ὑπερμέγεθες τὴν πόλιν βλάψειν, ἀντιλέγειν ἢ κακῶς 5
ἰδιᾳ πεποιθότος ἢ συκοφαντοῦντος εἶναι, τὸ δ', ἐφ' οἷς
μέγα πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατεσκευάζετο, ἐναν-
τιοῦσθαι χρηστοῦ καὶ φιλοπόλιδος ἀνδρὸς ἔργον εἶναι.
διὰ ταῦτ' ἐπ' ἐκείνοις οὐδὲν εἰπὼν νῦν λέγω.
228 [v]Ἔστι τοίνυν τις αὐτοῖς τοιοῦτος λόγος, δι' οὗ προσδο- 10
κῶσι παράξειν ὑμᾶς, ὡς ὁ Κερσοβλέπτης καὶ Χαρίδημος
ἴσως ἐναντία ἔπραττον τῇ πόλει τοθ' ὅτ' ἦσαν ἐχθροί, νῦν
δὲ [x]γ' εἰσὶ φίλοι καὶ χρησίμους παρέχουσιν αὐτούς. οὐ
δῆ δεῖ μνησικακεῖν· οὐδὲ γὰρ Λακεδαιμονίους ὅτ' ἐσῴζο- 15
μεν, οὐκ ἀνεμιμνησκόμεθα εἴ τι [y]κακῶς ἐποίησαν [z]ἡμᾶς
ὄντες ἐχθροί, οὐδὲ Θηβαίους, οὐδ' Εὐβοείας τὰ τελευταῖα
229 νυνί. ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον εἰ μὲν ἔν τινι καιρῷ
βοηθείας γεγραμμένης τῷ Κερσοβλέπτῃ καὶ τῷ Χαρι- 20
δήμῳ, κωλυόντων ἡμῶν [a]ταύτην, ἔλεγον, ὀρθῶς ἂν λέγε-
σθαι· εἰ δὲ τοιούτου μὲν μηδενὸς ὄντος μηδὲ γεγραμμένου,
βουλόμενοι δὲ μείζω [b]τῶν δέοντος ποιῆσαι διὰ τοῦ παρ'

[r] προσκατασκ.] προκατασκ. k. r. s.
[s] ὑμᾶς om. k. r. s.
[t] καὶ post φίλων om. O.
[u] μηδενὶ] μηδὲν r. s.
[x] γ' εἰσὶ om. S. Y. O.
[y] κακῶς] κακὸν F. v.
[z] ἡμᾶς] ὑμᾶς O.
[a] ταύτην] ταύτη Y. O. ταῦτ' δὲ k. r. s.
[b] τοῦ δέοντος ποιῆσαι] ποιῆσαι τοῦ δέοντος F. v.

[c]ὑμῶν ἄδειαν λαβεῖν τοὺς ἐκείνου στρατηγούς, [d]ἐροῦσι, δεινὰ ποιεῖν αὐτοὺς ἡγοῦμαι. οὐ γάρ ἐστι δίκαιον, [e]ὦ ἄν-25
δρες Ἀθηναῖοι, τοὺς τῶν σωθῆναι ζητούντων λόγους πρὸς ὑμᾶς λέγειν ὑπὲρ τῶν, ὅπως ἀδικεῖν αὐτοῖς [f]ἐξέσται,
230 πραττόντων. χωρὶς δὲ τούτων, εἰ μὲν ἐχθρὸς ὢν [g]Χαρί-
δημος] κακῶς ἐποίει, φίλος [h]δὲ φήσας [i]εἶναι μετεβέ-685
βλητο, τάχ' ἂν [k]ταῦτά τις ἤκουεν· ἐπειδὴ δ' οὐ [l]τοιοῦτόν
ἐστιν, ἀλλ' ἐξ οὗ φίλος εἶναι προσποιεῖται, ἐκ τούτου
πλεῖστα [m]ὑμᾶς ἐξηπάτηκεν, εἰ μὴ [n]καὶ δι' ἐκεῖνα [o]μι-
σεῖν, [p]διά γε ταῦτ' ἀπιστεῖν δήπου προσήκει. καὶ μὴν 5
[q]περὶ τοῦ [r]γε μὴ μνησικακεῖν ἔγωγε ὠδί πως λέγω· ὁ
μὲν [s]εἵνεκα τοῦ [t]κακόν τι ποιεῖν τὰ τοιαῦτα ἐξετάζων
μνησικακεῖ, ὁ δ' ὑπὲρ τοῦ μὴ παθεῖν ἀλλὰ φυλάξασθαι
σκοπῶν [u]σωφρονεῖ.

231 [v]Ἴσως τοίνυν καὶ τοιαύτην τινὰ ἐροῦσιν ὑπόνοιαν, ὡς ὠρ- 10
μηκότα νῦν τὸν ἄνθρωπον φίλον εἶναι καὶ βουλόμενόν τι
ποιεῖν ἀγαθὸν τὴν πόλιν εἰς ἀθυμίαν τρέψομεν, εἰ κατα-
ψηφιούμεθα, καὶ ποιήσομεν ὑπόπτως [x]ἔχειν πρὸς ἡμᾶς.
232 ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, θεάσασθε ὡς ἔχω. εἰ μετ'
ἀληθείας ἁπλῶς [y]ἦν ἡμῖν φίλος καὶ νὴ Δία πάντα τἀ- 15
γαθὰ ἤμελλεν [z]ἡμᾶς ποιήσειν, οὐδ' ἂν οὕτως [a]ὤμην δεῖν

[c] ὑμῶν] ἡμῶν k. ὑμῖν O.
[d] ἐροῦσι om. r. s.
[e] ὦ om. O.
[f] ἐξέσται] ἔσται r. s. v.
[g] [Χαρίδημος] om. F. S. Y. O. post ἐποίει ponit v.
[h] δὲ—οὖ φίλος om. s.
[i] εἶναι om. S. Y. O.
[k] ταῦτα om. k. r. post τις ponit r.
[l] τοιοῦτον] τοιοῦτ' Y. O.
[m] ὑμᾶς] καὶ ὑμᾶς S. Y. O.
[n] καὶ post μὴ om. k. r. s.
[o] μισεῖν] δεῖ μισεῖν F. v.
[p] διά γε ταῦτ'] δι' ἄγε ταῦτα k. διὰ ταῦτά γε F. v.
[q] περὶ] καὶ περὶ F.
[r] γε post τοῦ recepi ex S.Y.O.
[s] εἵνεκα] ἕνεκα Y. O. k. r. s.
[t] κακόν τι] τι κακὸν F. k. r. s. v.
[u] σωφρονεῖ] σωφρανεῖν O.
[x] ἔχειν πρὸς ἡμᾶς] ἔχειν πρὸς ὑμᾶς r. s. πρὸς ἡμᾶς ἔχειν F. v.
[y] ἦν ἡμῖν φίλος] ἦν ὑμῖν φίλος r. ἡμῖν ἦν φίλος v.
[z] ἡμᾶς] ὑμᾶς r.
[a] ὤμην δεῖν τοῦταν] τοῦτον ὤμην δεῖν F. v.

τοῦτον ἀκούειν τὸν λόγον· οὐδένα γὰρ [b] ἂν νομίζω τοσαῦτ' ἀγαθὰ ποιῆσαι, δι' ὃν ὑμῖν [c] προσήκειν ἐπιορκῆσαι καὶ
233 παρ' ἃ φαίνεται [d] δίκαια τὴν ψῆφον [e] θέσθαι. ἐπειδὴ δὲ καὶ φενακίζων καὶ οὐδ' ὁτιοῦν ὑγιὲς πράττων ἐξελέγχε- 10
ται, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν, ἐὰν καταψηφίσησθε, συμβήσεται· ἢ γὰρ ἐξαπατῶν παύσεται, νομίσας οὐκέτι λανθάνειν, ἢ εἴπερ αὐτῷ βουλομένῳ πρὸς ὑμᾶς ἐστὶν εἰ-
κείως ἔχειν ὡς ἀληθῶς, ἀγαθόν τι ποιεῖν πειράσεται, 15
γνοὺς ὅτι τῷ φενακίζειν οὐκεθ' ἃ βούλεται πράξει. ὥστε καὶ εἰ μηδὲ δι' ἓν τῶν ἄλλων, διὰ τοῦτό [f] γε καταψηφί-
σασθαι συμφέρει.

234 [g] Ἄξιον τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι κἀκεῖνο ἐξετάσαι, πῶς ποθ' οἱ πάλαι τὰς τιμὰς ἔνεμον καὶ τὰς δωρεὰς τοῖς [h] ὡς 686
ἀληθῶς εὐεργέταις, καὶ ὅσοι πολῖται [i] τύχοιεν ὄντες καὶ ὅσοι ξένοι. κἂν μὲν [k] ἴδητ' ἐκείνους ἄμεινον [l] ὑμῶν, καλὸν τὸ μιμήσασθαι, ἂν δ' ὑμᾶς αὐτούς, ἐφ' ὑμῖν [m] ἔσται τὸ
235 πράττειν. πρῶτον μὲν τοίνυν ἐκεῖνοι Θεμιστοκλέα τὸν τὴν 5
ἐν Σαλαμῖνι ναυμαχίαν νικήσαντα καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι καὶ πολλοὺς ἄλλους, οὐχ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγαθὰ εἰργασμένους, οὐ χαλκοῦς [n] ἱστα-
σαν οὐδ' ὑπερηγάπων. οὐκ ἄρα τοῖς [o] ἑαυτοὺς ἀγαθόν τι 10
236 ποιοῦσιν χάριν εἶχον; σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀπεδίδοσάν γε καὶ αὐτῶν κἀκείνων [p] ἀξίαν· ὄντες γὰρ πολλοῦ πάντες ἄξιοι προὔκρινον ἐκείνους αὐτῶν ἡγεῖ-

[b] ἂν om. F. ante ποιῆσαι ponit v.
[c] προσήκειν] προσήκει k. r. s.
[d] δίκαια] δίκαια εἶναι F. Y. O. v.
[e] θέσθαι] θεάσασθαι O.
[f] γε om. S. Y. O. ante τοῦτο ponunt r. s.
[g] ὡς om. pr. O.
[h] τύχοιεν] τύχοιμεν k. r. s.
[i] ἴδητ'] εἰδῆτ' k. r. s.
[k] ὑμῶν] ὑμῶν χρημάτους k. r. s. v.
[l] ἔσται] ἐστὶ Y.
[m] ἱστασαν] ἱστασιν O.
[n] ἑαυτοὺς ἀγαθόν τι ποιοῦσιν] ἀγαθόν τι ποιοῦσιν ἑαυτοὺς F. O. k. r. s. v.
[o] ἀξίαν] ἄξια Y. O.

σθαι. [p] ἔστι δὲ σώφροσιν ἀνθρώποις καὶ πρὸς ἀλήθειαν βουλομένοις σκοπεῖν πολὺ [q] μείζων τιμὴ τῆς χαλκῆς εἰκό-
237 νος τὸ καλῶν κἀγαθῶν [r] ἀνδρῶν κεκρίσθαι [s] πρώτους. καὶ γάρ τοι τῶν ἔργων [t] τῶν τότε οὐδενὸς ὦ ἄνδρες Ἀθηναῖοι ἀπεστέρησαν ἑαυτούς, οὐδ' ἔστιν οὐδεὶς ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους, ἀλλ' Ἀθηναίων, οὐδὲ τὴν Μαραθῶνι μάχην Μιλτιάδου, ἀλλὰ τῆς πόλεως. νῦν δ' ὦ ἄνδρες Ἀθηναῖοι πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἶλε Τιμόθεος καὶ τὴν [u] μόραν κατέκοψεν Ἰφικράτης καὶ τὴν περὶ Νάξον [x] ἐνίκα ναυμαχίαν Χαβρίας· δοκεῖτε γὰρ αὐτοὶ τῶν ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς, [y] αἷς δεδώκατε [z] ἐπ' αὐτοῖς ἑκάστῳ τού-
238 των. τὰς μὲν δὴ πολιτικὰς [a] δωρεὰς οὕτως ἐκεῖνοί τε καλῶς καὶ λυσιτελούντως [b] αὐτοῖς ἐδίδοσαν, καὶ [c] ἡμεῖς οὐκ ὀρθῶς· τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μένωνι τῷ Φαρσαλίῳ δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τὸν ἐπ' 687
Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, τριακοσίοις δ' ἱππεῦσι, πενέσταις ἰδίοις, βοηθήσαντι, οὐκ ἐψηφίσαντ', [d] αὐτὸν ἄν τις ἀποκτείνῃ, ἀγώγιμον εἶναι, ἀλλὰ πολιτείαν ἔδοσαν, καὶ ταύτην ἱκανὴν [e] ὑπελάμβανον εἶναι τὴν τιμήν.
239 καὶ πάλιν Περδίκκᾳ τῷ κατὰ τὴν [f] τοῦ βαρβάρου ποτ' ἐπιστρατείαν βασιλεύοντι [g] Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ Πλαταιῶν τῶν βαρβάρων διαφθείραντι καὶ

p ἔστι] ἔτι s.
q μείζων] μεῖζον Y.
r ἀνδρῶν om. Y.
s πρώτους] πρῶτον F. k. r. s.
t τῶν τότε post Ἀθηναῖοι ponunt F. v.
u μόραν] μοράν F.
x ἐνίκα ναυμαχίαν] ναυμαχίαν ἐνίκα F. v.
y αἷς] Reiskius ἃς.
z ἐπ' αὐτοῖς] αὐτοῖς F. αὐτοῖς v.
a δωρεὰς om. S.
b αὐτοῖς ἐδίδοσαν] ἐδίδοσαν αὐτοῖς F. v.
c ἡμεῖς] ὑμεῖς k. v.
d αὐτὸν ἄν τις] ἄν τις αὐτὸν k. r. s.
e ὑπελάμβανον] ἐνόμιζον γρ. S.
f τοῦ om. v.
g Μακεδονίας] μακεδόνας r.

τέλειον [h]τἀτύχημα ποιήσαντι τῷ βασιλεῖ, οὐκ ἐψηφισαντο ἀγώγιμον [i]εἶναι], ἐὰν τις ἀποκτείνῃ Περδίκκαν, ὦ βασιλεὺς [k]ὁ Περσῶν] ἐχθρὸς δι' [l]ἡμᾶς [m]ἀπεδείδεικτο, 240 ἀλλὰ πολιτείαν ἔδωκαν μόνον. καὶ γάρ τοι τότε μὲν οὕτω τίμιον ἦν πᾶσιν ἀνθρώποις τὸ γενέσθαι [n]πολίταις παρ' ὑμῖν, ὥσθ' ὑπὲρ τοῦ τυχεῖν τούτου τηλικαῦτα [o]ὑμᾶς ἀγαθὰ [p]ἠθελον ποιεῖν, νῦν δ' οὕτως ἄτιμον, ὥστε τῶν τε- 15 τυχηκότων [q]πολλοὶ πλείω κακὰ τῶν φανερῶς ἐχθρῶν 241 [r]εἰσὶν ὑμᾶς εἰργασμένοι. οὐ μόνον δ' αὐτὴ τῆς πόλεως ἡ δωρεὰ προπεπηλάκισται καὶ φαύλη γέγονεν, ἀλλὰ καὶ πᾶσαι διὰ τὴν τῶν καταράτων καὶ θεοῖς [s]ἐχθρῶν ῥητόρων, [t]τῶν τὰ τοιαῦτα γραφόντων ἑτοίμως, πονηρίαν, οἱ 20 τοσαύτην ὑπερβολὴν πεποιηνται τῆς αὐτῶν [u]αἰσχροκερδείας, ὥστε τὰς τιμὰς καὶ τὰς παρ' ὑμῶν δωρεάς, ὥσπερ οἱ τὰ μικρὰ καὶ κομιδῇ φαῦλα ἀποκηρύττοντες, οὕτω πωλοῦσιν ἐπευωνίζοντες καὶ πολλοῖς ἀπὸ τῶν αὐτῶν λημ- 25 242 μάτων γράφοντες πᾶν ὅ τι ἂν βούλωνται. πρῶτον [x]μέν, ἵνα τῶν τελευταίων πρῶτον μνησθῶμεν, Ἀριοβαρζάνην ἐκεῖνον οὐ μόνον αὐτὸν καὶ τοὺς [y]υἱοὺς τρεῖς ὄντας πάντων ἠξίωσαν ὅσων ἠβουλήθησαν, ἀλλὰ καὶ δύο Ἀβυδηνούς, μισαθηναιοτάτους καὶ πονηροτάτους ἀνθρώπους, προσεθη- 688 243 καν αὐτῷ, Φιλίσκον καὶ [z]Ἀγαυόν. πάλιν Τιμοθέου δοξαντός τι ποιῆσαι τῶν δεόντων ὑμῖν, πρὸς [a]τῷ πάνθ' ἁ

[h] τἀτύχημα ποιήσαντι] ποιήσαντι τἀτύχημα v.
[i] [εἶναι] om. F. S. Y. O. v.
[k] [ὁ Περσῶν] om. v.
[l] ἡμᾶς] ὑμᾶς F. k. r. s. v.
[m] ἀπεδείδεικτο] ἀπεδείδικτο v.
[n] πολίταις F. S. Y. O. v.
[o] ὑμᾶς] ἡμᾶς F. v.
[p] ἠθελον] ἤμελλον n.
[q] πολλοὶ] ἔνιοι πολλῷ γρ. S.
[r] εἰσὶν ὑμᾶς] ἡμᾶς εἰσὶν r. s. ὑμᾶς εἰσὶν F. k.
[s] ἐχθρῶν] ἐχθρᾶς O.
[t] τῶν τὰ] τὰ τῶν Y. O.
[u] αἰσχροκερδείας] αἰσχροκερδίας F. S. Y. O. v.
[x] μέν] μὲν τοίνυν F. v.
[y] υἱοὺς] υἱεῖς Y. k. s. υἱοὺς εἰς O.
[z] Ἀγαυόν] ἄγαυον O.
[a] τῷ] τὸ F. et pr. v.

μέγιστ' ἦν αὐτῷ δοῦναι, προσέθηκαν [b]αὐτῷ [c]Φρασικλείδην καὶ Πολυσθένην, ἀνθρώπους οὐδ' [d]ἐλευθέρους, [e]ἀλλ' ὀλέθρους καὶ [f]τοιαῦτα πεποιηκότας οἷα λέγειν ὀκνήσειεν ἄν τις εὖ φρονῶν. τὸ τελευταῖον δὲ νῦν, ἐπειδὴ Κερσοβλέπτην ἠξίουν ὧν αὐτοῖς ἐδόκει, καὶ περὶ τούτων ἦν ἡ σπουδή, προστιθέασι δύο αὐτῷ, τὸν μὲν ὅσα ὑμεῖς ἀκηκόατε εἰργασμένον κακά, τὸν δ' ὅλως [g]ὃν οὐδεὶς οἶδεν ἀνθρώπων
244 τίς ἐστιν, Εὐδέρκην ὄνομα. [h]τοιγάρτοι διὰ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, μικρά, [i]ἃ πρὸ τοῦ μεγάλ' ἦν, φαίνεται, καὶ τὸ πρᾶγμα ἤδη καὶ [k]πορρώτερω βαδίζει, καὶ οὐκέτι ταῦτ' ἀπόχρη, ἀλλ' εἰ καὶ μὴ φυλάξετε ἕκαστον τούτων, ἐκείνων γε οὐδεμία χάρις, ὡς ἔοικεν.

245 Τοῦ μέντοι ταῦθ' οὕτως αἰσχρῶς προεληλυθέναι, εἰ δεῖ μετὰ παῤῥησίας εἰπεῖν τἀληθῆ, οὐδένες ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι μᾶλλόν εἰσιν αἴτιοι. [l]οὐδὲ γὰρ δίκην ἔτι λαμβάνειν ἐθέλετε παρὰ τῶν ἀδικούντων, ἀλλὰ καὶ τοῦτ' ἐξελήλυθεν ἐκ τῆς πόλεως. καίτοι σκέψασθε ὡς ἐκόλαζον οἱ [m]πρόγονοι τοὺς ἀδικοῦντας ἑαυτούς, εἰ παραπλησίως
246 [n]ὑμῖν. ἐκεῖνοι Θεμιστοκλέα λαβόντες μεῖζον [o]αὑτῶν ἀξιοῦντα φρονεῖν ἐξήλασαν ἐκ τῆς πόλεως καὶ μηδισμὸν κατέγνωσαν· καὶ Κίμωνα, ὅτι τὴν [p]Παρίων μετεκίνησε πολιτείαν ἐφ' ἑαυτοῦ, παρὰ τρεῖς μὲν [q]ἀφεῖσαν ψήφους, [r]τὸ μὴ θανάτῳ ζημιῶσαι, πεντήκοντα δὲ τά-

[b] αὐτῷ] αὐτῷ δύο k. r. s.
[c] Φρασικρίδην] φρασικρίδην F. k. r. v. Conf. Timoth. 50. Polycl. 52.
[d] ἐλευθέρους] ἐλευθέρους γε v.
[e] ἀλλ' om. k. r. s. v. et pr. S.
[f] τοιαῦτα] τὰ τοιαῦτα r.
[g] ὃν om. S. Y. O.
[h] τοιγάρτοι] καιγάρτοι F. v.
[i] ἃ ante ἦν ponunt Y. O.
[k] πορρωτέρω] περαιτέρω r. v.
[l] οὐδὲ] οὐ r.
[m] πρόγονοι] πρότερον F. v.
[n] ὑμῖν] ἡμῖν v.
[o] αὑτῶν] αὐτῶ O. αὐτὸν αὐτῶν v.
[p] παρίων Y. παρίων S. vulg. πάτριον.
[q] ἀφεῖσαν] ἀφίσαν k.
[r] τὸ] τῷ k.

λαντα [s]ἐξέπραξαν. καὶ τοῦτον τὸν τρόπον προσεφέροντο τηλικαῦτ' αὐτοὺς ἀγαθὰ εἰργασμένοις ἀνθρώποις. δι- 689
καίως· οὐ γὰρ αὐτοῖς ἀπεδίδοντο τὴν αὐτῶν ἐλευθερίαν
καὶ μεγαλοψυχίαν τῶν ἔργων, ἀλλὰ χρηστοὺς μὲν ὄντας
247 ἐτιμων, ἀδικεῖν δ' ἐπιχειροῦσιν οὐκ ἐπέτρεπον. ὑμεῖς δ',
ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τὰ μέγιστ' ἀδικοῦντας καὶ φα-
νερῶς ἐξελεγχομένους, ἂν ἓν ἢ δύο ἀστεῖα εἴπωσι καὶ
παρὰ τῶν φυλετῶν τινὲς ἠρημένοι σύνδικοι δεηθῶσιν,
ἀφίετε· ἐὰν δὲ καὶ καταψηφίσησθέ του, πέντε καὶ εἴκοσι
δραχμῶν ἐτιμήσατε. καὶ γάρ τοι τότε τὰ μὲν τῆς πόλεως
ἦν εὔπορα καὶ λαμπρὰ δημόσια, ἰδίᾳ δὲ οὐδεὶς ὑπερεῖχε
248 τῶν πολλῶν. τεκμήριον δὲ· τὴν Θεμιστοκλέους μὲν [t]γὰρ
οἰκίαν καὶ [u]Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν, εἴ τις ἄρα
[x]ὑμῶν οἶδεν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῶν πολλῶν οὐδὲν σεμ-
νοτέραν οὖσαν, τὰ δὲ τῆς πόλεως οἰκοδομήματα καὶ [y]κα-
τασκευάσματα τηλικαῦτα καὶ τοιαῦτα, ὥστε μηδενὶ τῶν
ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι, προπύλαια ταῦτα,
νεώσοικοι, στοαί, Πειραιεύς, τἆλλα οἷς κατεσκευασμένην
249 ὁρᾶτε τὴν πόλιν. ὧν δ' ἰδίᾳ μὲν [z]ἑκάστῳ τῶν τὰ κοινὰ
πραττόντων τοσαύτη περιουσία ἐστίν, ὥστε τινὲς μὲν αὐ-
τῶν πολλῶν [a]δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς
ἰδίας κατεσκευάκασιν οἰκίας, γῆν δ' ἔνιοι πλείω πάντων
ὑμῶν τῶν ἐν τῷ δικαστηρίῳ συνεώνηνται· δημοσίᾳ δ' ὑμεῖς
ἃ μὲν οἰκοδομεῖτε καὶ κονιᾶτε, ὡς μικρὰ καὶ γλίσχρα,
250 αἰσχύνη λέγειν. ἀλλ' ἔχετ' εἰπεῖν ὅ τι κοινῇ κτησάμενοι
καταλείψετε, ὥσπερ ἐκεῖνοι Χερρόνησον, Ἀμφίπολιν, δό-
ξαν ἔργων καλῶν; ἦν οἱ τοιοῦτοι πολῖται πάντ' ἀναλίσ-

[s] ἐξέπραξαν S. Y. O. ἐπράξαντο γρ. S. ἔπραξαν F. v. εἰσέπραξαν k. r. s.
[t] γὰρ om. F. S. Y. O.
[u] Μιλτιάδου] τὴν μιλτιάδου F. v.
[x] ὑμῶν οἶδεν] οἶδεν ὑμῶν F. v.
[y] κατασκευάσματα] τὰ κατασκευάσματα v.
[z] ἑκάστῳ] ἑκάστων Y. O.
[a] δημοσίων] τῶν δημοσίων F. v.

κοντες τρόπον οὐχ οἷοί τέ εἰσιν [b] ἀφανίσαι, ὦ ἄνδρες Ἀθη-
251 ναῖοι. εἰκότως. τότε μὲν γὰρ τῷ κυρίῳ τῶν φόρων [c] γενο- 690
μένῳ τάξαι Ἀριστείδῃ οὐδεμιᾷ δραχμῇ πλείω τὰ ὑπάρ-
χοντα [d] ἐγένετο, ἀλλὰ καὶ τελευτήσαντ' αὐτὸν ἔθαψεν ἡ
πόλις· ὑμῖν δ', εἴ τι δέοισθε, χρήματα ὑπῆρχε κοινῇ
πλεῖστα τῶν πάντων Ἑλλήνων, ὥσθ' ὁπόσου χρόνου [e] ψη- 5
252 φίσαισθ' [f] ἐξιέναι, τοσούτου μισθὸν ἔχοντες [g] ἐξῆτε. νῦν δ'
οἱ μὲν τὰ κοινὰ διοικοῦντες ἐκ πτωχῶν [h] εὔποροι καὶ πολ-
λοῦ χρόνου τροφὴν [i] ἄφθονον εἰσιν ἠτοιμασμένοι· ὑμῖν δὲ
οὐδὲ μιᾶς ἡμέρας [k] ἐφόδιά ἐστιν ἐν τῷ κοινῷ, ἀλλ' ἅμα
δεῖ τι ποιεῖν, καὶ πόθεν, οὐκ ἔχετε. τότε μὲν γὰρ [l] ὁ δῆ- 10
253 μος ἦν δεσπότης τῶν πολιτευομένων, νῦν δ' ὑπηρέτης. αἴ-
τιοι δ' οἱ τὰ τοιαῦτα γράφοντες, καὶ συνεθίζοντες ὑμᾶς
ὑμῶν μὲν [m] αὐτῶν καταφρονεῖν, ἕνα δ' ἢ δύο [n] θαυμάζειν
ἀνθρώπους. εἶθ' οὗτοι κληρονομοῦσι τῆς ὑμετέρας δόξης
καὶ τῶν [o] ὑμετέρων, ὑμεῖς δ' [p] οὐδ' ὁτιοῦν ἀπολαύετε, ἀλλὰ 15
μάρτυρές ἐστε [q] τῶν ἑτέρων ἀγαθῶν, οὐδενὸς ἄλλου μετέ-
254 χοντες ἢ τοῦ ἐξαπατᾶσθαι. καίτοι [r] πηλίκον [s] τί ποτ' ἂν
[t] στενάξειαν οἱ ἄνδρες ἐκεῖνοι, οἳ ὑπὲρ δόξης καὶ ἐλευθερίας
τελευτήσαντες καὶ πολλῶν καὶ καλῶν ἔργων ὑπομνήματα 20
[u] καταλιπόντες, εἰ ἄρα αἴσθοιντο ὅτι νῦν ἡ πόλις εἰς ὑπη-

[b] ἀφανίσαι om. s.
[c] γενομένῳ in margine ponit S.
[d] ἐγένετο] ἐγένοντο F. v.
[e] ψηφίσαισθ'] ψηφίσασθ' k.
[f] ἐξιέναι] ἐξεῖναι Y.
[g] ἐξῆτε] ἐξητε F. O. ἐξήϊτε S. ἐξειτε k. r. s. v.
[h] εὔποροι] εἰσὶν εὔποροι F. v.
[i] ἄφθονόν εἰσιν ἠτοιμασμένοι] ἠτοιμασμένοι ἄφθονον F. v.
[k] ἐφόδια] ἐφόδιον k. r. s.
[l] ὁ δῆμος ἦν δεσπότης] ἦν ὁ δῆμος δεσπότης F. ἦν δεσπότης ὁ δῆμος v.
[m] αὐτῶν om. r.
[n] θαυμάζειν ἀνθρώπους] ἀνθρώπους θαυμάζειν F. v.
[o] ὑμετέρων] ὑμετέραν ἀγαθῶν F. v.
[p] οὐδ' om. r.
[q] τῶν] τῶν τῶν s.
[r] πηλίκον] τηλίκον k. r. s.
[s] τι recepi ex S. Y. O.
[t] στενάξειαν] στενάξαιεν O. k. r. s.
[u] καταλιπόντες] καταλείποντες S.

ρέτου σχῆμα καὶ τάξιν [a]προελήλυθε, καὶ Χαριδήμου [y]εἰ χρὴ φρουρεῖν βουλεύεται; Χαριδήμου; οἴμοι.

255 Ἀλλ' οὐ τοῦτ' ἔστι τὸ δεινόν, εἰ τῶν προγόνων, εἰ διενηνόχασιν ἁπάντων ἀρετῇ, χεῖρον βουλευόμεθα, ἀλλ' ὅτι καὶ πάντων ἀνθρώπων. πῶς γὰρ οὐκ αἰσχρὸν [z]Αἰγινήτας μὲν τουτουσὶ, νῆσον οἰκοῦντας οὕτω μικρὰν καὶ οὐδὲν ἔχοντας ἐφ' ᾧ μέγα [a]χρὴ φρονεῖν αὐτούς, Λάμπιν, ὃς μέγιστα ναυκλήρια κέκτηται τῶν Ἑλλήνων καὶ κατεσ- 691
κεύακε τὴν πόλιν αὐτοῖς καὶ τὸ ἐμπόριον, μηδέπω καὶ τήμερον πολίτην πεποιῆσθαι, ἀλλὰ μόλις [b]τῆς ἀτελείας
256 αὐτὸν ἠξιωκέναι τῆς τοῦ μετοικίου· καὶ Μεγαρέας τουτουσὶ τοὺς καταράτους οὕτως εὖ τὰ παρ' αὐτοῖς σεμνύνειν, ὥστε [c]Ἕρμωνα τὸν κυβερνήτην, τὸν μετὰ Λυσάνδρου λαβόντα τριήρεις [d]διακοσίας ὅτ' ἐν Αἰγὸς ποταμοῖς ἠτυχήσαμεν ἡμεῖς, πεμψάντων Λακεδαιμονίων καὶ κελευόντων [e]ποιησασθαι πολίτην [f]ἀποκρίνασθαι ὅτι, ὅταν αὐτοὺς ἴδωσι Σπαρτιάτην αὐτὸν πεποιημένους, τότε [g]αὐτοὶ Με-
257 γαρέα ποιήσονται· καὶ Ὠρείτας ἐκείνους, μέρος τέταρτον Εὐβοίας οἰκοῦντας, τὸν Χαριδήμου τοῦτον αὐτόν, ᾧ μήτηρ μὲν ὑπάρχει πολῖτις ἐκεῖ, πατὴρ δὲ οὐκ ἐρῶ τις ἢ πόθεν (οὐδὲν γὰρ δεῖ πλείω τῶν ἀναγκαίων αὐτὸν ἐξετάζεσθαι) ἀλλ' ὅμως τὸ ἥμισυ τοῦ γένους [i]αὐτοῦ συμβαλλομένου τοῦ [k]ἡμίσεος μέχρι τῆς τήμερον ἡμέρας οὐκ ἠξιώκασιν, ἀλλ' εἰς τοὺς νόθους ἐκεῖ συντελεῖ, καθάπερ ποτὲ ἐνθάδε

[a] προελήλυθε] προσελήλυθε k. r.
[y] εἰ] εἰ τοῦτο εἰ F. k. v.
[z] Αἰγινήτας] αἰσχυνήτας r.
[a] χρὴ φρονεῖν] χρὴ φρονεῖν εἰκὸς ἦν F. ὃν φρονεῖν εἰκὸς ἦν v.
[b] τῆς ἀτελείας αὐτὸν] αὐτὸν τῆς ἀτελείας v.
[c] Ἕρμωνα] Ἕρμωνα v.
[d] διακοσίας] τριακοσίας F.
[e] ποιήσασθαι πολίτην] πολίτην ποιήσασθαι v.
[f] ἀποκρίνασθαι] ἀποκρίνασθαι αὐτοῖς F.v. ἀποκρίνασθαι αὐτοὺς k.r.s.
[g] αὐτοὶ] καὶ αὐτοὶ F. s. v.
[h] οὐδὲν] οὐδένα r.
[i] αὐτοῦ συμβαλλομένου] αὐτοῦ συμβαλομένου S. Y. αὐτῷ συμβαλλομένου k. r. s.
[k] ἡμίσεος] ἡμίσεως s.

258 εἰς Κυνόσαργες οἱ νόθοι· ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πάσης τῆς πόλεως μεταδόντες αὐτῷ καὶ τετιμηκότες ἄλλοις, ἔτι καὶ τοῦτ' αὐτῷ προσθήσετε; ὅτι τί; ποίας ἔλαβε ναῦς [l]ὑμῖν, δι' ἃς ὑπὸ τῶν ἀπολωλεκότων ἐπιβουλεύεται; ἢ ποίαν πόλιν [m]παρέδωκεν αἰσχμάλωτον λαβών; ἢ τίνας κινδύνους ὑπὲρ [n]ὑμῶν κεκινδύνευκεν; ἢ τίνας ἐχθροὺς τοὺς αὐτοὺς [o]ὑμῖν ἤρηται; [p]οὐδεὶς ἂν εἰπεῖν ἔχοι.

259 Περὶ [q]δὴ τῶν νόμων ὧν παραγεγράμμεθα, ὦ ἄνδρες [r]δικασταί, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπὼν καταβαίνειν, ἃ νομίζω μνημονεύοντας [s]ἂν ὑμᾶς ἄμεινον φυλάττειν, ἂν παράγειν καὶ φενακίζειν οὗτοι ζητῶσιν [t]ὑμᾶς. ὁ πρῶτος 692 νόμος ἄντικρυς εἴρηκεν, ἄν τις ἀποκτείνῃ, [u]τὴν βουλὴν δικάζειν· ὁ δ', ἄν τις ἀποκτείνῃ, εὐθὺς γέγραφεν ἀγώγιμον εἶναι. τοῦτο φυλάττετε καὶ μέμνησθε, ὅτι πάντων [x]ἐναντιώτατόν ἐστι τῷ κρίνειν [y]τὸ μὴ [z]διδόντα κρίσιν ἔκδοτον 260 ποιεῖν. οὐκ ἐᾷ μετὰ ταῦτα ὁ δεύτερος νόμος οὐδὲ τὸν ἁλωκότα ἀνδροφόνον λυμαίνεσθαι οὐδὲ χρήματα πράττεσθαι· ὁ [a]δ' ἐν τῷ ποιεῖν ἀγώγιμον πάντα ταῦτα δέδωκεν· ἐπὶ γὰρ τοῖς λαβοῦσιν ἔσται ποιεῖν ὅ τι ἂν βούλωνται. ἀπάγειν ὁ νόμος ὡς τοὺς θεσμοθέτας κελεύει, καὶ τοῦτ', ἂν ἐν τῇ τοῦ πεπονθότος λάβῃ τις πατρίδι· ὁ δ' ἀγώγιμον αὐτῷ τῷ τὴν αἰτίαν ἐπενεγκόντι δίδωσιν ὡς αὐ- 261 τόν, κἂν τῆς ἀλλοτρίας που λάβῃ. ἔστιν ἐφ' οἷς ἀδικήμασι δέδωκεν ἀποκτείνειν ὁ νόμος· ὁ δ' οὐδὲν ὑπειπών, κἂν ἐπὶ τούτοις [b]τις κτείνῃ, δίδωσιν ἔκδοτον τὸν ἀθῷον

[l] ὑμῖν] ἡμῖν S. Y. O. k. r. s.
[m] παρέδωκεν] παραδέδωκεν k. r. s.
[n] ὑμῶν] ἡμῶν k.
[o] ὑμῖν om. k. r. s.
[p] οὐδεὶς ἂν] οὐδ' ἂν εἷς F. v.
[q] δὴ] δὲ δὴ F. v. μὲν δὴ k. r. s.
[r] δικασταί om. r.
[s] ἂν ante ὑμᾶς om. F. S. Y. O. v.
[t] ὑμᾶς om. S.
[u] τὴν] τινὰ τὴν F. Y. O. v.
[x] ἐναντιώτατόν ἐστι] ἐστὶν ἐναντιώτατον F. k. r. s. v.
[y] τὸ] τὸν F.
[z] διδόντα] δόντα F. k. r. s. v.
[a] δ' ἐν] δὲ Y. O.
[b] τις κτείνῃ] κτείνῃ τις v.

ἀφειμένον ἐν τοῖς νόμοις. ἐάν τις πάθῃ τι τοιοῦτον, δίκας
ὁ νόμος κελεύει [c]αἰτεῖν πρῶτον· ὁ δὲ τοὐναντίον εὐδεμίαν
κρίσιν οὔτ' αὐτὸς εἰπὼν οὔτε, παρ' ὧν [d]ἀξιοῖ λαβεῖν, αἰ-
τήσας, ἀγώγιμον [e]εὐθὺς ἔγραψε, κἄν τις ἁφαιρῆται,
262 παραχρῆμα ἔκσπονδον [f]ποιεῖ. τὸ ἀνδροληψιον, παρ' [g]οἷς
ἂν ὁ δράσας ᾖ, [h]ἐὰν μὴ διδῶσι δίκας, κελεύουσιν οἱ νόμοι
μέχρι τριῶν εἶναι· ὁ δέ, ἂν ἀφέληταί τις τὸν ἄγοντα μὴ
βουλόμενος πρὸ δίκης ἐκδοῦναι, εὐθὺς ἔκσπονδον ποιεῖ.
οὐκ ἐᾷ [i]ὁ νόμος] νόμον, [k]ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι
τιθῇ τις, εἰσφέρειν· ὁ δ' ἐπ' ἀνδρὶ γράφει ψήφισμα ἴδιον.
οὐκ ἐᾷ ψήφισμα ὁ νόμος κυριώτερον εἶναι νόμου· ὁ δ'
ὑπαρχόντων [l]τοσούτων νόμων ψήφισμα ποιεῖ κύριον τοὺς
263 νόμους ἀναιρῶν. ταῦτα φυλάττετε καὶ μεμνημένοι κά- 693
θησθε. καὶ τὰς μὲν παραγωγάς, ἃς οὗτοι ποιήσονται,
χαίρειν ἐᾶτε καὶ μὴ ἐπιτρέπετε λέγειν αὐτοῖς, κελεύετε
δὲ δεῖξαι, ποῦ γέγραφε κρίσιν, ἢ ποῦ γέγραφεν, ἄν τις
[m]ἀλῷ φόνου, [n]κατὰ τούτου τὰς τιμωρίας [[o]εἶναι]. εἰ
γὰρ ἢ τὸν ἄλλοθί που κριθέντα καὶ ἁλωκότα ὅτι δεῖ κο-
λάζειν ἔγραψεν, ἢ αὐτὸς ἔγραψε κρίσιν εἰ πεποίηκεν ἢ
264 οὔ καὶ εἰ δικαίως ἢ ἀδίκως, οὐκ ἂν ἠδίκει. εἰ δὲ τὸ τῆς
αἰτίας ὄνομα [p]αὐτὸ γράψας "ἄν τις ἀποκτείνῃ," καὶ
ὑπερβὰς τὸ "[q]καὶ ἁλῷ φόνου" καὶ τὸ "δοξῃ ἀπεκτονέ-
"ναι" καὶ τὸ "δικας ὑπεχέτω τοῦ φόνου" καὶ τὸ "τὰς
"τιμωρίας εἶναι κατ' αὐτοῦ τὰς αὐτὰς ἄσπερ, ἂν τὸν

[c] αἰτεῖν] ἀπαιτεῖν F. Y. O. v.
[d] ἀξιοῖ] αὐτὸς ἀξιοῖ F. αὐτοῖς ἀξιοῖ v.
[e] εὐθὺς ἔγραψε] ἐποίησε Y. O.
[f] ποιεῖ. τὸ om. pr. S.
[g] οἷς] ὧν S. ἂν οἷς v.
[h] ἐὰν] ἐὰν δὲ F. Y. O. v.
[i] [ὁ νόμος] om. omnes.
[k] ἐὰν μὴ] εἰ μὴ r. s. v.
[l] τοσούτων om. S. k. r. s.
[m] ἁλῷ] ἀποκτεῖναι καὶ ἁλῷ γρ. S.
[n] κατὰ] καὶ om. S.
[o] [εἶναι] om. S. k. r. s.
[p] αὐτὸ γράψας] ἐναγράψας k. r. s.
[q] καὶ ἁλῷ] κἂν ἁλῷ r. καὶ ἐὰν ἁλῷ F. k. s. v. καὶ ἄλλα Y. O.

"'Αθηναῖον [r]κτείνῃ," καὶ πάνθ' ὅσα ἐστὶ δίκαια ὑπερβὰς ἀγώγιμον εἶναι γέγραφε, μὴ φενακίζεσθε, ἀλλ' εὖ ἴστε ὅτι [s]πάντων παρανομώτατα εἴρηκεν.

[r] κτείνῃ] ἀποκτείνῃ F. v. [s] πάντων] πάντων ἀνθρώπων F. Y. O. v.

ΚΔ.

ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ. 694

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Διόδωρος μὲν κἀνταῦθα ὁ [a]κατήγορος· κατηγορεῖ [b]δὲ νόμου μάλα φιλανθρώπου, ὑπὲρ ἀπὸ τῆς αὐτίας καὶ τῆς τοῦ γεγραφότος γνώμης διαβάλλειν αὐτὸν πειρᾶται. ἔστι δ' ὁ νόμος ὁ τοῦ Τιμοκράτους τοιοῦτος, εἴ [c]τινι Ἀθηναίων ἐπ' ὀφλήματι δημοσίῳ προστετίμηται δεσμοῦ ἢ καὶ τὸ λοιπὸν προτιμηθείη, [d]ἐξεῖναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ αὐτοῦ ἐγγυητὰς καταστήσαντι τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ. ἢ μὴν ἐντὸς ῥητῆς προθεσμίας ἐκτίσειν, [e]ἀφεῖσθαι τοῦ δεσμοῦ· ἐὰν δὲ ἐπιστάντος τοῦ χρόνου μὴ ἐκτισθῇ τὸ ὄφλημα, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. τοῦτον αἰτιᾶται τὸν νόμον ὁ κατήγορος οὐχ ὑπὲρ τοῦ κοινοῦ γεγράφθαι, ἀλλ' ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκίου καὶ Μελανώπου. οὗτοι γάρ, [f]φησί, πεμφθέντες εἰς Καρίαν πρεσβευταὶ καὶ πλέοντες ἐν [g]τριήρει, περιπεσόντες Ναυκρατίταις ἀνθρώποις ἐμπόροις, ἀφείλοντο αὐτῶν τὰ χρήματα. εἶθ' οἱ Ναυκρατῖται μὲν ἐλθόντες Ἀθήναζε τὸν δῆμον ἱκέτευον, ὁ δὲ δῆμος ἔγνω πολέμια εἶναι τὰ χρήματα, καὶ μὴ δεῖν ἀποδοῦναι τοῖς ἐμπόροις. τούτων δὲ οὕτω γενομένων [h]Ἀρχέβιος καὶ Λυσιθείδης οἱ [i]τριήραρχοι τῆς νεώς, ἐφ' [k]ἧς ἔπλεον οἱ περὶ τὸν Ἀνδροτίωνα, [l]εἰσεπράττοντο τὰ χρήματα. ὡς δὲ ἐκεῖνοι μὲν οὐκ ἐφάνησαν ἔχοντες αὐτά, οἱ πρεσβευταὶ δὲ ὡμολόγουν ἔχειν [αὐτά], καὶ ἔδει τῶν χρῆ- 695
μα [m]καταβαλεῖν ἢ τοῖς νόμοις ὑποπίπτειν τοῖς τῶν ἀφειλόντων τὰ δημόσια, διὰ τοῦτο, φησί, τοῦτον τὸν νόμον Τιμοκράτης βοηθοῦντα ἐκείνοις ἔθηκεν. ὁ μέντοι Τιμοκράτης ἐκτετικέναι φησὶ τὰ χρήματα τοὺς περὶ Ἀνδροτίωνα, καὶ ἔξιον ἐντεῦθεν εἶναι ὡς οὐκ ἐκείνων ἕνεκα τὸν νόμον εἰσένεγκεν [n]αὐτός. κατη-

[a] κατήγορος] κατήγορος ἀνδροτίωνος Y.
[b] δὲ de meo addidi.
[c] τινι] τι F. τις v.
[d] ἐξεῖναι] εἶναι F. Y.
[e] ἀφεῖσθαι] ἀφίστασθαι Y.
[f] φησί recepi ex F. post πλέοντες enim, ubi vulgo ponitur, om. omnes.
[g] τριήρει] τῇ τριήρει F.
[h] Ἀρχέβιος] ἀρχέβιος Y.
[i] τριήραρχοι] τριπαρχαῖ F. τριήραρχαι Y.
[k] ἧς] ᾗ v.
[l] εἰσεπράττοντο] εἰσέπραττον Y.
[m] καταβαλεῖν] καταβάλλειν Y.
[n] αὐτὸς] Libri αὐτοῦς.

γορεῖ δὲ ὁ Διόδωρος καὶ [o] ἄλλο τοῦ νόμου· τήν τε γὰρ θέσιν αὐτοῦ μέμφεται ὡς γεγονυῖαν παρὰ νοὺς νόμους, καὶ ὑπεναντίον εἶναι [p] τοῖς ἀρχαίοις φησί, καὶ ἀσύμφορον τοῖς κοινοῖς ἐπιδείκνυσιν.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Πολέμου τυγχάνοντος Ἀθηναίοις πρὸς βασιλέα, κατὰ τοῦτον τὸν χρόνον ἐγράφη ψήφισμα πλοῖα σῦλα πολεμίων εἶναι καὶ γίνεσθαι τὰ τιμήματα τῶν κλοπῶν δημόσια. Μαύσωλος, τῆς Καρίας σατράπης, ἣν τὰς πέραν νήσους κακῶς ποιῶν. κατεβόων οἱ βλαπτόμενοι, καὶ τοὺς Ἀθηναίους ἐπεκαλοῦντο. ἔδοξε διὰ πρέσβεων τέως αἰτιάσασθαι τὸν Κᾶρα. πέμπουσιν οὖν Ἀνδροτίωνα καὶ Μελάνωπον καὶ Γλαυκίαν πρὸς τὸν ἄρχοντα Μαύσωλον, τὸν τῆς Ἀρτεμισίας ἄνδρα καὶ ἀδελφόν, ὡς ἀδικοῦντα τὰς νήσους αἰτιασομένους, καὶ βασιλεῖ χαριζόμενον, δι' ὃν κακῶς ἐποίει τοὺς Ἕλληνας. οὗτοι νηῒ περιτυχόντες Ναυκρατικῇ Αἰγύπτια ἐχούσῃ φορτία (διεκόμιζον δὲ τούτους τοὺς πρέσβεις Ἀρχέβιος καὶ Λυσιθείδης τριήραρχοι) κατάγουσιν εἰς τὸν Πειραιᾶ τὴν ὁλκάδα. καὶ λόγων γενομένων τοῖς Αἰγυπτίοις πρὸς τὸν δῆμον καὶ ἱκετειῶν, οὐδὲν ἧττον ἐκρίθη τὰ χρήματα εἶναι δημόσια ὡς πολεμίων ὄντων τῶν Αἰγυπτίων. νόμου 696
δὲ προστάττοντος τὸν χρησάμενον δημοσίοις χρήμασιν ἐπ' ἐνιαυτὸν ὅλον διπλάσια ταῦτα διδόναι, κατασχόντες οἱ πρέσβεις οὗτοι τάλαντα ἐννέα καὶ τριάκοντα μνᾶς τῶν ἀπεμποληθέντων φορτίων ἐκ τῆς νεὼς ὑπεύθυνοι ἐγίνοντο τῷ δημοσίῳ, καὶ [q] τῷ διπλασίῳ. σπανιότητος δὲ χρημάτων κατασχούσης τὸν δῆμον, Ἀριστοφῶν τις δημαγωγὸς ἔγραψε ψήφισμα ἐλέσθαι ζητητὰς τῶν ὀφειλόντων τῇ πόλει καὶ ἀποπειρωμένους διαλαθεῖν, καὶ τούτους μηνύειν. ἐμήνυσεν Εὐκτήμων ὁ πρὸς Ἀνδροτίωνα μικρῷ πρόσθεν ἀγωνισάμενος, νυνὶ δὲ πρὸς Τιμοκράτην, ἔχειν Ἀρχέβιον καὶ Λυσιθείδην ἐκ τῆς Αἰγυπτίας ὁλκάδος τάλαντα ἐννέα καὶ τριάκοντα μνᾶς [ἔγραψε δηλονότι], φεύγων μὲν τὴν ἐκ τοῦ προφανοῦς πρὸς Ἀνδροτίωνα μάχην, διὰ δὲ τῆς τῶν τριηράρχων μνήμης οὐδὲν ἧττον ἐπιβουλεύων τῷ Ἀνδροτίωνι. διαδικασίας δὲ γενομένης τοῖς πρέσβεσι πρὸς τοὺς τριηράρχους, ἡττήθησαν οἱ πρέσβεις καὶ [r] ὤφειλον τὰ χρήματα. προστάττοντος δὲ νόμου τὸν ὀφείλοντα ἐπὶ τοῦ δευτέρου ἐνιαυτοῦ δεδέσθαι, ἕως ἂν ἐκτίσῃ, ἔμελλον τῷ δεσμῷ καὶ οἱ πρέσβεις καθυποβάλλεσθαι. ἐν δὲ τῷ καιρῷ τούτῳ, ἀρχομένου τοῦ δευτέρου ἐνιαυτοῦ, ἐν ᾧ καὶ δεθῆναι τοὺς πρέσβεις ἐχρῆν, ἔγραψε Τιμοκράτης νόμον τοιοῦτον, εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ δεσμοῦ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα ἢ καὶ τὸ λοιπὸν προστιμηθῇ, ἐξεῖναι αὐτῷ καταστήσαντι τρεῖς ἐγγυητὰς ἢ μὴν ἐκτίσειν, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἀφί- 697
εσθαι τοῦ δεσμοῦ· ἐὰν δὲ μὴ ἐκτίσῃ αὐτὸς ἢ οἱ ἐγγυηταί, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. τούτου τοῦ νόμου γρα-

[o] ἄλλο] vulg. κατ' ἄλλο.
[p] τοῖς ἀρχαίοις φησί] φησὶ τοῖς ἀρχαίοις v.
[q] τῷ διπλασίῳ] Addendum fortasse ἔνοχοι.
[r] ὤφειλον] Immo ὤφλον.

φὴν ἀπηγόρευτο Διόδωρος καὶ Εὐκτήμων ὡς παρανόμου καὶ ἀδίκου καὶ ἀσυμφόρου. Ἀνδροτίων δὲ καὶ Γλαυκίας καὶ Μελάνωπος, συνιέντες δ' αὐτοὺς γεγενῆσθαι τὴν γραφήν, καταβάλλουσιν ἐπὶ τάλαντα καὶ τριάκοντα μνᾶς. ὅσως μὲν γὰρ οὐκ ἂν καταβαλόντες, εἰ μὴ τὴν γραφὴν ἀπέδοσαν οἱ κατήγορει, ὅμως δ' οὖν κατέβαλον. κατηγορεῖ τοίνυν Εὐκτήμων καὶ Διόδωρος, φάσκοντες μὲν διὰ τοὺς πρίσβεις γεγράφθαι τὸν νόμον· εἰ δὲ καὶ ἐξέτασαν ἐν τῷ μεταξὺ χρόνῳ, [a]δεδομένης τῆς γραφῆς τοῦτο ἐποίησαν, ὥστε τὴν προαίρεσιν τοῦ νομοθέτου ὑπαιτίαν εἶναι. οὐδὲν δὲ ἧττον ἐξετάζει τὸν νόμον ὁ ῥήτωρ ὡς καὶ κατ' ἄλλον τρόπον ἔχοντα κακῶς· καὶ γὰρ παρανόμως τεθεῖσθαί φησι καὶ ὑπεναντίως ἔχειν τοῖς νόμοις, καὶ ἄλλως ἀδικεῖν καὶ βλάπτειν, δι' ὃν προστάττει, τὴν πόλιν. διὰ ταῦτα γοῦν καὶ αἱ ὑποθέσεις τοῦ λόγου δύο, μία μὲν ὅτι διὰ τοὺς πρίσβεις γέγραπται, ἑτέρα δὲ ὅτι ὑπεναντίος τοῖς νόμοις καὶ ἐπιζήμιος καὶ ἄδικος. ὥστε εἰ ἠδύνατο ἐκφυγεῖν ὁ Τιμοκράτης τὴν αἰτίαν τοῦ μὴ διὰ τοὺς πρίσβεις γεγραφῆναι, ἀλλ' οὖν γε τοῦ μὴ ποιηρὸν εἶναι οὐ διαφεύξεται. ἠδύνατο μὲν γὰρ τοῦ νομοθέτου κατηγορεῖν ὁ Διόδωρος, ὅτι ποιηρὸν ἔγραψε νόμον καὶ ὑπεναντίον τοῖς νόμοις, καὶ ἤρκεσεν ἂν αὐτῷ πρὸς ὑπόθεσιν ταῦτα· νῦν δὲ [b]κατὰ τὴν τῶν πρίσβεων προσβολὴν διαβολὴν ἕνεκα τοῦ νομοθέτου. ἡ μὲν οὖν ὑπόθεσις τῆς αἰτίας, δι' ἣν ἔθηκε τὸν νόμον, στοχαστική· ζητεῖται γὰρ εἰ διὰ τοὺς πρίσβεις ἔθηκεν ἢ οὔ· ἡ δὲ κατὰ τὸν νόμον πραγματική· καθόλου γὰρ πᾶσα κατηγορία ῥητοῦ πραγματικὴν ἀπεργάζεται στάσιν. ῥητοῦ δὲ λόγου οὐκ ἐξ οὗπερ ἕτερόν τι ζητεῖται, ὥσπερ ἐν στοχασμῷ, οὐδὲ τοῦ ἀναφερομένου εἰς τέχνην καὶ ἐξουσίαν, ὥσπερ ἐν ἀντιλήψει. ἐκεῖ μὲν ἐπὶ τοῖς ἐπιβεβηκόσιν ἡ κρίσις, ἐν δὲ τῇ πραγματικῇ ἐπὶ μέλλουσι. καὶ δεῖ γεγράφθαι τὸ ῥητὸν ἐν νόμῳ καὶ ἐν ψηφίσμασιν. ἔστι τοίνυν τούτου τοῦ λόγου κεφάλαια τέσσαρα, ἓν μὲν τὸ νόμιμον, ὃ διαιρεῖται διχῇ, εἴς τε τὸ πρόσωπον καὶ εἰς τὸ πρᾶγμα, τουτέστιν εἰς αὐτὸν τὸν νόμον, ὅπως ἐναντίος ἐστὶ τοῖς νόμοις, δεύτερον τὸ δίκαιον, τρίτον τὸ συμφέρον, ὅτι ἐπιζήμιος, τέταρτον τὸ δυνατόν, ὅτι καὶ ἀδυνάτους ἐπιτάττει πράξεις. ἡ κρινομένη οὖν ὑπόθεσίς ἐστιν αὕτη ἡ ἐν τοῖς κεφαλαίοις. τὴν γὰρ κατὰ τῶν πρίσβεων ὑπόθεσιν ἐν τῇ καταστάσει καὶ παρεμβάσει τέθεικε διαβολῆς ἕνεκα δηλονότι. ἐπειδὴ γὰρ ὁ νόμος δοκεῖ φιλανθρωπότατος εἶναι, τῶν δεσμῶν ἀφιείς, τούτου ἕνεκα ἀντέθηκε πλεῖστα μὲν καὶ ἄλλα, μάλιστα δὲ τὰ δύο ταῦτα, τήν τε ὑπόθεσιν τὴν κατὰ τοὺς πρίσβεις, ἵνα τῇ ὑποψίᾳ ταύτῃ τὸν ἀκροατὴν πείσῃ, τὴν ὑπεψίαν δοὺς κατὰ τοῦ ἀντιδίκου ὡς τὸν νόμον δι' αἰσχροκέρδειαν τεθεικότος ὑπὲρ ῥητόρων καὶ πολιτευομένων, ἁρπάσαι τὰ κοινὰ προαιρουμένων, καὶ τὸ ἀτίμωρον, ἐν ᾧ ἀπιστερῆσαι τὴν πόλιν ἁπάντων τῶν ὀφλημάτων δίδωσι. πρὸς δὲ τὸ δυνατόν, ὅτι εἰ καὶ ἐβουλόμεθα, οὐκ ἦν δυνατόν· ἀναιροῦνται γὰρ τῆς πολιτείας οἱ κανόνες. μὴ ἀγνοῶμεν δὲ ὅτι τὸ μὲν νόμιμον κεφάλαιον ἐν ἐντι-

[a] δεδομένης] Libri δεδομένης.
[b] κατὰ] Malim. καί, et paullo post διαβολῆς.

λέστατα εἴργασται, τὸ δὲ δίκαιον καὶ τὸ συμφέρον καὶ τὸ δυνατὸν ἀλλήλοις συμπλέκεται. καὶ τὸ μὲν συμφέρον ἐν τούτοις ἐστὶ τὸ προηγούμενον, κατασκευάζεται δὲ διά τε τοῦ δικαίου καὶ τοῦ ἀδίκου καὶ τοῦ ἀδυνάτου· πᾶν γὰρ ἄδικον καὶ ἀσύμφορον. τῷ δ' αὐτῷ καὶ περὶ τοῦ ἀδυνάτου βιάζεται χρῆσθαι λόγῳ· ὃ γὰρ ἀδύνατόν φησι, τοῦτο δὴ καὶ ἀσύμφορον. καὶ ἐπειδὴ Τιμοκράτης πολύς ἐστι τῇ φιλανθρωπίᾳ τοῦ νόμου χρώμενος, αὕτη δὲ ἐπὶ τὸ δίκαιον ἀναφέροιτο ἄν, διὰ τοῦτο Δημοσθένης πανταχοῦ τῷ ἀσυμφόρῳ κέχρηται, δεικνὺς ἐπιβλαβῆ καὶ ἐπιζήμιον τυγχάνοντα τῇ πόλει τὸν νόμον.

Τοῦ μὲν ἀγῶνος, ὦ [u] ἄνδρες [x] δικασταί, τοῦ παρόντος 700
οὐδ' ἂν αὐτὸν [y] οἶμαι Τιμοκράτην εἰπεῖν ὡς αἴτιός ἐστιν
ἄλλος τις αὐτῷ πλὴν αὐτὸς αὑτῷ. χρημάτων γὰρ οὐκ
ὀλίγων ἀποστερῆσαι βουλόμενος τὴν πόλιν, παρὰ πάντας 5
τοὺς νόμους νόμον εἰσήνεγκεν οὔτ' ἐπιτήδειον οὔτε δίκαιον,
2 ὦ ἄνδρες δικασταί. ὃς τὰ μὲν ἄλλ' ὅσα λυμανεῖται καὶ
χεῖρον ἔχειν τὰ κοινὰ ποιήσει, κύριος εἰ γενήσεται, τάχα
δὴ καθ' ἕκαστον ἀκούοντες ἐμοῦ μαθήσεσθε, ἓν δ', ὃ μέ- 10
γιστον ἔχω καὶ προχειρότατον [z] πρὸς ὑμᾶς εἰπεῖν, οὐκ
[a] ἀποτρέψομαι· τὴν γὰρ ὑμετέραν ψῆφον, ἣν ὀμωμοκότες
περὶ πάντων φέρετε, λύει καὶ ποιεῖ τοῦ μηδενὸς ἀξίαν ὁ
3 τουτουὶ νόμος, οὐχ ἵνα κοινῇ [b] τι τὴν πόλιν ὠφελήσῃ (πῶς 15
γάρ; ὅς γε, ἃ δοκεῖ συνέχειν τὴν πολιτείαν, τὰ δικαστήρια, ταῦτα ἄκυρα ποιεῖ τῶν προστιμημάτων [c] τῶν ἐπὶ
τοῖς ἀδικήμασιν ἐκ τῶν νόμων ὡρισμένων) ἀλλ' ἵνα τῶν
πολὺν χρόνον ὑμᾶς τινὲς ἐκκεκαρπωμένων καὶ πολλὰ
τῶν ὑμετέρων διηρπακότων μηδ' ἃ κλέπτοντες φανερῶς 20
4 [d] ἐλήφθησαν καταθῶσι. καὶ [e] τοσούτῳ ῥᾷόν ἐστιν ἰδίᾳ
τινὰς θεραπεύειν ἢ τῶν ὑμετέρων [f] δικαίων προΐστασθαι,

[u] ἄνδρες om. ut solet, k.
[x] δικασταί om. s.
[y] οἶμαι] vulgo οἴομαι.
[z] πρὸς ὑμᾶς εἰπεῖν] εἰπεῖν πρὸς ὑμᾶς v.
[a] ἀποτρέψομαι] ἀποκρύψομαι γρ. S. r.
[b] τι om. O. et Anecd. p. 149, 17.
[c] τῶν ante ἐπὶ om. omnes præter rec. S.
[d] ἐλήφθησαν] ἠλέγχθησαν Anecd. l. l.
[e] τοσούτῳ] τοσοῦτο k.
[f] δικαίων] δικαίως r.

ὥστε οὗτος μὲν ἔχει παρ' ἐκείνων ἀργύριον καὶ οὐ πρότερον [e]τοῦτον εἰσηνεγκεν ὑπὲρ αὐτῶν τὸν νόμον, ἐμοὶ [b]δ' ἐν χιλίαις 701
ὑπὲρ ὑμῶν [i]ὁ κίνδυνος· [k]τοσοῦτον ἀπέχω τοῦ λαβεῖν τι παρ'
5 ὑμῶν. εἰσὶ μὲν οὖν οἱ πολλοὶ τῶν πράττειν τι προαιρουμένων τῶν κοινῶν λέγειν ὡς ταῦθ' ὑμῖν σπουδαιότατ' ἐστὶ καὶ μάλιστ' ἄξιον προσέχειν [l]τούτοις, ὑπὲρ ὧν [m]ἂν αὐτοὶ τυγχάνωσι ποιούμενοι τοὺς λόγους. ἐγὼ δ', εἴπερ [n]τινὶ τοῦτο καὶ ἄλλῳ προσηκόντως εἴρηται, νομίζω [o]κἀμοὶ
6 νῦν ἁρμόττειν εἰπεῖν. τῶν γὰρ ὄντων ἀγαθῶν τῇ πόλει καὶ τοῦ δημοκρατουμένην καὶ ἐλευθέραν εἶναι ὡς ἄλλο τι 10
τῶν νόμων αἰτιώτερόν ἐστιν, [p]οὐδ' ἂν ἕνα [q]εἰπεῖν οἶομαι. περὶ τοίνυν αὐτοῦ τούτου νῦν ὑμῖν [r]ἐστί, πότερον δεῖ τοὺς μὲν ἄλλους [s]νόμους, οὓς ἐπὶ τοῖς ἀδικοῦσι τὴν πόλιν [t]ὑμεῖς ἀνεγράψατε, ἀκύρους εἶναι, [u]τόνδε δὲ κύριον, ἢ 15
τοὐναντίον τοῦτον μὲν λῦσαι, κατὰ χώραν δὲ μένειν τοὺς ἄλλους ἐᾶν. τὸ μὲν οὖν πρᾶγμα, [x]περὶ οὗ [y]δεῖ νῦν ὑμᾶς γνῶναι, ὡς ἐν κεφαλαίῳ τις ἂν εἴποι, τοῦτ' ἐστίν.
7 Ἵνα δ' ὑμῶν μηδεὶς θαυμάζῃ, τί δή ποτ' ἐγὼ μετρίως, [z]ὡς γ' ἐμαυτὸν πείθω, τὸν ἄλλον χρόνον βεβιωκὼς 20
νῦν ἐν ἀγῶσι καὶ γραφαῖς δημοσίαις ἐξετάζομαι, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν· ἔσται δὲ ταῦτ' οὐκ [a]ἀπὸ
8 τοῦ πράγματος. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέ-

[e] τοῦτων] τούτων r.
[b] δ' ἐν] δὲ F.Y.r. et pr. O. δεῖν γρ. F.
[i] ὁ] ὅσθ' ὁ F. k. v.
[k] τοσοῦτον] τοσοῦτ' Y. O. r. v.
[l] τούτοις] τούτοις τὸν νῦν F. Y.
[m] ἂν om. O.r.v. sed v. in margine ἄν τινες.
[n] τινὶ post τοῦτο ponunt k. r. post ἄλλῳ s.
[o] κἀμοὶ ante νομίζω ponunt k.s. post νῦν v.
[p] οὐδ' ἂν ἕνα] οὐδέν' ἂν O. k. r. s. οὐδὲν ἂν Y.
[q] εἰπεῖν] εἰπεῖν ἔχειν γρ. S.
[r] ἐστι] ἐστὶ σκεπτέον F. v.
[s] νόμους om. O.
[t] ὑμεῖς om. k. s.
[u] τόνδε] τὸν k. s.
[x] περὶ] καὶ περὶ v.
[y] δεῖ νῦν] νῦν δεῖ Y. O.
[z] ὡς γ'] ὥς γ' v.
[a] ἀπὸ] ἄπο S. Y. O. s. v.

κρουσ' ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι καὶ θεοῖς ἐχθρῷ, ᾧ τελευτῶσα [b] ὅλη προσέκρουσεν ἡ πόλις, Ἀνδροτίωνα λέγω. καὶ τοσούτῳ δεινότερα Εὐκτήμονος ἠδικήθην ὑπ' αὐτοῦ, ὥσθ' ὁ μὲν Εὐκτήμων εἰς χρήματ' ἔσθ' ἃ κακῶς ἔπαθεν, ἐγὼ δ', εἰ κατώρθωσεν ἐκεῖνος ἦν ἐπ' ἐμ' ἦλθεν ὁδόν, οὐχ ὅτι τῶν ὄντων [c] ἂν [d] ἀπεστερήμην, ἀλλ' 702
οὐδ' ἂν ἔζην, οὐδ' ὁ κοινὸν ἅπασίν ἐστιν, ἀπαλλαγῆναι
9 τοῦ βίου, ῥᾴδιον ἦν ἂν [e] ἐμοί. αἰτιασάμενος γάρ με ἃ
[f] καὶ λέγειν ἄν τις ὀκνήσειεν εὖ φρονῶν, τὸν ἐμαυτοῦ πατέρα ὡς ἀπέκτονα, [g] ἀσεβείας γραφὴν κατασκευάσας εἰς ἀγῶνα κατέστησεν. ἐν δὲ τούτῳ τὸ πέμπτον μέρος τῶν ψήφων [h] οὐ μεταλαβὼν ὤφλε χιλίας, ἐγὼ δ', ὥσπερ ἦν δίκαιον, μάλιστα μὲν διὰ τοὺς θεούς ἔπειτα δὲ καὶ διὰ
10 τοὺς [i] δικάζοντας ὑμῶν ἐσώθην. τὸν [k] δὴ εἰς τοιαῦτα κα- 10
ταστήσαντά μ' ἀδίκως ἀδιάλλακτον ἐχθρὸν ἡγούμην. ἰδὼν δ' ἠδικηκότα κοινῇ πᾶσαν τὴν πόλιν καὶ περὶ τὴν εἴσπραξιν τῶν εἰσφορῶν καὶ περὶ τὴν ποίησιν τῶν πομπείων, καὶ χρήματα πολλὰ τῆς θεοῦ καὶ τῶν ἐπωνύμων 15
[[l] καὶ] τῆς πόλεως ἔχοντα καὶ οὐκ [m] ἀποδιδόντα, ἦλθον ἐπ' αὐτὸν μετ' Εὐκτήμονος, ἡγούμενος ἁρμόττοντ' εἰληφέναι καιρὸν τοῦ βοηθῆσαί [n] θ' ἅμα τῇ πόλει καὶ τιμω-
11 ρίαν ὑπὲρ ὧν [o] ἐπεπόνθειν λαβεῖν. βουλοίμην δ' ἂν [p] ἐμέ 20
τε τυχεῖν ὧν βούλομαι, τοῦτόν τε παθεῖν ὧν ἄξιός ἐστι. τοῦ δὲ πράγματος οὐκέτ' ὄντος ἀμφισβητησίμου, ἀλλὰ

[b] ὅλη post πόλις ponit v.
[c] ἂν post ὄντων om. F. S. Y. O. post ἀπεστερήμην ponit v.
[d] ἀπεστερήμην] ἀπεστερήθην S. idque cum ἄν.
[e] ἐμοί] μοι F. S. r. v.
[f] καὶ post ἃ om. O.
[g] ἀσεβείας] καὶ ἀσεβείας F. v.
[h] οὐ] μὴ k. s.
[i] δικάζοντας] δικαστὰς F. S. Y. O. et γρ. r.
[k] δὴ] δὲ k. s. v.
[l] καὶ ante τῆς om. S. Y. O. k. r. s.
[m] ἀποδιδόντα] ἀποδόντα O.
[n] θ' om. k. s.
[o] ἐπεπόνθειν] ἐπεπόνθει r.
[p] ἐμέ τε] ἐπ' ἐμὲ s.

πρῶτον μὲν [q] τῆς βουλῆς κατεγνωκυίας, εἶτα τοῦ δήμου μίαν ἡμέραν ὅλην ἐπὶ τούτοις [r] αὐτοῖς ἀναλώσαντος, πρὸς δὲ τούτοις δικαστηρίοιν δυοῖν εἰς ἕνα καὶ χιλίους ἐψηφισμένων, ἐνούσης δὲ οὐδεμιᾶς ἔτ' ἀποστροφῆς τοῦ μὴ τὰ
12 χρήματ' ἔχειν ὑμᾶς, Τιμοκράτης οὑτοσὶ [s] τοσοῦθ' ὑπερεῖδεν ἅπαντα τὰ πράγματα ὥστε τιθησι τουτονὶ τὸν νόμον, δι' οὗ τῶν ἱερῶν μὲν χρημάτων τοὺς θεοὺς τῶν ὁσίων δὲ τὴν 703
πόλιν ἀποστερεῖ, ἄκυρα δὲ τὰ γνωσθέντα ὑπὸ τῆς βουλῆς καὶ τοῦ δήμου καὶ τοῦ δικαστηρίου καθίστησιν, ἄδειαν δὲ
13 τὰ κοινὰ διαρπάζειν τῷ βουλομένῳ πεποίηκεν. ὑπὲρ [t] δὴ τούτων ἁπάντων λύσιν [u] ταύτην εὑρίσκομεν [x] οὖσαν μόνην, 5
εἰ γραψάμενοι τὸν νόμον καὶ εἰσαγαγόντες εἰς ὑμᾶς λῦσαι [y] δυναίμεθα. ἐξ ἀρχῆς οὖν ἐν βραχέσι τὰ πραχθέντα δίειμι πρὸς ὑμᾶς, ἵνα μᾶλλον μάθητε καὶ παρακολουθήσητε τοῖς περὶ τὸν νόμον [z] αὐτὸν ἀδικήμασιν. 10
14 Ψήφισμα εἶπεν ἐν ὑμῖν Ἀριστοφῶν ἐλέσθαι [a] ζητητάς, εἴ δέ τις [b] οἶδέ τινα ἢ τῶν ἱερῶν ἢ τῶν ὁσίων χρημάτων ἔχοντά τι τῆς πόλεως, [c] μηνύειν πρὸς τούτους. μετὰ ταῦτ' ἐμήνυσεν Εὐκτήμων ἔχειν Ἀρχέβιον καὶ Λυσιθείδην τριηραρχήσαντας χρήματα [d] Ναυκρατιτικά, τίμημα τάλαντα 15
ἐννέα καὶ τριάκοντα μνᾶς. προσῆλθε [e] τῇ βουλῇ, προβούλευμ' ἐγράφη. μετὰ ταῦτα γενομένης ἐκκλησίας πρού-
15 χειροτόνησεν ὁ δῆμος. ἀναστὰς Εὐκτήμων ἔλεγεν ἄλλα τε πολλὰ, καὶ διεξῆλθε πρὸς ὑμᾶς ὡς ἔλαβεν ἡ τριήρης 20

[q] τῆς ante βουλῆς om. S. Y. O. k. r. s.
[r] αὐτοῖς om. k.
[s] τοσοῦθ'] τοσοῦτον F. k. s. Conf. Anecd. p. 177, 24.
[t] δὴ] δὲ k. r.
[u] ταύτην εὑρίσκομεν] εὑρίσκομεν ταύτην S.
[x] οὖσαν μόνην] μόνην οὖσαν k.
[y] δυναίμεθα] δυνάμεθα k.
[z] αὐτὸν om. k. s.
[a] ζητητάς] ζητήσας S. r. s.
[b] οἶδέ] εἰδέ v.
[c] μηνύειν] μηνύει Y. O.
[d] Ναυκρατιτικά] ναυκρατητικά F. S. Y. O. r. s. ναυκρατητικά v.
[e] τῇ] δὲ τῇ Y. O.

τὸ πλοῖον ἡ Μελάνωπον ἄγουσα καὶ Γλαυκέτην καὶ Ἀνδροτίωνα πρεσβευτὰς ὡς Μαύσωλον, ὡς ἔθεσαν τὴν ἱκετηρίαν ὧν ἦν τὰ χρήματα [f] ἄνθρωποι, ὡς ἀπεχειροτονήσαθ' ὑμεῖς μὴ φιλία εἶναι. τότε ἀνέμνησεν ὑμᾶς, τοὺς νόμους [g] ἀνέγνω, καθ' οὓς τοῦτον τὸν τρόπον πραχθέντων [h] τῆς πόλεως [i] γίγνεται τὰ χρήματα. ἐδόκει δίκαια λέγειν ὑμῖν ἅπασιν. ἀναπηδήσας [k] Ἀνδροτίων καὶ Γλαυκέτης [l] καὶ Μελάνωπος (καὶ [m] ταῦτα σκοπεῖτε [n] ἂν ἀληθῆ λέγω) ἐβόων, ἠγανάκτουν, ἐλοιδοροῦντο, ἀπέλυον τοὺς τριηράρχους, [o] ἔχειν ὡμολόγουν παρ' ἑαυτοῖς, ζητεῖν ἠξίουν τὰ χρήματα. ταῦτ' ἀκουσάντων ὑμῶν, ἐπειδή ποτ' ἐπαύσανθ' οὗτοι βοῶντες, ἔδωκε γνώμην Εὐκτήμων ὡς δυνατὸν [p] δικαιοτάτην, ὑμᾶς μὲν εἰσπράττειν τοὺς τριηράρχους, [q] ἐκείνοις δ' εἶναι περὶ [r] αὐτῶν εἰς τοὺς ἔχοντας ἀναφοράν· ἐὰν δ' ἀμφισβητῆταί τι, ποιεῖν διαδικασίαν, τὸν δ' ἡττηθέντα τοῦτον ὀφείλειν τῇ πόλει. [s] γράφονται τὸ ψήφισμα· εἰς ὑμᾶς εἰσῆλθεν· ἵνα συντέμω, κατὰ τοὺς νόμους ἔδοξεν εἰρῆσθαι καὶ ἀπέφυγεν. ἐνταῦθα τί προσῆκεν; τὰ μὲν χρήματ' ἔχειν τὴν πόλιν, τὸν δ' ἀποστεροῦντα κολάζειν· νόμου δ' [t] οὐδ' ὁτιοῦν οὐδενὸς δήπου προσέδει. μέχρι μὲν δὴ τούτων οὐδὲν ἠδίκησθ' ὑπὸ Τιμοκράτους τουτουί. μετὰ ταῦτα δὲ [u] πάντ' ἀνεδέξατο ἐφ' ἑαυτὸν τὰ προειρημένα, καὶ πάντα ἠδικημένοι φανήσεσθ' ὑπὸ τούτου· ταῖς γὰρ ἐκείνων τέχναις καὶ πανουργίαις μισθώσας αὐ-

[f] ἄνθρωποι] ἀνθράπους r.
[g] ἀνέγνω] οὓς ἀνεγνώκατε correctus k.
[h] τῆς] τῶν τῆς Y.
[i] γίγνεται] ἐγίνετο k. s.
[k] Ἀνδροτίων] ὁ ἀνδροτίων k. s.
[l] καὶ Μελάνωπος om. F. S.
[m] ταῦτα] ταυτὶ S. Y. O. r.
[n] ἂν] ἐὰν k. s.
[o] ἔχειν] οὐκ ἔχειν O.
γρ. διπαιστάτην.
[p] δικροτάτην r.
[q] ἐκείνοις] ἐκείνους k. r. s.
[r] αὐτῶν] αὐτῶν O. k. s.
[s] γράφονται] γράφων τε k.r. γράφων δὲ s.
[t] οὐδ' ὁτιοῦν οὐδενὸς δήπου προσέδει] οὐδενὸς οὐδ' ὁτιοῦν προσέδει δήπου v.
[u] πάντ'] πάντα γ' v.

τὸν καὶ παρασχὼν ὑπηρέτην ἐφ' αὐτὸν ἤγαγε τἀδικήμα-
18 τα, ὡς ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω. ἀνάγκη δὲ πρῶτον
[x] ὑπομνῆσαι τοὺς χρόνους ὑμᾶς καὶ τὸν [y] καιρὸν ἐν ᾧ τί-
θησι τὸν νόμον· καὶ γὰρ ὑβριστικῶς [z] προσεκκεχλευακὼς
ὑμᾶς φανήσεται. ἦν μὲν γὰρ σκιροφοριὼν μὴν ἐν ᾧ τὰς
γραφὰς [a] ἤττητο ἐκεῖνοι τὰς κατὰ τοῦ Εὐκτήμονος, μι-
σθωσάμενοι δὲ τοῦτον καὶ οὐδὲ [b] παρεσκευασμένοι τὰ δί-
καια ποιεῖν ὑμῖν κατὰ τὴν ἀγορὰν λογοποιοὺς καθίσαν
ὡς ἁπλᾶ [c] μὲν ἕτοιμοι τὰ χρήματ' [d] ἐκτίνειν, διπλᾶ δὲ 705
19 οὐ δυνήσονται. ἦν δὲ ταῦτ' ἐνέδρα μετὰ κλευασίας καὶ
[e] κατασκευασμὸς ὑπὲρ τοῦ λαθεῖν τόνδε τὸν νόμον τεθέν-
τα. μαρτυρεῖ δ' ὅτι ταῦθ' οὕτως ἔχει τοὔργον αὐτό· τῶν
μὲν γὰρ χρημάτων [f] ἐκείνοις [g] τοῖς χρόνοις δραχμὴν οὐ
[h] κατεθήκαν ὑμῖν, νόμῳ δ' ἑνὶ πλείους τοὺς ὑπάρχοντας
ἀκύρους ἐποίησαν, καὶ τούτῳ τῶν πώποτε [i] ἐν ὑμῖν τεθέν-
των αἰσχίστῳ καὶ δεινοτάτῳ.
20 Βούλομαι [k] δὴ μικρὰ διεξελθὼν περὶ τῶν κειμένων νό-
μων, καθ' οὕς εἰσιν αἱ [l] τοιαίδε γραφαί, περὶ αὐτοῦ τοῦ
νόμου λέγειν [m] ὃν γέγραμμαι· γενήσεσθε γὰρ εὐμαθέστε-
ροι πρὸς τὰ λοιπὰ ταῦτα προακούσαντες. ἔστιν, ὦ ἄν-
δρες Ἀθηναῖοι, ἐν τοῖς οὖσι νόμοις [n] ἡμῖν κυρίοις διω-
ρισμένα ἀκριβῶς καὶ σαφῶς πάνθ' ὅσα δεῖ ποιεῖν περὶ
21 τῶν μελλόντων τεθήσεσθαι νόμων. καὶ πρῶτον [o] μὲν ἀπάν-

[x] ὑπομνῆσαι τοὺς χρόνους ὑμᾶς καὶ] om. s. in margine habet k.
[y] καιρὸν] καιρὸν εἰσεῖν k. s.
[z] προσεκκεχλευακὼς] προσκεχλευακὼς O. k. r. s.
[a] ἤττητο] ἤττωτο O.
[b] παρεσκευασμένοι] παρασκευασάμενοι Y. O. k. s.
[c] μὲν] μὴν εἰσιν F. v.
[d] ἐκτίνειν] ἐκτίνειν εἰσὶν k. r. s.
[e] κατασκευασμὸς] κατασκοτασμὸς r.
[f] ἐκείνοις] ἐκεῖνοι correctus k.
[g] τοῖς χρόνοις om. k. s.
[h] κατέθηκαν] κατέθηκεν r.
[i] ἐν ὑμῖν τεθέντων] τεθέντων ἐν ὑμῖν F. k.
[k] δὴ] δὲ k. s.
[l] τοιαίδε] τοιαῦται k.
[m] ὃν] ὧν r.
[n] ἡμῖν] ὑμῖν v.
[o] μὲν om. k. s.

των χρόνος ἐστὶ [p] γεγραμμένος, ἐν ᾧ προσήκει νομοθετεῖν· εἶτ' οὐδὲ τόθ' ὡς ἂν ἑκάστῳ δοκῇ δέδωκε [q] τοῦτο πράττειν, ἀλλὰ προστάττει πρῶτον μὲν ἐκθεῖναι [r] πρόσθε τῶν ἐπωνύμων γράψαντα, σκοπεῖν τῷ βουλομένῳ, μετὰ ταῦτ' ἐπὶ πᾶσι τὸν αὐτὸν νόμον τιθέναι κελεύει, πρὸς τούτοις λύειν τοὺς ἐναντίους, ἄλλα περὶ ὧν [s] οὐδὲν ἴσως ὑμᾶς κατεπείγει νῦν ἀκοῦσαι. ἐὰν δέ τις τούτων ἓν παραβῇ, τῷ 22 βουλομένῳ δίδωσι γράφεσθαι. εἰ μὲν οὖν μὴ πᾶσιν [t] ἦν ἔνοχος τούτοις Τιμοκράτης καὶ παρὰ πάντα ταῦτ' εἰσενηνόχει τὸν νόμον, ἓν ἂν [u] αὐτοῦ τις ἐποιεῖτο κατηγόρημα, ὅ τι δήποτε τοῦτ' ἦν· νῦν δὲ ἀνάγκη καθ' ἕκαστον χωρὶς περὶ ἑκάστου διελόμενον λέγειν. πρῶτον [x] μὲν οὖν, ὅπερ ἠδίκησε [y] πρῶτον, τοῦτ' ἐρῶ, [z] ὡς παρὰ πάντας τοὺς νό- 706 μους ἐνομοθέτει, εἶτα τῶν ἄλλων ἐξῆς ὅ τι ἂν βουλομένοις ὑμῖν ἀκούειν ᾖ. καί μοι λαβὲ τουτουσὶ τοὺς νόμους καὶ ἀνάγνωθι· φανήσεται γὰρ τούτων οὐδὲν πεποιηκώς. προσέχετε, [a] ὦ ἄνδρες δικασταί, τὸν νοῦν ἀναγιγνωσκο- 5 μένοις τοῖς νόμοις.

[b] ΕΠΙΧΕΙΡΟΤΟΝΙΑ ΝΟΜΩΝ.

23 Ἐπὶ δὲ τῆς πρώτης πρυτανείας τῇ ἑνδεκάτῃ ἐν τῷ δήμῳ, ἐπειδὰν εὔξηται ὁ κῆρυξ, ἐπιχειροτονίαν ποιεῖν τῶν νόμων, πρῶτον μὲν 10 περὶ τῶν βουλευτικῶν, δεύτερον δὲ [c] τῶν κοινῶν, εἶτα οἳ κεῖνται τοῖς ἐννέα ἄρχουσιν, εἶτα τῶν ἄλλων ἀρχῶν. ἡ δ' ἐπιχειροτονία ἔστω ἡ προτέρα, ὅτῳ δοκοῦσιν ἀρκεῖν οἱ νόμοι οἱ βουλευτικοί, ἡ δ' ὑστέρα, ὅτῳ μὴ δοκοῦσιν· εἶτα τῶν κοινῶν [d] κατὰ ταὐτά. τὴν 15

[p] γεγραμμένος] ἐγγεγραμμένος F. v.

[q] τοῦτο πράττειν] πράττειν τοῦτο v.

[r] πρόσθε] πρόσθεν F. v.

[s] οὐδὲν ἴσως ὑμᾶς κατεπείγει] ἴσως οὐδὲν κατεπείγει ὑμᾶς v.

[t] ἦν om. O.

[u] αὐτοῦ τις] τις αὐτοῦ k. s.

[x] μὲν post πρῶτον om. Y.O.k.s.

[y] Alterum πρῶτον om. k. s.

[z] ὡς] ὅτι ὡς k. s. ὡς ὅτι r.

[a] ὦ om. O. r.

[b] ΕΠΙΧΕΙΡΟΤΟΝΙΑ ΝΟΜΩΝ] ἐπὶ χειροτονίαν S. r. νόμοι v.

[c] τῶν κοινῶν] περὶ τῶν κοινῶν k. r. s.

[d] κατὰ ταὐτά] κατ' αὐτά S. Y. O. r. s.

δ' ἐπιχειροτονίαν [c] εἶναι τῶν νόμων κατὰ τοὺς νόμους τοὺς κειμέ-
24 νους. ἐὰν δέ τινες τῶν νόμων τῶν κειμένων ἀποχειροτονηθῶσι, τοὺς
πρυτάνεις, ἐφ' ὧν ἂν [f] ἡ [g] ἐπιχειροτονία γίνηται, ποιεῖν περὶ τῶν
ἀποχειροτονηθέντων τὴν τελευταίαν τῶν τριῶν ἐκκλησιῶν· τοὺς δὲ προέδρους, οἳ ἂν [h] τύχωσι [i] προεδρεύοντες ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, χρηματίζειν ἐπάναγκες πρῶτον μετὰ τὰ ἱερὰ περὶ τῶν νομοθετῶν, καθ' ὅ τι καθεδοῦνται, καὶ περὶ [k] τοῦ ἀργυρίου, ὁπόθεν τοῖς νομοθέταις ἔσται· τοὺς δὲ νομοθέτας εἶναι ἐκ τῶν ὀμωμοκότων [l] τὸν
25 ἡλιαστικὸν ὅρκον. ἐὰν δ' οἱ πρυτάνεις μὴ [m] ποιῶσι κατὰ τὰ [n] γεγραμμένα τὴν ἐκκλησίαν ἢ οἱ προέδροι μὴ χρηματίσωσι [o] κατὰ τὰ γεγραμμένα], [p] ὀφείλειν τῶν μὲν πρυτάνεων ἕκαστον χιλίας δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ, [q] τῶν δὲ προέδρων ἕκαστος ὀφειλέτω 707
τετταράκοντα δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ. καὶ ἔνδειξις [r] αὐτῶν ἔστω
πρὸς τοὺς [s] θεσμοθέτας, καθάπερ ἐάν τις ἄρχῃ ὀφείλων τῷ δημοσίῳ· οἱ δὲ θεσμοθέται τοὺς ἐνδειχθέντας εἰσαγόντων εἰς τὸ δικα- 5
στήριον κατὰ τὸν νόμον ἢ μὴ ἀνιόντων εἰς Ἄρειον πάγον, ὡς κα-
26 ταλύοντες τὴν ἐπανόρθωσιν τῶν νόμων. πρὸ δὲ τῆς ἐκκλησίας ὁ
βουλόμενος [t] Ἀθηναίων ἐκτιθέτω [u] πρόσθε τῶν ἐπωνύμων γράψας
τοὺς νόμους, οὓς ἂν τιθῇ, ὅπως ἂν πρὸς τὸ πλῆθος τῶν [x] τεθέντων 10
νόμων ψηφίσηται ὁ δῆμος περὶ τοῦ χρόνου τοῖς νομοθέταις. ὁ δὲ
τιθεὶς τὸν καινὸν νόμον, ἀναγράψας εἰς λεύκωμα, ἐκτιθέτω πρόσθε
τῶν ἐπωνύμων ὀσημέραι, ἕως ἂν ἐκκλησία γένηται. αἱρεῖσθαι δὲ
καὶ τοὺς συναπολογησομένους τὸν δῆμον τοῖς νόμοις, [y] οἳ ἂν ἐν 15
τοῖς νομοθέταις λύωνται, πέντε ἄνδρας ἐξ Ἀθηναίων ἁπάντων, τῇ
ἐνδεκάτῃ τοῦ ἑκατομβαιῶνος μηνός.

27 Οὗτοι πάντες οἱ νόμοι κεῖνται πολὺν ἤδη χρόνον, ὦ

[c] εἶναι om. O.
[f] ἡ om. v.
[g] ἐπιχειροτονία] ἐπιχειροτονία r. ἀποχειροτονία O. k. s.
[h] τύχωσι] τύχωσι r. τυγχάνωσι k. s.
[i] προεδρεύοντες] παεδρεύοντες S. Y. O. παεδρεύοντες r.
[k] τοῦ ante ἀργυρίου om. F. S. Y. O. v.
[l] τὸν om. k. s.
[m] ποιῶσι] ποιῶσι r. ποιήσωσι k. s.
[n] γεγραμμένα] προγεγραμμένα F. Y. O. k. r. s.
[o] κατὰ τὰ γεγραμμένα] κατὰ τὰ προγεγραμμένα F. O. om. k. s.
[p] ὀφείλειν] ὀφειλέτων s.
[q] τῶν δὲ—Ἀθηνᾷ om. v.
[r] αὐτῶν ἔστω] ἔστω αὐτῶν k. s.
[s] θεσμοθέτας] νομοθέτας v.
[t] Ἀθηναίων] ἀθηναίων νομοθετεῖν F. v.
[u] πρόσθε] πρόσθεν v. qui sic et infra.
[x] τεθέντων] ἐκτεθέντων F.
[y] οἳ] οἷσι k. r. s.

ἄνδρες δικασταί, καὶ πεῖραν αὐτῶν πολλάκις δεδώκασιν 20
ὅτι συμφέροντες ὑμῖν εἰσί, καὶ οὐδεὶς πώποτε [z] ἀντεῖπε
μὴ οὐ καλῶς ἔχειν αὐτούς. εἰκότως· οὐδὲν γὰρ ὠμὸν
οὐδὲ βίαιον οὐδ' ὀλιγαρχικὸν προστάττουσιν, ἀλλὰ τοὐ-
ναντίον πάντα φιλανθρώπως καὶ δημοτικῶς φράζουσι
28 πράττειν. καὶ πρῶτον μὲν [a] ἐφ' ὑμῖν ἐποίησαν διαχειρο- 25
τονίαν, πότερον εἰσοιστέος [b] ἐστὶ νόμος καινὸς ἢ δοκοῦσιν
ἀρκεῖν οἱ κείμενοι· μετὰ ταῦτα δ' ἂν [c] χειροτονήσητε εἰσ-
φέρειν, οὐκ εὐθὺς τιθέναι προσέταξαν, ἀλλὰ τὴν τρίτην
[d] ἀπέδειξαν ἐκκλησίαν, καὶ οὐδ' ἐν ταύτῃ τιθέναι δεδώ-
κασιν, ἀλλὰ [e] σκέψασθαι καθ' ὅ τι τοὺς νομοθέτας [f] καθ- 708
ιεῖτε. ἐν δὲ τῷ μεταξὺ [g] χρόνῳ τούτῳ προσέταξαν τοῖς
[h] βουλομένοις εἰσφέρειν ἐκτιθέναι τοὺς νόμους πρόσθεν τῶν
ἐπωνύμων, ἵν' ὁ βουλόμενος σκέψηται, κἂν ἀσύμφορον
ὑμῖν [i] κατίδῃ τι, φράσῃ καὶ κατὰ σχολὴν [k] ἀντείπῃ. 5
29 τούτων μέντοι τοσούτων ὄντων οὐδὲν πεποίηκε Τιμοκράτης
[l] οὑτοσί· οὔτε γὰρ ἐξέθηκε τὸν νόμον, οὔτ' ἔδωκεν, εἴ τις
ἐβούλετο [m] ἀναγνοὺς ἀντειπεῖν, οὔτ' ἀνέμεινεν οὐδένα τῶν
τεταγμένων [n] χρόνων ἐν τοῖς νόμοις, ἀλλὰ τῆς ἐκκλησίας, 10
ἐν ᾗ τοὺς νόμους ἐπεχειροτονήσατε, οὔσης ἐνδεκάτης τοῦ
ἑκατομβαιῶνος μηνὸς δωδεκάτῃ τὸν νόμον εἰσήνεγκεν, εὐ-
30 θὺς τῇ ὑστεραίᾳ, καὶ ταῦτ' ὄντων Κρονίων καὶ διὰ ταῦτ'
[o] ἀφειμένης τῆς βουλῆς, διαπραξάμενος μετὰ τῶν ὑμῖν
ἐπιβουλευόντων καθίζεσθαι νομοθέτας διὰ ψηφίσματος 15

[z] ἀντεῖπε post ἔχειν ponit v.
[a] ἐφ' ὑμῖν om. k. s.
[b] ἐστὶ νόμος] νόμος ἐστὶ k. s.
[c] χειροτονήσητε] χειροτονῆτε S. r.
[d] ἀπέδειξαν] ἀπέδωκαν γρ. S.
[e] σκέψασθαι] σκέψασθε s. v.
[f] καθιεῖτε] καθίεισθε S. καθίητε r. καθεδεῖτε F.v. καθεδεῖται s. καθεσθαι δεῖται k. καθεδιεῖται γρ. k.
[g] χρόνῳ τούτῳ] τούτῳ χρόνῳ v.
[h] βουλομένοις] βουλευομένοις O.
[i] κατίδῃ τι] τι κατίδῃ k. s.
[k] ἀντείπῃ] ἀντείποι s. ἀντεπίῃ S. r.
[l] οὑτοσί] οὑτοσίν r. s.
[m] ἀναγνοὺς om. k.
[n] χρόνων] χρόνον O. om. k. s.
[o] ἀφειμένης] ἀφειλαμένης s.

ἐπὶ τῇ τῶν [p] Παναθηναίων προφάσει. βούλομαι δ' ὑμῖν [q] τὸ ψήφισμα αὐτὸ ἀναγνῶναι τὸ νικῆσαν, ἵν' [r] εἰδῆθ' ὅτι πάντα συνταξάμενοι καὶ οὐδὲν ἀπὸ ταυτομάτου τούτων [s] ἔπραττον. [t] Λαβὲ τὸ ψήφισμ' αὐτοῖς [u] καὶ ἀνάγίγνω-
σκε σύ.

[x] ΨΗΦΙΣΜΑ.

31 Ἐπὶ τῆς Πανδιονίδος πρώτης, ἐνδεκάτῃ τῆς πρυτανείας, [y] Ἐπικράτης εἶπεν, ὅπως ἂν τὰ ἱερὰ θύηται [z] καὶ ἡ διοίκησις ἱκανὴ γίνηται καὶ εἴ τινος [a] ἐνδεῖ πρὸς τὰ Παναθήναια διοικηθῇ, τοὺς πρυτάνεις [b] τοὺς τῆς Πανδιονίδος [c] καθίσαι νομοθέτας αὔριον, τοὺς δὲ νομοθέτας εἶναι ἕνα καὶ χιλίους ἐκ τῶν ὁμωμοκότων, συννομοθετεῖν δὲ καὶ τὴν βουλήν.

32 Ἐνθυμήθητ' ἀναγιγνωσκομένου τοῦ ψηφίσματος ὡς τεχνικῶς ὁ γράφων αὐτὸ τὴν διοίκησιν καὶ τὸ τῆς ἑορτῆς 709
προστησάμενος [d] κατεπεῖγον, ἀνελὼν τὸν ἐκ τῶν νόμων χρόνον, αὐτὸς ἔγραψεν αὔριον νομοθετεῖν, οὐ μὰ Δί' οὐχ ἵν' ὡς κάλλιστα γένοιτό [e] τι τῶν περὶ τὴν ἑορτήν (οὐδὲ γὰρ ἦν ὑπόλοιπον οὐδ' ἀδιοίκητον οὐδέν) ἀλλ' ἵνα μὴ
προαισθομένου μηδενὸς ἀνθρώπων μηδ' ἀντειπόντος τεθείη καὶ γένοιτο κύριος αὐτοῖς ὅδε ὁ νῦν ἀγωνιζόμενος νόμος.
33 τεκμήριον δέ· [f] καθιζομένων γὰρ τῶν νομοθετῶν περὶ [g] μὲν [h] τῶν γεγραμμένων τούτων, τῆς διοικήσεως καὶ τῶν Παν-
αθηναίων, οὔτε χείρονα οὔτε [i] βελτίω νόμον οὐδεὶς εἰσή-

[p] Παναθηναίων] ἀθηναίων Y. O.
[q] τὸ ψήφισμα αὐτὸ] αὐτὸ τὸ ψήφισμα k. s.
[r] εἰδῆθ'] ἴδηθ' S.
[s] ἔπραττον] ἔπραττεν οὕτω k. r. s. v.
[t] Λαβέ] λαβέ μοι Y. O.
[u] καὶ om. F. S. r. v.
[x] ΨΗΦΙΣΜΑ] ψήφισμα τιμοκράτους rec. S.
[y] Ἐπικράτης] τιμοκράτης F. S. r. v.
[z] καὶ ἡ] καὶ τῆς ἡ S. r.
[a] ἐνδεῖ] προσδεῖ k. s.
[b] τοὺς ante τῆς om. k. s.
[c] καθίσαι] καθῆσαι s.
[d] κατεπεῖγον] κατεπειγῶν F. κατεπείγειν Y. O. s.
[e] τι om. k. s.
[f] καθιζομένων] καθεζομένων Y. k. r. s.
[g] μὲν] μὴν δὴ Y. O. k. r. s.
[h] τῶν γεγραμμένων om. S.
[i] βελτίω] βελτίονα k. s.

νεγκεν οὐδείς, περὶ δὲ ὧν οὔτε τὸ ψήφισμα ἐκέλευεν [k] οἵ τε νόμοι κωλύουσι, Τιμοκράτης οὑτοσὶ κατὰ πολλὴν ἡσυχίαν ἐνομοθέτει, κυριώτερον [l] μὲν νομίσας τὸν ἐκ τοῦ ψη-
34 φίσματος ἢ τὸν ἐν τοῖς νόμοις εἰρημένον χρόνον, οὐδ' ὁτιοῦν [m] δὲ φοβηθεὶς εἰ ἁπάντων [n] ὑμῶν ἀγόντων ἱερομηνίαν, καὶ νόμου κειμένου μήτ' ἰδίᾳ μήτε κοινῇ μηδὲν ἀλλήλους ἀδικεῖν ἐν τούτῳ τῷ χρόνῳ, μηδὲ χρηματίζειν ὅ τι ἂν μὴ περὶ τῆς ἑορτῆς ᾖ, αὐτὸς οὐχ ἕνα τὸν τυχόντα ἀλλ' ὅλην
35 ἀδικῶν φανήσεται τὴν πόλιν. καίτοι πῶς οὐ δεινὸν εἰδότα μὲν τοὺς νόμους, ὧν ὀλίγῳ πρότερον [o] πάντες ἠκούσατε, κυρίους ὄντας, εἰδότα δ' οὐκ ἐῶνθ' ἕτερον νόμον ψήφισμα οὐδέν, [p] οὐδ' ἂν ἔννομον ᾖ, νόμου κυριώτερον εἶναι, γράψαι καὶ θεῖναι νόμον ὑμῖν [q] κατὰ ψήφισμα, ὃ καὶ αὐτὸ πα-
36 ρὰ τοὺς νόμους εἰρημένον ἦδει; ἢ πῶς οὐ σχέτλιον τὴν μὲν πόλιν αὐτὴν ἑκάστῳ [r] ἡμῶν δεδωκέναι ἄδειαν τοῦ [s] μή τι παθεῖν ἀηδὲς ἢ δεινὸν ἐν τούτῳ τῷ χρόνῳ ποιήσασαν ἱερομηνίαν, αὐτὴν δὲ μὴ τετυχηκέναι ταύτης τῆς ἀσφαλείας παρὰ Τιμοκράτους, ἀλλ' ἐν αὐτῇ τῇ ἱερομηνίᾳ τὰ μέγιστ' ἠδικῆσθαι; [t] τί γὰρ ἄν τις μεῖζον ἠδίκησεν ἰδιώτης ἀνὴρ ἢ καταλύων τοὺς νόμους αὐτῆς, δι' ὧν οἰκεῖται;
37 Ὅτι μὲν [u] τοίνυν οὐδὲν ὧν προσῆκέ τε καὶ κελεύουσιν οἱ νόμοι πεποίηκεν, εἰς τὰ προειρημένα τις σκοπῶν ἂν γνοίη. ὅτι δ' οὐ μόνον κατὰ τοῦτ' ἀδικεῖ, εἰ παραβὰς τὸν χρόνον [x] τὸν ἐκ τῶν νόμων καὶ τὸ βουλεύσασθαι καὶ σκέψασθαι περὶ τούτων ὑμᾶς παντελῶς ἀνελὼν οὔσης ἱερομηνίας ἐνομοθέτει, ἀλλὰ καὶ κατ' ἐκεῖνο, ὅτι πᾶσιν

οἵτι

[k] οἵ τε] οὔτε r. οὔτε s.
[l] μὲν om. k. s.
[m] δὲ om. Y. O.
[n] ὑμῶν] ἡμῶν r.
[o] πάντες] δόντες πάντες k.
δ'
[p] οὐδ' ἂν] οὐκ ἂν r.
[q] κατὰ] κατὰ τὸ F. v.
[r] ἡμῶν] ὑμῶν v.
[s] μή om. Y.r.s. et pr. S.O.k.
[t] τί γὰρ ἄν τις] τίς γὰρ ἂν k.s.
[u] τοίνυν] οὖν k. s.
[x] τὸν ἐκ] τῶν ἐκ F. Y. O.

ἐναντίον εἰσενήνοχε τοῖς οὖσι [y] νόμοις, αὐτίκα δὴ μάλ' ἀκριβῶς μαθήσεσθε. Ἀνάγνωθι [z] δέ μοι λαβὼν [a] τουτοὶ πρῶτον τὸν νόμον, ὃς διαρρήδην οὐκ ἐᾷ [b] νόμον οὐδένα ἐναντίον εἰσφέρειν, ἐὰν δέ τις εἰσφέρῃ, γράφεσθαι κελεύει. ἀναγίγνωσκε.

ΝΟΜΟΣ.

38 Τῶν δὲ νόμων τῶν κειμένων μὴ ἐξεῖναι λῦσαι μηδένα, ἐὰν μὴ ἐν νομοθέταις. τότε δ' ἐξεῖναι τῷ βουλομένῳ [c] Ἀθηναίων λύειν, ἕτερον [d] τιθέντι ἀνὰ ὅτου ἂν λύῃ. διαχειροτονίαν δὲ ποιεῖν τοὺς προέδρους περὶ τούτων τῶν νόμων, πρῶτον μὲν περὶ τοῦ κειμένου, εἰ δοκεῖ ἐπιτήδειος εἶναι τῷ δήμῳ [e] τῷ Ἀθηναίων ἢ οὔ, ἔπειτα περὶ
39 τοῦ τιθεμένου. ὁπότερον δ' ἂν χειροτονήσωσιν οἱ νομοθέται, τοῦτον [f] κύριον εἶναι. ἐναντίον δὲ νόμον μὴ ἐξεῖναι τιθέναι τῶν νόμων τῶν κειμένων μηδενί. ἐὰν δέ τις λύσας τινὰ τῶν νόμων τῶν κειμένων ἕτερον ἀντιτιθῇ [g] μὴ ἐπιτήδειον [h] τῷ δήμῳ τῷ Ἀθηναίων ἢ ἐναντίον τῶν κειμένων τῳ, τὰς γραφὰς εἶναι κατ' αὐτοῦ κατὰ τὸν νόμον ὃς κεῖται, ἐάν τις μὴ ἐπιτήδειον θῇ νόμον. 711

40 Ἠκούσατε μὲν τοῦ νόμου· πολλῶν δὲ [i] καλῶς κειμένων νόμων τῇ πόλει οὐδενὸς ἧττον ἡγοῦμαι καὶ τοῦτον ἀξίως ἐπαίνου γεγράφθαι. σκέψασθε γὰρ ὡς δικαίως καὶ σφόδρα ὑπὲρ τοῦ δήμου κεῖται. οὐκ ἐᾷ τοῖς ὑπάρ-
41 χουσι νομοις ἐναντίον εἰσφέρειν, ἐὰν μὴ λύσῃ τὸν πρότερον κείμενον. τίνος ἕνεκα; πρῶτον μὲν ἵν' [k] ὑμῖν ἐξῇ τὰ δίκαια ψηφίζεσθαι μετ' εὐσεβείας. εἰ γὰρ εἶησαν δύο [l] τινες ἐναντίοι νόμοι, καί τινες ἀντίδικοι παρ' ὑμῖν ἀγωνίζοιντο ἢ περὶ δημοσίων ἢ περὶ ἰδίων πραγμάτων, [m] ἀξιοῖ

[y] νόμοις] νόμους Y.
[z] δέ] δή r. δὲ F.
[a] τουτοὶ πρῶτον] πρῶτον τουτοὶ k. s. τουτοὶ pr. O.
[b] νόμον οὐδένα om. k. s.
[c] Ἀθηναίων] τῶν ἀθηναίων v.
[d] τιθέντι] τιθέντα v.
[e] τῷ Ἀθηναίων] τῶν ἀθηναίων r. v.
[f] κύριον] τὸν κύριον S.
[g] ἀντιτιθῇ] ἀντιθῇ F. Y. O. k. et pr. S.
[h] τῷ δήμῳ τῷ Ἀθηναίων] τῷ δήμῳ τῶν ἀθηναίων k. r. τῷ ἀθηναίων δήμῳ v.
[i] καλῶς] καλῶν S. Y. O. r. v.
[k] ὑμῖν] ἡμῖν s.
[l] τινὲς post δύο om. Y. O. k. s.
[m] ἀξιοῖ] ἀξιοῦ k. s.

δ' ἑκάτερος νικᾷν μὴ τὸν αὐτὸν δεικνύων νόμον, οὔτ' ἀμφοτέροις ἔνι δῆπου ψηφίσασθαι· πῶς γάρ; οὔτε θατέρῳ ψηφιζομένους εὐορκεῖν· παρὰ γὰρ τὸν [n] ἐναντίον ὄντα δ' 42 ὁμοίως κύριον ἡ γνῶσις [o] συμβαίνει. τοῦτό τ' οὖν ὑπὲρ ὑμῶν φυλαττόμενος ταῦτα προεῖπέ, καὶ ἔτι πρὸς [p] τούτῳ βουλόμενος φύλακας [q] ὑμᾶς τῶν νόμων καταστῆσαι· ἤδει γὰρ ἐκεῖνο, ὅτι τὰς ἄλλας ἃς γέγραφεν [r] αὐτῶν φυλακὰς ἔστι πολλαχῇ διακρούσασθαι. τοὺς συνηγόρους, οὓς χειροτονεῖτε, δύναιτ' ἂν [s] πεῖσαί τις σιωπᾷν. ἐκτιθέναι κελεύει τοῦ προειδέναι πάντας· [t] τάχ' ἄν, εἰ τύχοι, τοὺς μὲν ἀντειπόντας ἄν, εἰ μὴ προαίσθοιντο, λάθοι, οἱ δ' 43 οὐδὲν προσέχοντες [u] ἀναγνοῖεν ἄν. ἀλλὰ γράψασθαι νὴ Δί' ἕκαστον ἔστιν, ὃ κἀγὼ νυνὶ πεποίηκα· [x] κἀνταῦθ', ἂν [y] ἀπαλλάξῃ [z] τις τὸν ἐπιστάντα, ἡ πόλις παρακέκρουσται. τίς οὖν [a] μόνη φυλακὴ καὶ [b] δικαία καὶ βέβαιος τῶν νόμων; ὑμεῖς οἱ πολλοί· οὔτε γὰρ τὸ [c] γνῶναι καὶ δοκιμάσαι τὸ [d] βέλτιστον ἐξελέσθαι δύναιτ' ἂν ὑμῶν οὐδὲ εἷς, οὔτε ἀπαλλάξας καὶ διαφθείρας πεῖσαι 712 44 [e] τὸν χείρω θέσθαι νόμον ἀντὶ τοῦ κρείττονος. διὰ ταῦτα πάντα ἐφ' ἑκάστην ἁπαντᾷ τὴν ὁδὸν τῶν ἀδικημάτων, κωλύων καὶ οὐκ ἐῶν βαδίζειν τοὺς ἐπιβουλεύοντας ὑμῖν. ταῦτα πάντα Τιμοκράτης, οὕτω καλῶς καὶ δικαίως κείμενα, ἠφάνισεν, ἐξήλειψεν, ὅσον ἦν ἐπὶ τούτῳ, καὶ νόμον

[n] ἐναντίον] ἐναντίων νόμων F. v.
[o] συμβαίνει] συμβάλλει pr. r.
[p] τούτῳ] τούτοις F. τούτοις v.
[q] ὑμᾶς τῶν νόμων] τῶν ὄντων νόμων ὑμᾶς r.s. τῶν ὄντων νόμων ἡμᾶς k.
[r] αὐτῶν] αὐτῶ k. s.
[s] πεῖσαί τις] ποιῆσαί τις k. τις πεῖσαι s.
[t] τάχ'] ὡς τάχ' Y. O. k. r. s. v.
[u] ἀναγνοῖεν] ἀγνοοῖεν S. Y. O. k. r. s. v.
[x] κἀνταῦθ' ἂν s. κἂν ἐνταῦθα F. S. Y. O. r. v. κἂν ἐνταῦθ' ἂν k.
[y] ἀπαλλάξῃ] ἀπαλλάξοι r.
[z] τις om. F. S.
[a] μόνη] ἡ μόνη Y. O. k. r. s.
[b] δικαία καὶ βέβαιος] βεβαία καὶ δίκαιος k. s. δικαία καὶ βεβαία r.
[c] γνῶναι] γνῶναι τὸ δίκαιον Y. O.
[d] βέλτιστον] βέλτιον F. s. v.
[e] τὸν χείρω] τὸ χεῖρον v.

εἰσήνεγκεν [[f] ἀπαίσιον] ἅπασιν ἐναντίον ὡς ἔπος εἰπεῖν τοῖς οὖσιν, οὐ [g] παραναγνούς, οὐ λύσας, οὐ θοὺς αἵρεσιν, οὐκ ἄλλο ποιήσας οὐδὲν τῶν προσηκόντων.

45 Ὡς μὲν οὖν ἔνοχος τῇ γραφῇ καθέστηκεν, ἐναντίον εἰσενηνοχὼς τοῖς οὖσι [h] νόμοις, εἶμαι πάντας ὑμᾶς [i] ἠσθῆσθαι· ἵνα [k] δ' εἰδῆτε παρ' οἵους [l] νόμους οἷον οὗτος εἰσήνεγκεν, ἀναγνώσεται πρῶτον ὑμῖν τὸν τούτου νόμον, [m] εἶτα τοὺς ἄλλους, οἷς οὗτος ἐναντίος ἐστίν. Ἀναγίγνωσκε.

ΝΟΜΟΣ.

46 Ἐπὶ τῆς Πανδιονίδος [n] πρώτης, δωδεκάτῃ τῆς πρυτανείας, Τιμοκράτης εἶπε, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστέτιμηται κατὰ [o] νόμον ἢ κατὰ ψήφισμα δεσμοῦ [p] ἢ τὸ λοιπὸν [q] προστιμηθῇ, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι τοῦ [r] ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον ὃ ὤφλε. τοὺς δὲ προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται. τῷ δὲ καταστήσαντι τοὺς ἐγγυητάς, ἐὰν [s] ἀποδιδῷ τῇ πόλει τὸ ἀργύριον ἐφ' [t] ᾧ κατέστησε [u] τοὺς

47 ἐγγυητάς, ἀφεῖσθαι [x] τῶν δεσμῶν. ἐὰν δὲ μὴ καταβάλῃ τὸ ἀργύριον ἢ αὐτὸς ἢ οἱ ἐγγυηταὶ ἐπὶ τῆς [y] ἐνάτης πρυτανείας, τὸν μὲν 713
ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. [z] περὶ δὲ τῶν ὠνουμένων τὰ τέλη καὶ τῶν ἐγγυωμένων καὶ [a] ἐκλεγόντων, καὶ τῶν τὰ [b] μισθώσιμα μισθουμένων καὶ [c] τῶν ἐγ- 5
γυωμένων, τὰς πράξεις εἶναι τῇ πόλει κατὰ τοὺς νόμους τοὺς κειμένους. ἐὰν δ' ἐπὶ τῆς ἐνάτης πρυτανείας ὄφλῃ, τοῦ ὑστέρου ἐνιαυτοῦ ἐπὶ τῆς ἐνάτης, ἢ δεκάτης πρυτανείας ἐκτίνειν.

[f] [ἀπαίσιον] om. Y.O.v. ἄπαγρ. ἀπαίσιον.
σιν om. k. s. ἅπασιν r.
[g] παραναγνούς] παραγνοὺς k. r. v.
[h] νόμοις] νόμοις F. νόμον γρ. S.
[i] ἠσθῆσθαι] ἠσθῆναι r.
[k] δ' om. pr. k.
[l] νόμους om. k. s.
[m] εἶτα] εἶτα καὶ F. r. s. v.
[n] πρώτης om. F. S. in margine ponunt Y. O.
[o] νόμον] τὸν νόμον r.
[p] ἢ ante τὸ om. pr. Y.
[q] προστιμηθῇ] προστιμηθῇ εἶν v.
[r] ὀφλήματος] ὀφειλήματος S. r.
[s] ἀποδιδῷ] ἀποδῷ v.
[t] ᾧ] ᾧ r. οἷς F. S. v.
[u] τοὺς om. pr. r.
[x] τῶν δεσμῶν] τὸν δεσμὸν Y.O.r.
[y] ἐνάτης] ἐνάτης r. qui sic et infra.
[z] περὶ] ἐπὶ v.
[a] ἐκλεγόντων] ἐκλεγόντων r. s.
[b] μισθώσιμα] μισθώματα r. v.
[c] τῶν ante ἐγγυωμένων om. S. Y. O. k. r. s.

48 Ἀκηκόατε μὲν τοῦ νόμου, μνημονεύετε δ' ἐξ αὐτοῦ μοι πρῶτον μὲν τὸ καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται ἢ τὸ λοιπὸν προστιμηθῇ, ἔπειθ' ὅτι πλὴν [d] περὶ τῶν τελωνῶν καὶ περὶ τῶν μισθουμένων, καὶ ὅσοι ταῦτα ἐγγυῶνται, χρῆσθαι κελεύει τῷ νόμῳ. [e] ὅλος [f] μὲν γάρ [g] ἐστιν ἅπασιν ἐναντίος τοῖς οὖσι, μάλιστα δὲ [h] ταῦτα· γνώσεσθε [i] δ' [k] ἀκούοντες. [l] Λέγε τοὺς νόμους [m] αὐτοῖς. [n] λέγε.

ΝΟΜΟΣ.

49 Διοχλῆς εἶπε τοὺς νόμους τοὺς πρὸ Εὐκλείδου τεθέντας ἐν δημοκρατίᾳ, καὶ ὅσοι ἐπ' Εὐκλείδου ἐτέθησαν καὶ εἰσὶν ἀναγεγραμμένοι, κυρίους εἶναι. τοὺς δὲ μετ' Εὐκλείδην τεθέντας καὶ τὸ λοιπὸν τιθεμένους κυρίους εἶναι ἀπὸ τῆς ἡμέρας ἧς ἕκαστος ἐτέθη, πλὴν εἴ τῳ προσγέγραπται χρόνος ὅντινα δεῖ ἄρχειν. ἐπιγράψαι δὲ τοῖς μὲν νῦν κειμένοις τὸν γραμματέα τῆς βουλῆς τριάκοντα ἡμερῶν· τὸ δὲ λοιπόν, ὃς ἂν [o] τυγχάνῃ γραμματεύων, προσγραφέτω παραχρῆμα [p] τὸν νόμον κύριον εἶναι ἀπὸ τῆς ἡμέρας ἧς ἐτέθη.

50 Καλῶς ἐχόντων [q] τῶν νόμων, ὦ ἄνδρες δικασταί, τῶν ὑπαρχόντων, [r] ὅδε ὁ νῦν ἀναγνωσθεὶς νόμος ὥσπερεὶ διώρισε καὶ βεβαιοτέρους ἐποίησεν αὐτούς. κελεύει γὰρ ἕκαστον ἀφ' ἧς ἡμέρας ἐτέθη κύριον εἶναι, πλὴν εἴ τῳ χρόνος προσγέγραπται, τούτῳ δὲ τὸν γεγραμμένον ἄρχειν. διὰ τί; ὅτι πολλοῖς τῶν νόμων [s] προσεγέγραπτο "τὸν δὲ "νόμον εἶναι κύριον τόνδ' ἀπὸ τοῦ μετὰ τὸν νῦν ἄρχοντα."

51 ὕστερον δὲ γράφων [t] ὁ τιθεὶς ἐπὶ τούτοις τόνδε [u] τὸν νόμον,

[d] περὶ post πλὴν om. s. post καὶ om. k. s.
[e] ὅλος] ὅλως F. v. et pr. k.
[f] μὲν γάρ om. pr. S.
[g] ἐστιν] ἐστιν ὅδε γε F. v.
[h] ταῦτα] τούτων S.
[i] δ' om. F.r.v. δὲ τοὺς νόμους S.
[k] ἀκούοντες] ἀκούσαντες Y.O.k. τοὺς νόμους ἀκούσαντες r.
[l] Λέγε τοὺς νόμους om. S.r. λέγε om. Y.v.
[m] αὐτοὺς omnes.
[n] Alterum λέγε om. k.s.
[o] τυγχάνῃ] τυγχάνοι s.
[p] τὸν νόμον] τῶν νόμων v.
[q] τῶν νόμων—τῶν ὑπαρχόντων] —τῶν ὑπαρχόντων νόμων F. v.
[r] ὅδε ὁ] ὁ δὲ s.
[s] προσεγέγραπτο] προσγέγραπτο O. προσγέγραπται k. r. s. v.
[t] ὁ τιθεὶς ἐπὶ τούτοις] ἐπὶ τούτοις ὁ τιθεὶς k. s.
[u] τὸν post τόνδε om. k.

τὸν ἀνεγνωσμένον, οὐκ ἐνόμιζε δίκαιον εἶναι τοὺς αὐτοὺς τῶν νόμων [x]ἀναγεγραμμένους ὕστερον ἢ ἐτέθησαν κυρίους εἶναι ἀνενεγκεῖν ἐπὶ τὴν ἡμέραν, ἀφ' ἧς ἐτέθησαν, καὶ
52 [y]πρότερον ποιῆσαι κυρίους ἢ ὁ θεὶς ἕκαστον ἠξίωσεν. τούτῳ [z]μέντοι τῷ νόμῳ σκέψασθε ὡς ἐναντίος ἐστὶν ὃν οὗτος τέθεικεν. ὁ μέν γε κελεύει τὸν γεγραμμένον [a]χρόνον ἢ τὴν ἡμέραν ἀφ' ἧς [b]ἂν τεθῇ κυρίαν εἶναι· ὁ δ' ἔγραψε "[c]καὶ "εἴ τινι προστετίμηται" περὶ τῶν παρεληλυθότων [d]λέγων.
53 καὶ οὐδὲ τοῦθ' ὥρισεν, ἄρχοντα προσγράψας ἀφ' οὗ, ἀλλὰ πεποίηκεν οὐ μόνον [e]πρὸ τῆς ἡμέρας [f]ἐν ᾗ τέθεικε κύριον τὸν νόμον, ἀλλὰ καὶ πρὸ τοῦ γενέσθαι τινὰ ἡμῶν· ἀόριστον γὰρ ἅπαντα τὸν παρεληλυθότα προσπεριείληφε [g]χρόνον. καίτοι [h]χρῆν σε, ὦ Τιμόκρατες, ἢ τοῦτον μὴ γράφειν ἢ ἐκεῖνον λύειν, οὐχ, ἵνα ὃ βούλει σὺ γένηται, [i]πάντα τὰ πράγματα [k]συνταράξαι. Λέγε ἄλλον νόμον.

ΝΟΜΟΣ.

54 Μηδὲ περὶ τῶν ἀτίμων, ὅπως χρὴ ἐπιτίμους αὐτοὺς εἶναι, μηδὲ περὶ τῶν ὀφειλόντων τοῖς θεοῖς ἢ τῷ [l]δημοσίῳ [m]τῷ Ἀθηναίων περὶ ἀφέσεως τοῦ ὀφλήματος ἢ τάξεως, ἐὰν μὴ ψηφισαμένων Ἀθηναίων τὴν ἄδειαν πρῶτον, μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ κρύβδην ψηφιζομένοις. τότε δ' ἐξεῖναι χρηματίζειν καθ' ὅ τι ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ.

55 [n]Ἄλλος [o]οὗτος νόμος, [p]οὐκ ἐῶν περὶ τῶν ἀτίμων οὐδὲ τῶν ὀφειλόντων λέγειν οὐδὲ χρηματίζειν περὶ ἀφέ-

[x] ἀναγεγραμμένους] γεγραμμένους k. s. γεγραμμένης γρ. F.
[y] πρότερον] μὴ πρότερον F. v.
[z] μέντοι] μὲν F. v.
[a] χρόνον om. pr. O.
[b] ἂν τεθῇ] ἐτέθη k. s. et γρ. r.
[c] καὶ ante εἴ om. S.
[d] λέγων om. k.
[e] πρὸ] ἀπὸ F. v.
[f] ἐν om. k.
[g] χρόνου om. k.
[h] χρῆν] ἐχρῆν s.
[i] πάντα] πάντως r.
[k] συνταράξαι] συνταραχθῇ k. s. et γρ. F. r.
[l] δημοσίῳ] δήμῳ s. et γρ. S. r.
[m] τῷ Ἀθηναίων] τῶν ἀθηναίων S. Y. r. s. v.
[n] οὗτος] αὐτοῦ k. s.
[o] οὐκ ἐῶν] ὁ κελεύων s.
[p] οὐδὲ τῶν] οὐδὲ περὶ τῶν Y. O.

σεως τῶν ὀφλημάτων [q] οὐδὲ τάξεώς, ἐὰν μὴ τῆς ἀδείας δοθείσης, καὶ ταύτης μὴ ἔλαττον ἢ ἑξακισχιλίων ψηφισαμένων. [r] οὗτος [s] δ' ἔγραψεν ἄντικρυς, καὶ εἴ τινι τῶν ὀφειλόντων [t] δεσμοῦ προστετίμηται, εἶναι τὴν ἄφεσιν πορισαμένῳ τοὺς [u] ἐγγυησομένους, οὐ προτεθέντος οὐδενὸς
56 περὶ τούτων, οὐδὲ δοθείσης ἀδείας λέγειν. καὶ ὁ μὲν νόμος, οὐδ' ἐπειδὰν τὴν ἄδειαν εὑρηταί τις, ἔδωκεν ὡς ἂν βούληται πράττειν, ἀλλ' ὡς ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ· τῷ δ' οὐκ ἀπέχρησε [x] τοῦτ' ἀδικεῖν μόνον, εἰ μὴ δοθείσης [y] τῆς ἀδείας λέγει καὶ νόμον εἰσφέρει περὶ τούτων, ἀλλὰ καὶ προσέτι οὐκ εἰς τὴν βουλήν, [z] οὐκ εἰς τὸν δῆμον εἰπὼν περὶ τούτων οὐδέν, ἐν παραβύστῳ, τῆς βουλῆς μὲν ἀφειμένης, τῶν δ' ἄλλων διὰ τὴν ἑορτὴν ἱερομη-
57 νίαν [a] ἀγόντων, λάθρᾳ [b] νόμον εἰσήνεγκεν. καίτοι [c] χρῆν σε, ὦ Τιμόκρατες, εἰδότα [d] τὸν νόμον τόνδε ὃν ἀνέγνων, εἴ τι δίκαιον ἐβούλου πράττειν, πρῶτον μὲν πρόσοδον γράψασθαι πρὸς τὴν βουλήν, εἶτα τῷ δήμῳ διαλεχθῆναι, [e] καὶ οὕτως, εἰ πᾶσιν Ἀθηναίοις ἐδόκει, γράφειν καὶ νομοθετεῖν περὶ τούτων, καὶ τότε τοὺς χρόνους ἀναμείναντα τοὺς ἐκ τῶν νόμων, ἵνα τοῦτον τὸν [f] τρόπον πράττων, εἰ 716
καί τις ἐπεχείρει δεικνύειν οὐκ ἐπιτήδειον ὄντα τῇ πόλει τὸν νόμον, μὴ οὖν ἐπιβουλεύειν γ' [g] ἐδόκεις ἀλλὰ γνώμῃ
58 διαμαρτὼν ἀποτυχεῖν. νῦν δὲ τῷ λάθρᾳ [h] καὶ ταχὺ καὶ

[q] οὐδὲ τάξεως] ἢ τάξεως k. r. s. v.
[r] οὗτος] ὁ k. om. s.
[s] δ' ἔγραψεν] ἀνέγραψεν s.
[t] δεσμοῦ] δεσμοὺς r. om. k. s.
[u] ἐγγυησομένους] ἐγγυησαμένους k. s.
[x] τοῦτ'] τῷτ' r.
[y] τῆς ante ἀδείας om. k. r. s.
[z] οὐκ εἰς τὸν δῆμον] ἀλλ' εἰς τὸν δῆμον v.
[a] ἀγόντων ante διὰ ponunt k. s.
[b] νόμον] τὸν νόμον k. r. s.
[c] χρῆν] ἐχρῆν k. s.
[d] τὸν νόμον τόνδε] τόνδε τὸν νόμον Y. O.
[e] καὶ οὕτως] καιθ' οὕτως S. καὶ τόθ' οὕτως F. r.
τρόπον
[f] τρόπου] νόμον r.
[g] ἐδόκεις] δοκῆς r.
[h] καὶ ante ταχὺ om. r.

παρὰ τοὺς νόμους [i] ἐμβαλεῖν τὸν νόμον εἰς τοὺς νόμους [k] καὶ μὴ θεῖναι πᾶσαν ἀφῄρησαι σαυτοῦ [l] τὴν συγγνώμην· τοῖς γὰρ [m] ἄκουσιν ἁμαρτοῦσι μέτεστι συγγνώμης, οὐ τοῖς [n] ἐπιβουλεύσασιν, ὃ σὺ νῦν εἵληψαι ποιῶν. ἀλλὰ γὰρ αὐτίκα ἐρῶ περὶ τούτων. νῦν δ' ἀναγίγνωσκε τὸν ἐξῆς νόμον.

ΝΟΜΟΣ.

59 Ἐὰν δέ τις ἱκετεύῃ ἐν τῇ βουλῇ ἢ ἐν τῷ δήμῳ περὶ ὧν δικαστήριον ἢ [o] ἡ βουλὴ ἢ ὁ δῆμος κατέγνω, ἐὰν μὲν αὐτὸς [p] ὁ ὄφλων [q] ἱκετεύῃ πρὶν ἐκτῖσαι, ἔνδειξιν εἶναι [r] αὐτοῦ, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἡλιάζηται· ἐὰν δ' ἄλλος ὑπὲρ τοῦ [s] ἀφληκότος ἱκετεύῃ πρὶν ἐκτῖσαι, δημοσία [t] ἔστω αὐτοῦ ἡ οὐσία [u] πᾶσα. ἐὰν δέ τις [x] τῶν προέδρων δῷ τινὶ τὴν ἐπιχειροτονίαν, ἢ αὐτῷ τῷ ἀφληκότι ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, πρὶν ἐκτῖσαι, ἄτιμος ἔστω.

60 [v] Ἔστι μὲν ἔργον, ὦ ἄνδρες δικασταί, εἰ περὶ πάντων τῶν νόμων, οἷς οὗτος ἐναντίον εἰσενήνοχεν, ἐροῦμεν· ἄξιον δέ, [y] εἴπερ περί [z] του καὶ ἄλλου, καὶ περὶ τοῦδε ὀν νῦν [a] ἀνέγνω διελθεῖν. ὁ γὰρ τὸν νόμον τοῦτον, ὦ ἄνδρες [b] Ἀθηναῖοι, θεὶς ἥδει τὴν φιλανθρωπίαν καὶ τὴν πραότητα τὴν ὑμετέραν, καὶ διὰ ταύτην ἐώρα [c] περὶ πολλῶν ὑμᾶς 61 ἐκόντας ἤδη ποτὲ μεγάλα ζημιωθέντας. βουλόμενος δὴ μηδεμίαν πρόφασιν τοῦ τὰ κοινὰ [d] κακῶς ἔχειν ὑπολιπεῖν, τοὺς μετὰ τῶν νόμων κρίσει καὶ δικαστηρίῳ μὴ δι- 717

[i] ἐμβαλεῖν] ἐκβαλεῖν O.
[k] καὶ ante μὴ om. O.
[l] τὴν om. k. s.
[m] ἄκουσιν ἁμαρτοῦσιν] ἄκουσιν ἁμαρτάνουσι k. s. ἀκουσίως ἁμαρτάνουσι γρ. F. S.
[n] ἐπιβουλεύσασιν] ἐπιβουλεύουσιν k. s.
[o] ἡ post ἢ om. F. S. Y. O. v.
[p] ὁ ante ὄφλων om. v.
[q] ἱκετεύῃ] ἱκετεύσῃ k. s.
[r] αὐτοῦ] κατ' αὐτοῦ F. Y. O. k. r. s. v.
[s] ἀφληκότος] ὀφληθέντος r.
[t] ἔστω αὐτοῦ] αὐτοῦ ἔστω k. s.
[u] πᾶσα] ἅπασα S. Y. O. r. v.
[x] τῶν om. k. s.
[y] εἴπερ] εἰ S. Y. O. r.
[z] του] τούτου pr. O.
[a] ἀνέγνω] ἀνέγνων s.
[b] Ἀθηναῖοι] δικασταί r.
[c] περὶ] παρὰ correctus k.
[d] κακῶς] καλῶς r.

καια ποιεῖν [e] ἐγνωσμένους οὐκ ᾤετο δεῖν τῆς εὐηθείας τῆς [f] ὑμετέρας ἀπολαύειν, τὸ δεῖσθαι καὶ μετὰ συμφορᾶς ἱκετεύειν ἔχοντας ἀφορμήν, ἀλλ' ὅλως ἀπεῖπε μήτ' αὐτῷ μήτ' ἄλλῳ μηδενὶ μήθ' ἱκετεύειν μήτε [g] λέγειν [h] ὑπὲρ τῶν τοιούτων, ἀλλὰ ποιεῖν τὰ δίκαια σιγῇ. εἰ τοίνυν τις [i] ἔροιθ' ὑμᾶς ποτέροις [k] μᾶλλον ἂν εἰκότως ποιήσαιθ' ὁτιοῦν, τοῖς δεομένοις ἢ τοῖς ἐπιτάττουσιν, οἶδ' ὅτι φήσαιτ' ἂν τοῖς δεομένοις· τὸ μὲν γὰρ χρηστῶν, τὸ δ' ἀνάνδρων ἀνθρώπων ἔργον ἐστίν. οὐκοῦν οἱ νόμοι μὲν ἅπαντες προστάττουσιν ἃ χρὴ ποιεῖν, οἱ τιθέντες δὲ τὰς ἱκετηρίας δέονται. εἰ τοίνυν ἱκετεύειν οὐκ ἔξεστιν, ἢ που [l] νόμον γ' ἐπίταγμα ἔχοντα εἰσφέρειν; ἐγὼ μὲν οὐκ οἶμαι. καὶ γὰρ αἰσχρόν, περὶ ὧν μηδὲ χαρίζεσθαι δεῖν ὑπειλήφατε, περὶ τούτων ἀκόντων ὑμῶν ἐᾶν, ἅ τινες βούλονται, πραχθῆναι.

63 Λέγε τὸν μετὰ τοῦτον [m] ἐφεξῆς.

ΝΟΜΟΣ.

Ὅσων δίκη πρότερον ἐγένετο [n] ἢ [o] εὐθῦνα ἢ διαδικασία περὶ του ἐν δικαστηρίῳ, ἢ [p] ἰδία ἢ δημοσία, ἢ τὸ δημόσιον ἀπέδοτο, μὴ εἰσάγειν περὶ τούτων εἰς τὸ δικαστήριον μηδ' ἐπιψηφίζειν τῶν ἀρχόντων μηδένα, μηδὲ κατηγορεῖν ἐώντων ἃ οὐκ ἐῶσιν οἱ νόμοι.

64 Τιμοκράτης τοίνυν, ὥσπερ μαρτυρίαν ὧν ἀδικεῖ γράφων, εὐθὺς ἀρχόμενος τοῦ νόμου τἀναντία ἔθηκε τούτοις. [q] ὁ μέν γε οὐκ ἐᾷ, περὶ ὧν ἂν ἅπαξ γνῷ [r] δικαστήριον, [s] πάλιν χρηματίζειν· ὁ δ' ἔγραψε, καὶ εἴ τινι προστετί-

[e] ἐγνωσμένους οὐκ ᾤετο] ἐγνωσμένος οὐκ ἠνείχετο Anecd. p. 91, 24.
[f] ὑμετέρας] ἡμετέρας r.
[g] λέγειν] κελεύειν O.
[h] ὑπὲρ] περὶ r.
[i] ἔροιθ'] ἐροῖθ' S.
[k] μᾶλλον ἄν] ἂν μᾶλλον r.
[l] νόμων] νόμου s.
[m] ἐφεξῆς] ἐφεξῆς νόμον Y. O. k. s.
[n] primum ἢ om. r.
[o] εὐθῦνα] εὔθυνα Y. r. s. εὐθύνα" O.
[p] ἰδία ἢ δημοσία] ἰδίαι ἢ δημοσίαι S. Y. O.
[q] ὁ] ὃς r.
[r] δικαστήριον] τὸ δικαστήριον F. k. r. s. v.
[s] πάλιν om. s.

μηται κατὰ νόμον ἢ κατὰ ψήφισμα, τὸν δῆμον τούτῳ χρηματίζειν, ὅπως ἃ μὲν [t] ἔγνω τὸ δικαστήριον [u] λυθήσε- 718
ται, [x] καταστήσει δ' ἐγγυητὰς [y] ὁ [z] ὄφλων. καὶ ὁ μὲν νόμος μηδ' ἐπιψηφίζειν φησὶ τῶν ἀρχόντων παρὰ ταῦτα μηδένα· ὁ δ' ἔγραψε τοῖς προέδροις ἐπάναγκες, ἐάν τις καθιστῇ, προσάγειν, καὶ προσέγραψεν "ὁπότ' ἄν τις "βούληται."

65 [a] Λέγε ἕτερον νόμον.

ΝΟΜΟΣ.

Τὰς δίκας καὶ τὰς διαίτας, ὅσαι ἐγίνοντο [b] ἐπὶ τοῖς νόμοις ἐν δημοκρατουμένῃ [c] τῇ πόλει, κυρίας εἶναι.

Οὔ [d] φησι Τιμοκράτης, οὔκουν [e] ὁπόσοις γ' ἂν δεσμῶ προστιμηθῇ.

Λέγε.

ΝΟΜΟΣ.

[f] Ὁπόσα δ' ἐπὶ τῶν τριάκοντ' ἐπράχθη ἢ [g] δίκη ἐδικάσθη, ἢ ἰδίᾳ ἢ δημοσίᾳ, ἄκυρα εἶναι.

66 Ἐπίσχες. Εἰπέ μοι, τί δεινότατον [h] πάντες ἂν ἀκού- 15
σαντες φήσαιτε, καὶ [i] τί [k] μάλιστ' ἂν ἀπεύξαισθε; οὐχὶ ταῦτα τὰ πράγματα, ἅπερ [l] ἦν ἐπὶ τῶν τριάκοντα, μὴ γενέσθαι; ἔγωγ' οἶμαι. ὁ γοῦν νόμος [m] οὑτοσὶ εὐλαβούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸ τοιοῦτον ἀπεῖπε τὰ πραχθέντα 20
[n] ἐπ' ἐκείνων μὴ κύρια εἶναι. οὑτοσὶ τοίνυν τὴν αὐτὴν

[t] ἔγνω] ἔγνωστο r.
[u] λυθήσεται] θήσεται O.
[x] καταστήσει] καταστήσῃ S. k. r. s.
[y] ὁ om. F.
[z] ὄφλων] ὀφειλων r. ὀφειλων k. s.
[a] λέγε] λέγε δ' pr. O.
[b] ἐπὶ τοῖς νόμοις om. r.
[c] τῇ om. v.
[d] φησι] φησὶ F. φήσει γρ. S.
[e] ὁπόσοις] ὁπόσαις S. ὁπόσοις r.
[f] ὁπόσα] οὗτος ἃ k. s.
[g] δίκη] δίκαι F.
[h] πάντες] ἅπαντες k. s.
[i] τί in γρ. S.
[k] μάλιστ' ἂν] ἂν μάλιστα F. s. v.
[l] ἦν om. r.
[m] οὑτοσὶ] οὑτοσὶν s.
[n] ἐπ' ἐκείνων om. k. s.

κατέγνω παρανομίαν τῶν ἐπὶ τῆς δημοκρατίας πεπραγμένων, ἥνπερ [o] τῶν ἐπ' ἐκείνων ὑμεῖς· ὁμοίως γοῦν ἄκυ-
67 ρα ποιεῖ. καίτοι [p] τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον [q] κύριον τὸν νόμον ἐάσαντες γενέσθαι; πότερον τὰ δι- 25
καστήρια, ἃ δημοκρατουμένης τῆς πόλεως ἐκ τῶν ὁμωμοκότων [r] πληροῦται, ταὐτὰ ἀδικήματα τοῖς ἐπὶ τῶν τριάκοντα ἀδικεῖν; καὶ πῶς οὐ δεινόν; ἀλλὰ δικαίως [s] ἐψηφίσθαι; τίνος οὖν [t] ἕνεκα τὸν [u] λύσοντα ταῦτα νόμον θέσθαι φήσομεν; πλὴν εἰ [x] μὴ τοῦτό τις [y] εἴποι, μανέντες· 719
ἄλλο γὰρ οὐκ ἔστιν εἰπεῖν.

68 Λέγ' [z] ἄλλον νόμον.

ΝΟΜΟΣ.

[a] Μηδὲ νόμον ἐξεῖναι ἐπ' ἀνδρὶ θεῖναι, [b] ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ 5
πᾶσιν Ἀθηναίοις τιθῇ, ψηφισαμένων μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ κρύβδην ψηφιζομένοις.

69 Οὐκ ἐᾷ νόμον ἀλλ' ἢ τὸν αὐτὸν τιθέναι κατὰ [c] τῶν πολιτῶν πάντων, καλῶς καὶ δημοτικῶς λέγων. ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον μέτεστιν ἑκάστῳ, [d] οὕτω 10
καὶ τούτων ἴσον μετέχειν ἕκαστον ἀξιοῖ. δι' οὓς μὲν τοίνυν οὗτος εἰσέφερε [e] τὸν νόμον, [f] ὑμεῖς οὐδὲν ἐμοῦ χεῖρον γιγνώσκετε· ἄνευ δὲ τούτων αὐτὸς [g] ὡμολόγησε μὴ ἐπὶ πᾶσι τὸν αὐτὸν τεθεικέναι, πλὴν περὶ τῶν τελωνῶν καὶ τῶν μισθουμένων καὶ τῶν τούτων ἐγγυητῶν χρῆσθαι προσ- 15

[o] τῶν ante ἐπ' om. F. S. Y. O. k. r. s.

[p] τί] γε s. et pr. k. τί γε correctus k.

[q] κύριον] κύριον εἶναι r.

[r] πληροῦται] πληροῦτε s.

[s] ἐψηφίσθαι] ἐψήφισθε s.

[t] ἕνεκα] εἵνεκα v.

[u] λύσοντα] λύσαντα r.

[x] μὴ om. S.

[y] εἴποι] εἴπῃ k.

[z] ἄλλον] ἕτερον k. s.

[a] Μηδὲ] μηδένα O. r.

[b] ἐὰν—πᾶσιν om. s. qui οἷς pro Ἀθηναίοις.

[c] τῶν πολιτῶν πάντων] πάντων τῶν πολιτῶν k. s.

[d] οὕτω—ἕκαστον om. k. s. οὕτω καὶ περὶ τούτου rec. margo k.

[e] τὸν νόμον om. S. s. et pr. k.

[f] ὑμεῖς οὐδὲν] οὐδὲν ὑμεῖς k. s.

[g] ὡμολόγησε] ὡμολόγηκε Y, O. k. r. s.

γράψας τῷ νόμῳ. οὐκοῦν ὁπότ' εἰσί τινες οὓς ἀφορίζεις,
70 [h] οὐκ ἂν ἔτι εἴης ἐπὶ πᾶσι τὸν αὐτὸν τεθεικώς. καὶ μὴν
οὐδ' ἐκεῖνό γ' ἂν εἴποις, ὡς, ὅσοις δεσμοῦ προστιμᾶται,
[i] τούτων [k] μάλιστα ἡ τὰ μέγιστα ἀδικοῦσιν οἱ τελῶναι, 20
ὥστε μόνοις αὐτοῖς μὴ μεταδοῦναι τοῦ νόμου. πολὺ γὰρ
δήπου μᾶλλον οἱ προδιδόντες τι τῶν [l] κοινῶν, οἱ τοὺς γο-
νέας [m] κακοῦντες, [n] οἱ μὴ [o] καθαρὰς τὰς χεῖρας ἔχοντες,
εἰσιόντες δ' εἰς τὴν ἀγοράν, ἀδικοῦσιν. οἷς ἅπασιν οἱ μὲν 25
ὑπάρχοντες νόμοι δεσμὸν προλέγουσιν, ὁ δὲ σὸς λελύσθαι
δίδωσιν. ἀλλ' ἐνταῦθα πάλιν καταμηνύεις ὑπὲρ ὧν ἐτί-
θεις· διὰ γὰρ τὸ μὴ τελωνήσαντας ὀφείλειν αὐτοὺς ἀλλὰ
κλέψαντας, μᾶλλον δ' ἁρπάσαντας τὰ χρήματα, διὰ
τοῦτ' οὐκ ἐφρόντισας, οἶμαι, τῶν τελωνῶν. 720

71 Πολλοὺς δ' ἄν [p] τις ἔχοι νόμους ἔτι καὶ καλῶς ἔχον-
τας δειχνύναι, οἷς πᾶσιν ἐναντίος ἐστὶν ὃν οὗτος τεθεικεν.
ἀλλ' ἴσως ἐγὼ μέν, εἰ περὶ πάντων ἐρῶ, ἐξωσθήσομαι
[q] περὶ τοῦ μηδ' ἐπιτήδειον ὅλως ὑμῖν εἶναι τὸν νόμον εἰ- 5
πεῖν. ὑμῖν δ' ὁμοίως ἔνοχος [r] φανεῖται τῇ γραφῇ, [s] καὶ
72 εἰ ἐνί τῶν [t] ὄντων νόμων ἐναντίος ἐστίν. πῶς οὖν [u] μοι
δοκεῖ; τοὺς μὲν ἄλλους ἐᾷν, περὶ δ' οὗ πρότερόν ποτ' αὐ-
τὸς [x] οὗτος ἔθηκε νόμου διελθόντ' ἐπ' ἐκεῖνο ἰέναι τὸ μέρος
τῆς κατηγορίας ἤδη, ὡς [y] καὶ [z] μεγάλ' ἂν βλάπτοι 10
[a] γενόμενος κύριος τὴν πόλιν. [b] τὸ μὲν οὖν τοῖς [c] τῶν ἄλ-

[h] οὐκ ἂν ἔτι εἴης ἐπὶ] οὐκέτ' ἂν εἴης ἔτι ἐπὶ r.
[i] τούτων] τούτων F. τούτοις γρ. S.
[k] μάλιστα] τὰ μάλιστα k. s.
[l] κοινῶν] κοινῶν ἢ Y. O. k. r. s.
[m] κακοῦντες] κακοῦντες k. s.
[n] οἱ] ἢ οἱ Y. O. k. r. s.
[o] καθαρὰς τὰς χεῖρας] τὰς χεῖρας καθαρὰς k. s.
[p] τις ἔχοι] ἔχοι τις r.
[q] περὶ τοῦ] περὶ τῶν r.
[r] φανεῖται] φαίνεται k.
[s] καὶ εἰ] εἰ καὶ k. s.
[t] ὄντων νόμων] ἐν τῷ νόμῳ k. s.
[u] μοι δοκεῖ] δοκεῖ μοι vulg.
[x] οὗτος om. S. et pr. Y.
[y] καὶ om. k. s.
[z] μεγάλ'] μέγα δ' S. μέγα Y.
[a] γενόμενος κύριος] κύριος ὢν k. s.
[b] τὸ μὲν οὖν τοῖς] τὸν μὲν τοῖς k.
[c] τῶν ἄλλων] ἄλλους k. s.

λων ἐναντίον εἰσενηνοχέναι νόμον δεινὸν μέν, ἀλλ' [d] ἄλλου δεῖται κατηγόρου· τὸ [e] δὲ τῷ ὑφ' ἑαυτοῦ πρότερον κειμένῳ νόμῳ τἀναντία [f] θεῖναι, τοῦτ' ἤδη ποιεῖ κατήγορον αὐτὸν αὐτοῦ γεγενῆσθαι. ἵν' οὖν τοῦτ' εἰδῆτε γιγνόμενον, [g] ἀνα- 15
γνώσεται τὸν νόμον ὑμῖν αὐτὸν ὃν οὗτος ἔθηκεν· ἐγὼ δὲ σιωπήσομαι. Λέγε.

ΝΟΜΟΣ.

73 Τιμοκράτης εἶπεν, ὁπόσοι Ἀθηναίων κατ' εἰσαγγελίαν ἐκ τῆς βουλῆς ἢ νῦν εἰσὶν ἐν τῷ [h] δεσμωτηρίῳ ἢ τὸ λοιπὸν κατατεθῶσι, 20
καὶ μὴ παραδοθῇ ἡ κατάγνωσις αὐτῶν τοῖς θεσμοθέταις ὑπὸ τοῦ γραμματέως τοῦ κατὰ πρυτανείαν κατὰ τὸν εἰσαγγελτικὸν νόμον, δεδόχθαι τοῖς θεσμοθέταις [i] εἰσάγειν τοὺς ἕνδεκα εἰς τὸ δικαστήριον [k] [ἐντὸς] τριάκονθ' ἡμερῶν ἀφ' ἧς ἂν παραλάβωσιν, ἐὰν 25
μή τι δημοσίᾳ [l] κωλύῃ, ἐὰν δὲ μή, ὅταν πρῶτον οἷόν τ' ᾖ. κατηγορεῖν δ' [m] Ἀθηναίων τὸν βουλόμενον οἷς ἔξεστιν. ἐὰν δ' ἀλῷ, τιμάτω ἡ ἡλιαία περὶ αὐτοῦ, ὅ τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτῖσαι. ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω [n] τέως ἂν ἐκτίσῃ ὅ τι ἂν 721
αὐτοῦ καταγνωσθῇ.

74 Ἀκούετε, ὦ ἄνδρες δικασταί; Λέγε αὐτοῖς αὐτὸ [o] τοῦτο πάλιν.

ΝΟΜΟΣ.

Ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω [p] τέως ἂν [q] ἐκτίσῃ. 5

Πέπαυσο. Ἔστιν οὖν ὅπως [r] ἂν ἐναντιώτερά τις [s] δύο θείη τοῦ δεδέσθαι, [t] τέως ἂν ἐκτίσωσι, τοὺς ἁλόντας, καὶ τοῦ καθιστάναι τοὺς αὐτοὺς τούτους ἐγγυητὰς ἀλλὰ μὴ δεῖν; ταῦτα τοίνυν κατηγορεῖ Τιμοκράτης Τιμοκράτους, 10

[d] ἄλλου] οὐ Y. O.
[e] δὲ τῷ ὑφ' ἑαυτοῦ] δ' αὐτοῦ S.
[f] θεῖναι] τιθέναι γρ. S.
[g] ἀναγνώσεται τὸν νόμον] τὸν νόμον ἀναγνώσετε r.
[h] δεσμωτηρίῳ] δικαστηρίῳ r.
[i] εἰσάγειν] εἰσαγαγεῖν r. s.
[k] ἐντὸς om. k. s.
[l] κωλύῃ] κωλύσῃ v.
[m] Ἀθηναίων] ἀθηναῖον v.
[n] τέως] τε ἕως S. k. r. s. τε ὡς v.
[o] τοῦτο om. r.
[p] τέως] τε ὡς S. τέ ως v. τε ἕως k. r. s.
[q] ἐκτίσῃ] ἐκτίσῃ ὅτι ἂν αὐτοῦ καταγνωσθῇ k. s.
[r] ἂν om. k. s.
[s] δύο θείη] θείη δύο r.
[t] τέως] τε ὡς S. τέ ως v. τε ἕως k. r. s.

οὐ Διόδωρος, οὐδ' ἄλλος [u] ὑμῶν οὐδεὶς τοσούτων ὄντων τὸ
75 πλῆθος. καίτοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι [x] δοκεῖ λήμ-
ματος ἢ τί ποιεῖν ἂν ὀκνῆσαι κέρδους ἕνεκα, ὅστις ἐναντία
αὐτὸς [y] ἑαυτῷ νομοθετεῖν ἠξίωσεν, [z] οὐδὲ τοῖς ἄλλοις τῶν 15
νόμων ἐώντων; ἐμοὶ μὲν γὰρ ἕνεκ' ἀναιδείας ὁ τοιοῦτος
76 δοκεῖ πᾶν ἂν ἑτοίμως ἔργον ποιῆσαι. ὥσπερ τοίνυν, ὦ
ἄνδρες Ἀθηναῖοι, τῶν περὶ τἆλλα [a] κακούργων τοὺς ὁμο-
λογοῦντας ἄνευ κρίσεως κολάζειν [b] οἱ νόμοι κελεύουσιν,
οὕτω δίκαιον καὶ [c] τούτου, ἐπειδὴ τοὺς νόμους κακουργῶν 20
εἴληπται, μὴ δόντας λόγον μηδ' ἐθελήσαντας ἀκοῦσαι
καταψηφισασθαι· ὡμολόγηκε γὰρ [d] θατέρῳ τῷ προτέρῳ
νόμῳ [e] ἐναντίον τόνδε τιθεὶς ἀδικεῖν.
77 Ὅτι μὲν τοίνυν καὶ παρὰ τούτους [f] τοὺς νόμους καὶ
παρὰ τοὺς προειρημένους, καὶ μικρῷ δέω παρὰ [g] πάντας 25
εἰπεῖν τοὺς ὄντας ἐν τῇ πόλει, τέθεικε τὸν νόμον, εἴομαι
δῆλον ἅπασιν ὑμῖν εἶναι. θαυμάζω δ' [h] αὐτοῦ τί ποτε
[i] καὶ τολμήσει [k] λέγειν περὶ τούτων. οὔτε γὰρ ὡς οὐκ
ἐναντίος ἔσθ' ὁ νόμος τοῖς ἄλλοις, δεικνύειν ἕξει, οὔθ' ὡς
δι' ἀπειρίαν ἰδιώτην [l] αὐτὸν ὄντα τοῦτ' ἔλαθε, δύναιτ' ἂν 722
πεῖσαι· πάλαι γὰρ μισθοῦ καὶ γράφων καὶ νόμους εἰσ-
78 φέρων ὤπται. καὶ μὴν οὐδ' ἐκεῖνό γ' [m] ἔνεστιν αὐτῷ,
ἀδίκημα μὲν εἶναι τὸ πρᾶγμα ὁμολογῆσαι, συγγνώμης δὲ
τυχεῖν ἀξιοῦν· [n] οὐ γὰρ ἄκων οὐδ' ὑπὲρ ἠτυχηκότων

[u] ὑμῶν post ὄντων ponunt k. s.
[x] δοκεῖ] δοκῇ r. s. v.
[y] ἑαυτῷ] αὐτῷ v. αὑτῷ Y.
[z] οὐδὲ τοῖς ἄλλοις τῶν νόμων] τῶν νόμων οὐδὲ τοῖς ἄλλοις k. s. τῶν νόμων οὐδὲ τοῖς ἄλλοις τῶν νόμων r.
[a] κακούργων] κακουργούντων k. s.
[b] οἱ νόμοι κελεύουσιν] κελεύουσιν οἱ νόμοι k. s.
[c] τούτου] Libri omnes τοῦτον.
[d] θατέρῳ] θάτερον S. k. r. s.
[e] ἐναντίον om. S.
[f] τοὺς νόμους] om. pr. Y. ante τούτους ponunt k. r. s.
[g] πάντας] ἅπαντας S.
[h] αὐτοῦ] αὐτὸν k. s.
[i] καὶ om. k. s.
[k] λέγειν περὶ τούτων] περὶ τούτων λέγειν k. s.
[l] αὐτὸν et τοῦτ' om. k. s.
[m] ἔνεστιν] ἔστιν k. s.
[n] οὐ] οὐδὲ F. k. r. s. v.

οὐδ' ὑπὲρ συγγενῶν καὶ ἀναγκαίων [o]αὐτῷ τεθεικὼς φαίνεται τὸν νόμον, ἀλλ' ἐκὼν ὑπὲρ μεγάλα ἠδικηκότων ὑμᾶς, [p]οὐδὲν προσηκόντων αὐτῷ, πλὴν εἰ μὴ συγγενεῖς ὑπολαμβάνειν [q]φήσει τοὺς μισθουμένους [r]αὐτόν.

79 Ὡς τοίνυν οὐδ' ἐπιτήδειον [s]νόμον ὑμῖν οὐδὲ συμφέροντ' εἰσενήνοχε, τοῦτ' ἤδη πειράσομαι νυνὶ δεικνύναι. οἶομαι [t]δὴ [u]πάντας [x]ἂν [y]ὑμᾶς ὁμολογῆσαι δεῖν τὸν ὀρθῶς ἔχοντα νόμον καὶ συνοίσειν μέλλοντα τῷ πλήθει πρῶτον μὲν ἁπλῶς καὶ πᾶσι [z]γνωρίμως γεγράφθαι, καὶ μὴ τῷ μὲν εἶναι ταυτὶ περὶ αὐτοῦ [a]νομίζειν, τῷ δὲ ταυτί. ἔπειτ' εἶναι δυνατὰς τὰς πράξεις, ἃς δεῖ γίγνεσθαι διὰ τοῦ νόμου· εἰ γὰρ αὖ καλῶς μὲν [b]ἔχοι, μὴ δυνατὸν δέ τι
80 φράζοι, εὐχῆς, οὐ νόμου διαπράττοιτ' ἂν ἔργον. πρὸς δὲ τούτοις [c]μηδενὶ τῶν ἀδικούντων φαίνεσθαι μηδεμίαν [d]διδόντα ῥαστώνην. εἰ γὰρ δημοτικόν τις ὑπείληφε τὸ πράους εἶναι τοὺς νόμους, τίσι [e]τούτοις [f]προσεξεταζέτω, κἂν περ ὀρθῶς βούληται σκοπεῖν, εὑρήσει τοῖς κρίνεσθαι μέλλουσιν, οὐ τοῖς ἐξεληλεγμένοις· ἐν μὲν γὰρ τοῖς ἄδηλον εἴ τις [g]ἔστ' ἀδίκως διαβεβλημένος, τοῖς [h]δὲ οὐδὲ λόγος
81 λείπεται τὸ μὴ οὐ πονηροῖς εἶναι. τούτων τοίνυν ὧν διεξελήλυθα ἐγὼ [i]νῦν οὐδ' ὁτιοῦν οὗτος ἔχων ὁ νόμος φανήσεται, τἀναντία δ' [k]ἑξῆς πάντα. πολλαχόθεν μὲν οὖν ἄν

[o] αὐτῷ] αὐτὸς k.
[p] οὐδὲν] καὶ οὐδὲν rec. O. k.
[q] φήσει] φήσει r. φησὶν S.Y.O. φήσῃ F.
[r] αὐτόν] αὐτό S.
[s] νόμον ὑμῖν] ὑμῖν νόμον k. s.
[t] δὴ om. S.
[u] πάντας] ἅπαντας S.
[x] ἂν om. S. Y. O. r.
[y] ὑμᾶς om. F. v.
[z] γνωρίμως] ὁμοίως γνωρίμως F. Y. O. k. r. s. v.
[a] νομίζειν] γνωρίζειν s.
[b] ἔχοι] ἔχει v.
[c] μηδενὶ] οὐδενὶ F. et pr. v.
[d] διδόντα] διδόντων s.
[e] τούτοις] τούτους r.
[f] προσεξεταζέτω] παρεξεταζέτω s.
[g] ἔστ'] ἔνεστ' Y. O. k. s.
[h] δὲ om. r.
[i] νῦν] νυνὶ k. s.
[k] ἑξῆς] ἐφεξῆς k. s.

τις ἔχοι ταῦτο [l] διδάσκειν, μάλιστα δὲ τὸν νόμον αὐτὸν ὃν 723
τεθεικε διεξιών. ἔστι γὰρ οὐ τὸ μὲν αὐτοῦ καλῶς κεί-
μενον τὸ δὲ ἡμαρτημένον, ἀλλ' [m] ὅλος ἐξ ἀρχῆς, ἀπὸ [n] τῆς
πρώτης συλλαβῆς μέχρι τῆς τελευταίας, ἐφ' [o] ὑμῖν κεῖ-
ται. λαβε δ' αὐτοῖς τὴν γραφὴν [p] αὐτὴν, καὶ μέχρι τοῦ 8
πρώτου μέρους ἀνάγνωθι τὸν νόμον· ῥᾷστα γὰρ οὕτως ἐγώ
τε διδαξω καὶ ὑμεῖς μαθήσεσθ' ἃ λεγω.

82 ΝΟΜΟΣ.

Ἐπὶ τῆς Πανδιονίδος πρώτης πρυτανείας [q] δωδεκάτῃ, τῶν προ- 10
έδρων ἐπεψήφισεν Ἀριστοκλῆς Μυρρινούσιος, Τιμοκράτης εἶπε,
καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον
ἢ κατὰ ψήφισμα δεσμοῦ ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ ἢ 15
ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι.

Ἔπισχες· αὐτικα γὰρ καθ' ἕκαστον [r] ἀναγνώσει.

83 Τουτὶ πάντων, ὦ ἄνδρες δικασταί, τῶν γεγραμμένων ἐν
τῷ νόμῳ σχεδόν ἐστι δεινότατον. οἶομαι γὰρ [s] οὐδένα [t] ἀν-
θρώπων ἄλλον τολμῆσαι, νόμον εἰσφέροντα ἐπὶ τῷ χρῆ- 20
σθαι τοὺς πολίτας αὐτῷ, τὰς κατὰ τοὺς πρότερον κυρίους
νόμους κρίσεις γεγενημένας ἐπιχειρῆσαι λύειν. τοῦτο τοί-
νυν οὑτοσὶ Τιμοκράτης ἀναιδῶς καὶ [u] οὐδ' [x] ἀποκρυψά-
μενος πεποίηκε, γράψας διαρρήδην "καὶ εἴ τινι τῶν 25
"ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ
84 "κατὰ ψήφισμα δεσμοῦ ἢ τὸ λοιπὸν προστιμηθῇ." περὶ
[y] μὲν δὴ τῶν μελλόντων εἴ τι δικαιον ἔπεισεν ὑμᾶς, [z] οὐκ
ἂν ἠδικει· περὶ δ' ὧν δικαστήριον ἔγνωκε καὶ τέλος 724

[l] διδάσκειν] διδάσκων k. s.
[m] ὅλος] ὅλον S. ὅλως v.
[n] τῆς, ante πρώτης om. S.Y.O.r.
[o] ὑμῖν] ἡμῶν s.
[p] αὐτὴν] ταύτην F. r. v.
[q] δωδεκάτῃ in margine ponit S. δωδεκάτῃ τῆς πρυτανείας Y. O. k. r. s.
[r] ἀναγνώσει O. ἀναγνώσῃ reliqui.
[s] οὐδένα] μηδένα Y. O. k. r. s.
[t] ἀνθρώπων] ἄνθρωπον F. ἄνθρωπον S. v.
[u] οὐδ'] οὐδὲν Y.O.k.r.s. et correctus v.
[x] ἀποκρυψάμενος] ἀπεκρυσάμενος F. v.
[y] μὲν om. O.
[z] οὐκ ἂν] οὐ γὰρ O.

ἔσχηκε, πῶς [a]οὐ δεινὰ ποιεῖ νόμον εἰσφέρων δι' οὗ ταῦτα λυθήσεται; ὥσπερ [b]ἂν εἴ τις ἐάσας κύριον [c]τὸν τούτου γενέσθαι νόμον [d]γράψειεν ἕτερον τοιόνδε "καὶ εἴ τινες, "ὠφληκότες χρήματα καὶ δεσμοῦ [e]προστετιμημένον "αὐτοῖς, ἐγγυητὰς κατέστησαν κατὰ [f]τὸν νόμον, μὴ "εἶναι τὴν [g]διεγγύησιν αὐτοῖς, μηδὲ τὸ λοιπὸν ἐξεγγυᾶν "μηδένα." ἀλλ' οὔτε ταῦτα ποιήσειεν ἂν οὐδεὶς ὑγιαίνων, οἶμαι, σύ τ' ἐκεῖνα λύων ἠδίκεις. χρῆν γὰρ αὐτόν, εἰ τὸ πρᾶγμ' ἐνόμιζε δίκαιον, ἐπὶ τοῖς ὕστερον γενησομένοις θεῖναι τὸν νόμον, καὶ μὴ συνενεγκόντα εἰς ταὐτὸ [h]τὰ μέλλοντα τοῖς παρεληλυθόσι καὶ τὰ μὴ δῆλα τοῖς φανεροῖς ἀδικήμασιν εἶτ' ἐπὶ πᾶσι γράψαι τὴν αὐτὴν γνώμην. πῶς γὰρ οὐ δεινὸν τῶν αὐτῶν ἠξιωκέναι δικαίων τοὺς ἐξεληλεγμένους [i]ἀδικοῦντας τὴν πόλιν πρότερον, καὶ τοὺς μηδ' εἰ κρίσεως ἄξιον ἐργάσονταί τι δήλους;

86 Καὶ μὴν κἀκεῖθεν ἴδοι τις ἂν ὡς δεινὸν πεποίηκε τὸ θεῖναι περὶ τῶν παρεληλυθότων τὸν νόμον, εἰ λογίσαιτο παρ' αὐτῷ, τί ποτ' ἐστὶν ᾧ νόμος ὀλιγαρχίας διαφέρει, καὶ τί δή ποθ' οἱ μὲν ὑπὸ [k]νόμων ἐθέλοντες ἄρχεσθαι σώφρονες [l]καὶ ἐλεύθεροι καὶ χρηστοὶ [m]πολῖται νομίζονται, οἱ δ' ὑπὸ τῶν ὀλιγαρχιῶν ἄνανδροι καὶ δοῦλοι.

87 εὕροι γὰρ ἂν ὡς ἀληθῶς τοῦτο προχειρότατον, ὅτι τῶν μὲν ἐν ταῖς ὀλιγαρχίαις ἕκαστος καὶ τὰ πεπραγμένα λῦσαι καὶ περὶ τῶν μελλόντων ἃ ἂν αὐτῷ δοκῇ προστάξαι κύ-

[a] οὐ] οὐχὶ v.
[b] ἂν] οὖν r. s.
[c] τὸν τούτου γενέσθαι] γενέσθαι τὸν τούτου v.
[d] γράψειεν ἕτερον] ἕτερον γράψειεν r.
[e] προστετιμημένον] προστετιμημένων Y. O. r. s. προστετιμημένου correctus k.
[f] τὸν νόμον] τὸν τούτου νόμον F. v.
[g] διεγγύησιν] ἐγγύησιν Y. O. k. r. s. Conf. Anecd. p. 94, 18.
[h] τὰ μέλλοντα τοῖς παρεληλυθόσι] τοῖς παρεληλυθόσι τὰ μέλλοντα r.
[i] ἀδικοῦντας] ἀδικεῖν γρ. S.
[k] νόμων] νόμου k. s.
[l] καὶ ἐλεύθεροι om. F. S. Y. O. v.
[m] [πολῖται] om. k. s.

ριός ἐστιν, οἱ δὲ νόμοι περὶ τῶν μελλόντων ἃ χρὴ γίγνεσθαι φράζουσι, [n]μετὰ τοῦ πεῖσαι τεθέντες ὡς συνοίσουσι τοῖς χρωμένοις. Τιμοκράτης τοίνυν ἐν δημοκρατουμένῃ τῇ πόλει νομοθετῶν τὴν ἐκ τῆς ὀλιγαρχίας ἀδικίαν εἰς τὸν αὐτοῦ νόμον μετήνεγκε, καὶ περὶ τῶν παρεληλυθότων 725
αὐτὸν κυριώτερον τῶν καταγνόντων δικαστῶν ἠξίωσε ποιῆσαι.

88 Καὶ οὐ τοῦτο μόνον πεποίηκεν ὑβριστικόν, ἀλλὰ καὶ [o]γέγραφεν, [p]ἢ τὸ λοιπὸν ἐάν τινι προστιμηθῇ δεσμῶν, εἶναι καταστήσαντι τοὺς ἐγγυητάς, [q]ἢ μὴν ἐκτίσειν, 5
ἀφεῖσθαι. καίτοι [r]χρῆν [s]αὐτόν, εἰ τὸ δεδέσθαι δεινὸν ἡγεῖτο, μηδενὶ προστιμᾶν, ὃς ἂν ὑμῖν ἐγγυητὰς [t]καθιστῇ, δεσμοῦ νομοθετῆσαι, μὴ προλαβόντα κατεγνωκότας ὑμᾶς [u]τὸν δεσμὸν μηδ' ἐχθρῶς [x]διατεθέντα πρὸς ὑμᾶς τὸν 10
ἡλωκότα τηνικαῦτα [y]ποιεῖν τὴν [z]ἐξεγγύησιν. νυνὶ δ', ὥσπερ ἐνδεικνύμενος ὅτι, κἂν ὑμῖν δοκῇ δεδέσθαι τινά, [a]αὐτὸς ἀφήσει, τοῦτον τὸν τρόπον τὸν νόμον εἰσήνεγκεν.

89 ἆρ' οὖν τῷ δοκεῖ συμφέρειν τῇ πόλει τοιοῦτος νόμος, ὃς δικαστηρίου γνώσεως αὐτὸς κυριώτερος ἔσται καὶ [b]τὰς ὑπὸ 15
τῶν ὁμωμοκότων γνώσεις τοῖς ἀνωμότοις προστάξει λύειν; ἐγὼ μὲν οὐκ οἶμαι. φαίνεται τοίνυν ὁ τούτου νόμος ταῦτ' ἔχων ἀμφότερα. ὥστ' εἴπερ ὑμῶν ἑκάστῳ μέλει τι τῆς πολιτείας καὶ δεῖν οἴεσθαι κυρίαν εἶναι τὴν αὐτοῦ γνώμην

[n] μετὰ τοῦ πεῖσαι] μεταπεῖσαι r.
[o] γέγραφεν] γέγραπται F. S. Y. O. r.
[p] ἢ] καὶ F. v. et correctus O.
[q] ἢ μὴν—καίτοι om. pr. v.
[r] χρῆν S. ceteri ἐχρῆν.
[s] αὐτὸν] αὐτὸν νομοθετῆσαι μὴ προστιμᾶν δεσμὸν τοῖς καθιστῶσιν ἐγγυητάς, οὐχὶ δὲ μετὰ τὴν προστίμησιν καὶ κατάγνωσιν τῶν δικαστῶν τηνικαῦτα κελεῖσαι διὰ τοῦ νόμου ποιεῖν τὴν ἐγγύησιν μετὰ τὸν δεσμόν, ἢ μὴν ἐκτίσειν ἀφεῖσθαι. καίτοι ἐχρῆν αὐτὸν v.
[t] καθιστῇ] καθίστη Y. O.
[u] τὸν δεσμὸν] τῶν δεσμῶν r. s.
[x] διατεθέντα] διαθέντα F.
[y] ποιεῖν] ποιεῖ r.
[z] ἐξεγγύησιν] ἐγγύησιν k.
[a] αὐτὸς ἀφήσει] ἀφήσει αὐτὸς r.
[b] τὰς ὑπὸ τῶν ὀμ. γνώσεις] τὰς τῶν ὀμ. γνώμας r. s. et γρ. F.

περὶ ὧν ἂν ὁμωμοκὼς ψηφίσηται, λυτέος καὶ οὐκ [c]ἐατέος [d]ὁ τοιοῦτος νόμος [e]κύριος [f]νυνὶ γενέσθαι.

90 Οὐ τοίνυν ἀπέχρησεν αὐτῷ τὰ δικαστήρια ἄκυρα ποιῆσαι τῶν προστιμημάτων, ἀλλ' οὐδὲ ἃ δίκαια ὡρίσατο αὐτὸς ἐν τῷ νόμῳ καὶ προσέταξε τοῖς ὠφληκόσιν, οὐδὲ ταῦτα ἁπλῶς οὐδὲ ἀδόλως φανήσεται γεγραφώς, ἀλλ' ὡς ἂν μάλιστά τις ὑμᾶς ἐξαπατῆσαι καὶ παρακρού-
91 σασθαι βουλόμενος. σκέψασθε γὰρ ὡς γέγραφεν. Τιμοκράτης εἶπε, φησί, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα 726 δεσμοῦ ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἢ μὴν ἐκτίσειν. ἐνθυμεῖσθ', ἀπὸ τοῦ δικαστηρίου καὶ
92 τῆς καταγνώσεως οἷ διεπήδησεν. ἐπὶ τὸν δῆμον, ἐκκλεπτων τὸν ἠδικηκότα καὶ τὴν παράδοσιν αὐτοῦ τὴν τοῖς ἔνδεκα. [g]τίς γὰρ [h]ἀρχὴ παραδώσει τὸν [i]ὄφλοντα; τίς τῶν ἔνδεκα παραλήψεται; κελεύοντος μὲν [k]τοῦ νόμου τούτου ἐν τῷ [l]δήμῳ καθιστάναι τοὺς ἐγγυητάς, ἀδυνάτου δ' ὄντος αὐθημερὸν [m]ἐκκλησίαν ἅμα καὶ δικαστήριον γενέσθαι, οὐδαμοῦ δ' ἐπιτάττοντος φυλάττειν [n]τέως ἂν κατα-
93 στήσῃ τοὺς ἐγγυητάς. καίτοι τί ποτ' ἦν δι' ὃ προσγράψαι σαφῶς ὤκνησε "τὴν δ' ἀρχὴν τὸν ὄφλοντα φυλάτ-" "τειν [o]τέως ἂν καταστήσῃ τοὺς ἐγγυητάς;" [p]πότερ' [q]οὐχὶ δίκαιον; εὖ οἶδ' ὅτι πάντες ἂν φήσαιτε. ἀλλ'

[c] ἐατέος] ἀκουστέος r.
[d] ὁ] οὗτος ὁ S.
[e] κύριος om. pr. k.
[f] νυνὶ γενέσθαι] νυνὶ γίνεσθαι S. νυνὶ γεγενῆσθαι k.s. γενέσθαι νυνὶ v.
[g] τίς γὰρ—ἔνδεκα om. F. γρ. ἀρχὴ
[h] ἀρχὴ] ἀρχῇ O. χρὴ r.
[i] ὄφλοντα] ὀφείλοντα F.
[k] τοῦ νόμου in γρ. S.
[l] δήμῳ] δήμῳ τούτῳ r.
[m] ἐκκλησίαν om. s. et pr. k.
[n] τέως] τε ὡς S. τε ἕως r.s. τέως ἕως k.
[o] τέως] τε ἕως r. s. τέως ἕως k.
[p] πότερ'] πότερον F. r. v.
[q] οὐχὶ] οὐ k. s.

ἐναντίον ἦν τινὶ ταῦτο νόμῳ; οὐκ, ἀλλὰ [r]μόνον κατὰ [s]τοὺς νόμους. τί ποτ' οὖν ἦν; οὐδὲν ἂν [t]ἄλλο τις εὕροι, πλὴν ὅτι οὐχ ὅπως δώσουσι δίκην, ὧν ἂν ὑμεῖς κατα-
γνῶτε, ἐσκόπει, ἀλλ' ὅπως μή.

94 Εἶτα [u]πῶς γέγραπται μετὰ ταῦτα; καθιστάναι τοὺς ἐγγυητὰς ἢ μὴν [x]ἐκτίσειν τὸ ἀργύριον ὃ ὤφλεν. [y]ἐνταυθὶ πάλιν τῶν [z]μὲν [a]ἱερῶν χρημάτων τὴν δεκαπλασίαν ὑφήρηται, τῶν δ' ὁσίων, ὁπόσων ἐν [b]τῷ νόμῳ διπλασιάζεται, τὸ ἥμισυ. πῶς δὴ τοῦτο ποιεῖ; γράψας ἀντὶ μὲν τοῦ τιμήματος τὸ ἀργύριον, ἀντὶ δὲ τοῦ τὸ γιγνόμενον, ὃ
95 ὤφλεν. διαφέρει δὲ τί; εἰ μὲν ἔγραψε καθιστάναι τοὺς ἐγγυητὰς ἢ μὴν ἐκτίσειν τὸ τίμημα τὸ γιγνόμενον, προσ-περιειλήφει τοὺς νόμους ἄν, καθ' οὓς τὰ μὲν δεκαπλᾶ τὰ δὲ καὶ διπλᾶ γίγνεται τῶν ὀφλημάτων· ὥστε ἐκ τούτων 727
[c]ἦν ἀνάγκη τοῖς [d]ὀφλουσι τὸ γεγραμμένον [e]τ' ἐκτίνειν καὶ τὰς ἐκ τῶν νόμων προσούσας ζημίας καταβάλλειν. νῦν [f]δὲ τῷ γράψαι "τὴν κατάστασιν εἶναι τῶν ἐγγυητῶν "ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον ὃ ὤφλεν" ἐκ τῆς [g]λήξεως καὶ τῶν γραμμάτων, ἐφ' οἷς ἕκαστος εἰσήχθη, [h]ποιεῖ τὴν ἔκτισιν, ἐν οἷς πᾶσιν ἁπλοῦν, [i]ὅ τις [k]ὤφλεν, ἀργύριον γέγραπται.

96 Μετὰ ταῦτα τοίνυν [l]τηλικοῦτο πρᾶγμα ἁπλῶν ἐν τῇ τῶν ῥημάτων μεταθέσει προσέγραψε "τοὺς δὲ προέδρους

[r] μόνον] μᾶλλον F. O. v.
[s] τοὺς om. s.
[t] ἄλλο τις εὕροι] εὕροι τις ἄλλο v.
[u] πῶς om. k.
[x] ἐκτίσειν om. pr. r.
[y] ἐνταυθὶ] ἐνταυθοῖ F. ἐνταυθοῖ k. r. s. v.
[z] μὲν om. S. post ἱερῶν ponunt k. s.
[a] ἱερῶν χρημάτων] ἰσχημάτων O.
[b] τῷ om. S.
[c] ἦν] ἦν ἂν rec. k.
[d] ὀφλουσι] ὀφείλουσι Y. O. k. r. s.
[e] τ' om. v.
[f] δὲ] δ' ἂν S. v.
[g] λήξεως] λάξεως F. S. v. et γρ. O.
[h] ποιεῖ] ποιεῖν Y. O. k. s. et pr. r.
[i] ὅ τις] ὅστις v. et pr. r.
[k] ὤφλεν] ὤφλη v. ὤφληκεν O.
[l] τηλικοῦτο] τηλικοῦτο" F. τηλικοῦτον r. v.

" [m]ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βού-
" ληται," παρὰ [n]πάντα τὸν νόμον οἰόμενος δεῖν σώζειν
τὸν ἠδικηκότα καὶ τὸν ἐν ὑμῖν ἠλωκότα. δοὺς γὰρ ὅταν
βούληται τὴν κατάστασιν αὐτῷ τῶν ἐγγυητῶν, ἐπ' ἐκείνῳ
97 πεποίηκε μηδέποτ' ἐκτῖσαι μηδὲ δεθῆναι. τίς γὰρ οὐ
ποριεῖται φαύλους ἀνθρώπους, οὓς ὅταν ὑμεῖς ἀποχειρο-
τονήσητε [o]ἀπαλλάξεται; ἐὰν γάρ τις ὡς οὐ καθιστάντα
τοὺς ἐγγυητὰς ἀξιοῖ δεδέσθαι, [p]φήσει καὶ καθιστάναι
καὶ καταστήσειν, καὶ [q]δείξει τὸν τούτου νόμον, ὃς καθι-
στάναι μὲν ὅταν βούληται κελεύει, φυλάττειν δὲ τέως οὐ
λέγει, οὐδ', [r]ἂν ἀποχειροτονήσηθ' ὑμεῖς τοὺς ἐγγυητάς,
[s]δεδέσθαι προστάττει, ἀλλ' ὡς ἀληθῶς ὥσπερ ἀλεξιφάρ-
μακόν ἐστι τοῖς ἀδικεῖν βουλομένοις.
98 Τῷ δὲ καταστήσαντι, [t]φησί, τοὺς ἐγγυητάς, ἐὰν ἀπο-
διδῷ τῇ πόλει τὸ ἀργύριον [u]ἐφ' ᾧ κατέστησε τοὺς ἐγγυη-
τάς, [x]ἀφεῖσθαι τοῦ δεσμοῦ. πάλιν ἐνταῦθ' ἐπέμεινεν ἐπὶ
τοῦ κακουργήματος ὃ μικρῷ πρότερον [y]εἶπον, καὶ οὐκ
ἐπελάθετο, οὐδ' ἔγραψε τὸ τίμημα τὸ γιγνόμενον ἀλλὰ
τὸ ἀργύριον ὃ ὤφλεν, ἐὰν ἀποδιδῷ, ἀφεῖσθαι τοῦ δεσμοῦ. 728
99 Ἐὰν δὲ μὴ καταβάλῃ τἀργύριον ἡ αὐτὸς ἢ [z]οἱ ἐγ-
γυηταὶ ἐπὶ τῆς ἐνάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα
δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. ἐν
[a]δὴ τῷ τελευταίῳ τούτῳ παντελῶς αὐτὸς αὑτοῦ κατήγο-
ρος, [b]ὡς ἀδικεῖ, γεγονὼς φανήσεται. οὐ γὰρ ὅλως τὸ

[m] ἐπιχειροτονεῖν] χειροτονεῖν k.s.
[n] πάντα] ἅπαντα S.
[o] ἀπαλλάξεται] ἀπαλλάξετε Y. O. r. s. ἀπαλλάξονται F. S. v.
[p] φήσει] φήσῃ S.
[q] δείξει] δείξῃ S. δείξειν k. r. s.
[r] ἂν] ἐὰν s.
[s] δεδέσθαι προστάττει] προστάττει δεδέσθαι S.
[t] φησί] φήσει s. φήσοι r.
[u] ἐφ' ᾧ—δεσμοῦ om. Y. O. k. r. s. in ima pagina apponit S.
[x] ἀφεῖσθαι S. vulg. ἀφεῖναι.
[y] εἶπον] εἶπε k. s.
[z] οἱ om. v.
[a] δὴ] δὲ margo O.
[b] ὡς] ὡς F.

δεδίσθαι τινὰ τῶν πολιτῶν αἰσχρὸν ἢ δεινὸν νομίσας
100 [c]ἀπεῖπε μὴ δεῖν, ἀλλὰ τὸν καιρόν, ἐν ᾧ τὸν ἠδικηκότα
εἴη παρόντα λαβεῖν, ἐκκλέψας τοὔνομα [d]μὲν τῆς τιμω-
ρίας ἔλιπε τοῖς ἀδικουμένοις [e]ὑμῖν, τὸ δ' ἔργον ἀφείλετο.
καὶ παρ' ἀκόντων ἔδωκεν ἄφεσιν τοῖς τὰ [f]ὑμέτερα ἀξιοῦ-
σιν ἔχειν βία, καὶ μόνον οὐ προσέγραψε δίκην ἐξεῖναι
λαχεῖν αὐτῷ [g]κατὰ τῶν δικαστῶν τῶν προστιμησάντων
τοῦ δεσμοῦ.

101 [A]Ὁ δέ, πολλῶν ὄντων καὶ δεινῶν ὧν ἐν τῷ νόμῳ τεθεικε,
μάλιστ' ἄξιόν ἐστ' ἀγανακτῆσαι, βούλομαι πρὸς ὑμᾶς
εἰπεῖν. δι' ὅλου [h]γὰρ τοῦ νόμου τῷ καταστήσαντι τοὺς
ἐγγυητὰς [i]ἅπαντα λέγει, τῷ δὲ μὴ καθιστάντι μήτε
βελτίους μήτε χείρους, μηθ' ὅλως προσέχοντι τὸν νοῦν
[k]ὑμῖν, οὐδεμίαν οὔτε δίκην οὔτε τιμωρίαν [l]προσγέγραφεν,
ἀλλ' ἄδειαν πεποίηκε τοσαύτην ὅσην οἷόν τε γενέσθαι
πλείστην. καὶ γὰρ τὸν χρόνον ὃν διώρισε, τὴν [m]ἐνάτην
102 πρυτανείαν, τῷ καταστήσαντι λέγει τοὺς ἐγγυητάς. γνοίη
δ' ἄν τις ἐκεῖθεν· προσέγραψε δημοσίαν εἶναι τὴν οὐ-
σίαν [n]τὴν τῶν ἐγγυητῶν, ἂν μήτις ἐκτίσῃ· τοῦ δὲ [o]μὴ
καταστήσαντος οὐκ ἔνι δήπουθεν [p]ὑπάρχειν ἐγγυητάς.
καὶ τοῖς μὲν προέδροις, οἳ κεκληρωμένοι καθίζουσιν ἐξ
ὑμῶν, ἐπάναγκες ἐποίησεν, ὅταν καθιστῇ τις, δέχεσθαι·
τοῖς δ' ἀδικοῦσι τὴν πόλιν οὐδεμίαν προσέγραψεν ἀν-
άγκην, ἀλλ' ὥσπερ εὐεργέταις αἱρεσιν αὐτοῖς [q]ἔδωκεν, εἰ 729
χρὴ δοῦναι δίκην [r]ἢ μή.

[c] ἀπεῖπε] εἶπε k. s. et γρ. r.
[d] μὲν om. pr. S.
[e] ὑμῖν] ὑμῖν λαβεῖν F. v.
[f] ὑμέτερα] ἡμέτερα S. k. r.
[g] κατὰ om. s.
[h] γὰρ om. pr. v.
[i] ἅπαντα] ἅπαντας F. v.
[k] ὑμῖν] ἡμῖν k.
[l] προσγέγραφεν] προσέγραφεν O.
[m] ἐνάτην r. vulg. ἐνάτην.
[n] τὴν post οὐσίαν om. k. r. s.
[o] μὴ post δὲ om. pr. O.
[p] ὑπάρχειν ἐγγυητάς] ἐγγυητὰς ὑπάρχειν v.
[q] ἔδωκεν om. pr. v. ante αἵρεσιν ponit s. δέδωκεν k.
[r] ἢ μή om. pr. v.

103 Καίτοι πῶς ἂν ἀσυμφορώτερος ὑμῖν τούτου γένοιτο
νόμος ἢ κάκιον ἔχων; ὃς πρῶτον μὲν [s]περὶ τῶν ἐκ τοῦ
παρεληλυθότος χρόνου κριθέντων ἐναντία τοῖς ὑφ' ὑμῶν
ἐγνωσμένοις προστάττει, δεύτερον δὲ περὶ τῶν μελλόντων
κριθήσεσθαι προστιμᾶν κελεύων τοὺς δικαστὰς τοὺς ὀμω-
104 μοκότας ἄκυρα τὰ προστιμήματα ποιεῖ, πρὸς δὲ τούτοις
ἐπιτίμους τοὺς ὀφείλοντας [t]οὐ τὰ προσήκοντα ἐκτίνοντας
καθίστησιν, ὅλως δ' ἐπιδείκνυσι μάτην ὀμνύντας, τιμῶν-
τας, δικάζοντας, ὀργιζομένους, ἅπαντα ποιοῦντας ὑμᾶς.
[u]ἐγὼ μὲν γάρ, εἰ Κριτίας ὁ γενόμενος τῶν [x]τριάκοντ'
εἰσέφερε τὸν νόμον, οὐκ ἂν ἄλλον [y]τρόπον οἶμαι γρά-
ψαντ' εἰσενεγκεῖν ἢ τοῦτον.

105 Ὅτι τοίνυν ὅλην συγχεῖ τὴν πολιτείαν καὶ καταλύει
πάντα τὰ πράγματ' ὁ νόμος, καὶ [z]πολλὰς φιλοτιμίας
[a]περιαιρεῖται τῆς πόλεως, καὶ τοῦτο ῥᾳδίως ὑμᾶς νομίζω
μαθήσεσθαι. ἴστε γὰρ δήπου τοῦθ', ὅτι σώζεται πολλά-
κις [b]ἡμῶν [c]ἡ πόλις διὰ τὰς [d]στρατείας καὶ τὰς ναυτι-
κὰς καὶ τὰς [e]πεζάς, καὶ πολλὰ [f]καὶ [g]καλὰ πολλάκις
ἤδη διεπράξασθε καὶ σώσαντές τινας καὶ τιμωρησάμενοι
106 καὶ διαλλάξαντες. πῶς οὖν; ἀνάγκη [h]τὰ τοιαῦτα διοι-
κεῖν ἐστὶ διὰ ψηφισμάτων καὶ νόμων τοῖς μὲν εἰσφέρειν
ἐπιτάττοντας, τοὺς δὲ τριπαρχεῖν κελεύοντας, τοὺς δὲ
πλεῖν, τοὺς δ' ἕκαστα ποιεῖν ὧν δεῖ. οὐκοῦν ταῦθ' ὅπως
[i]γίγνηται, δικαστήρια [k]πληροῦτε καὶ [l]καταγιγνώσκετε

[s] περὶ τῶν om. pr. k.
[t] οὐ] οὐδὲ r.
[u] ἐγὼ μὲν] ἐγῶμαι k. s.
[x] τριάκοντ' εἰσέφερε] τριάκονθ' εἷς ἔφερον k. τριάκονθ' εἷς ἔφερε s.
[y] τρόπον οἶμαι] οἶμαι τρόπον v.
[z] πολλὰς] τὰς πολλὰς k.
[a] περιαιρεῖται] παραιτεῖται γρ. F.
[b] ἡμῶν] ὑμῶν v.
[c] ἡ πόλις om. pr. k.
[d] στρατείας] στρατιὰς F. Y. O. k. r. s.
[e] πεζὰς] πεζικὰς k. r. s.
[f] καὶ post πολλὰ om. O.
[g] καλὰ] κακὰ Y. O. k. s.
[h] τὰ τοιαῦτα] ταῦτα Y. O. k. r. s.
[i] γίγνηται] γίγνεται F. v.
[k] πληροῦτε] πληροῦται k. s.
[l] καταγιγνώσκετε] καταγινώσκεται k.

δεσμὸν τῶν ἀκοσμούντων. σκέψασθε δὴ τὸν τοῦ καλοῦ κἀγαθοῦ τούτου νόμον, ὡς λυμαίνεται ταῦτα καὶ διαφθείρει. γέγραπται γὰρ δήπου ἐν τῷ νόμῳ αὐτοῦ, καὶ εἴ τινι τῶν ὀφειλόντων προστετίμηται δεσμῷ ἢ καὶ τὸ λοιπὸν προστιμηθῇ, εἶναι καταστήσαντι ἐγγυητάς, ἢ μὴν ἐπὶ τῆς [m]ἐνάτης πρυτανείας ἐκτίσειν τὸ ἀργύριον, ἀφεῖσθαι τοῦ δεσμοῦ. τίς οὖν πόρος ἔσται; τίν' ἀποσταλήσεται τρόπον ἡ στρατιά; πῶς τὰ χρήματα [n]εἰσπράξομεν, ἐὰν [o]εἷς ἕκαστος ὀφλισκάνων ἐγγυητὰς καθιστῇ κατὰ τὸν τούτου νόμον, ἀλλὰ [p]μὴ τὸ προσῆκον [q]ποιῇ; ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησι "Τιμοκράτους νόμος ἐστὶ "παρ' ἡμῖν· ἀναμείνατ' οὖν τὴν ἐνάτην πρυτανείαν· εἶτα "[r]τότ' ἐξιμεν·" [s]τοῦτο γὰρ λοιπόν. ἂν δ' ὑπὲρ [t]ὑμῶν αὐτῶν [u]ἀμύνεσθαι δέῃ, ἆρά γ' εἴεσθε τοὺς ἐχθροὺς τὰς τῶν παρ' ἡμῖν πονηρῶν [x]διαδύσεις καὶ κακουργίας [y]ἀναμενεῖν; ἢ τὴν πόλιν αὐτὴν ἐμποδίζοντας νόμους [z]εἰ [a]θήσεται καὶ τἀναντία τῶν συμφερόντων λέγοντας, [b]δυνήσεσθαί τι ποιῆσαι τῶν δεόντων; ἀλλ' ἀγαπητόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ πάντων καλῶς ἐχόντων ἡμῖν, καὶ μηδενὸς ὄντος τοιούτου νόμου, κρατοῖμεν τῶν ἐχθρῶν καὶ ταῖς ὀξύτησι [c]δυναίμεθα καὶ τοῖς τοῦ πολέμου καιροῖς ἀκολουθεῖν καὶ μηδενὸς ὑστεριζειν. [d]ἀλλὰ μὴν εἰ [e]φαίνῃ τοιοῦτον τεθεικὼς νόμον, ὃς τὰ τοιαῦτα λυμαίνεται δι' ὧν

[m] ἐνάτης r. vulg. ἐνάτης.
[n] εἰσπράξομεν] εἰσπράξομαι S.
[o] [εἷς] om. S. Y. k. r. s.
[p] μὴ τὸ] τὸ μὴ r.
[q] ποιῇ] ποιεῖν r.
[r] τότ'] τοτ' S.
τοῦτο
[s] τοῦτο] τότε r.
[t] ὑμῶν] ἡμῶν F. S. Y. O. v.
[u] ἀμύνεσθαι] ἀμύνασθαι k.
[x] διαδύσεις] διαλύσεις Y. O. r.
[y] ἀναμενεῖν] Libri ἀναμένειν.
[z] εἰ om. v.
[a] θήσεται S.Y.O. ceteri θήσετε.
[b] δυνήσεσθαι] δυνήσεσθε F. S. s. et correcti k. v.
[c] δυναίμεθα] δυναίμεθ' ἂν F. v.
καὶ
[d] ἀλλὰ] ἀλλὰ r. καὶ k. s.
[e] φαίνῃ] φανῇ k. s. φαίνεται γρ. F.

ἡ πόλις καὶ [f]σεμνὴ καὶ λαμπρὰ παρὰ πᾶσι καθέστηκε, πῶς οὐχὶ δικαίως ὁτιοῦν ἂν [g]πάθοις;

110 [v]Ετι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν διοίκησιν ἀναιρεῖ, [h]τήν θ' ἱερὰν καὶ τὴν ὁσίαν. ὡς δέ, ἐγὼ φράσω. ἔστιν ὑμῖν κύριος νόμος, καλῶς, εἴπερ τις καὶ ἄλλος, [i]κείμενος, τοὺς ἔχοντας τά τε ἱερὰ καὶ τὰ ὅσια χρήματα καταβάλλειν εἰς τὸ βουλευτήριον, εἰ δὲ μή, τὴν βουλὴν αὐτοὺς εἰσπράττειν [k]χρωμένην τοῖς νόμοις τοῖς [l]τελωνι-

111 κοῖς. διὰ τοίνυν τοῦ νόμου τούτου διοικεῖται [m]τὰ κοινά· τὰ γὰρ εἰς τὰς ἐκκλησίας καὶ τὰς [n]θυσίας καὶ τὴν βου- 731
λὴν καὶ τοὺς ἱππέας καὶ τἆλλα χρήματ' ἀναλισκόμενα, οὗτός ἐσθ' ὁ νόμος ὁ [o]ποιῶν [p]προευπορεῖσθαι. οὐ γὰρ ὄντων ἱκανῶν τῶν ἐκ τῶν τελῶν χρημάτων τῇ διοικήσει, τὰ προσκαταβλήματ' ὀνομαζόμενα διὰ τὸν τοῦ νόμου τούτου

112 φόβον [q]καταβάλλεται. πῶς οὖν οὐχ ἅπαντ' ἀνάγκη καταλυθῆναι τὰ τῆς πόλεως, ὅταν αἱ μὲν τῶν τελῶν καταβολαὶ [r]μὴ ἱκαναὶ ὦσι τῇ διοικήσει ἀλλ' [s]ἐνδεὴ [t]πολλῶν, καὶ μηδὲ ταῦτα ἀλλ' ἢ περὶ λήγοντα τὸν ἐνι- 10
αυτὸν ἢ λαβεῖν, τὰ δὲ προσκαταβλήματα τοὺς [u]μὴ τιθέντας μὴ [x]κυρία ἦ [y]ἡ βουλὴ μηδὲ τὰ δικαστήρια [z]δῆσαι, ἀλλὰ καθιστῶσιν ἐγγυητὰς [a]ἄχρι τῆς ἐνάτης πρυ-

[f] σεμνὴ καὶ λαμπρὰ] λαμπρὰ καὶ σεμνὴ Y. O. k. r. s.
[g] πάθοις] πάθοι k.
[h] τήν θ'] τὴν Y. O. k. r. s.
[i] κείμενος] καλῶς κείμενος Y. O. k. r. s.
[k] χρωμένην τοῖς νόμοις] vulg. τοῖς νόμοις χρωμένην.
[l] τελωνικοῖς] γρ. τιλωνικοῖς τεχνικοῖς r.
[m] τὰ κοινὰ om. k. s.
[n] θυσίας] οὐσίας S.
[o] ποιῶν] διοικῶν καὶ ποιῶν O.
[p] προευπορεῖσθαι] προσευπορεῖσθαι F. S. Y. O. v.
[q] καταβάλλεται] καταβάλλονται r.
[r] μὴ] μηδὲ r.
[s] ἐνδεὴ] ἐνδέη Y. O. ἐνδεῆ F. S. ἐνδεῆ r. ἐνδεεῖς ceteri.
[t] πολλῶν] πολλῶν r.
[u] μὴ ante τιθέντας om. Y. s. et pr. O. k.
[x] κυρία ἦ] ἦ κυρία k. s.
[y] ἡ] δεῖν ἡ k. r. s.
[z] δῆσαι om. k. s.
[a] ἄχρι] μέχρι k. s. v.

113 ταν εἰας; τὰς δ' ὀκτὼ τί ποιήσομεν; εἰπέ, Τιμόκρατες; οὐ σύνιμεν [b] καὶ [c] βουλευσόμεθα, ἐάν τι δέῃ; εἶτ' ἔτι δη- 15
μοκρατησόμεθα; οὐ δικάσει τὰ δικαστήρια [d] τά τε ἴδια καὶ τὰ δημόσια; καὶ τίς ὑπάρξει τοῖς ἀδικουμένοις ἀσφάλεια; οὐκ εἴσεισιν ἡ βουλὴ καὶ διοικήσει τὰ ἐκ τῶν νόμων; καὶ τί λοιπὸν ἔσθ' [e] ἡμῖν ἀλλ' ἢ καταλελύ-
σθαι; ἀλλὰ νὴ Δί' [f] ἀμισθὶ ταῦτα ποιήσομεν; καὶ πῶς 20
οὐ δεινόν, εἰ διὰ τὸν νόμον, ὃν σὺ τεθεικας μισθὸν λαβών, ἄμισθος ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὰ δικαστήρια ἔσται;

114 χρῆν γὰρ τοῦτό γέ σε, ὦ Τιμόκρατες, προσγράψαι τῷ νόμῳ, ὅπερ ἐποίεις κατὰ τῶν τελωνῶν καὶ τῶν ἐγγυητῶν, [g] τὰς πράξεις [b] κατὰ τοὺς ὑπάρχοντας νόμους, καὶ [i] εἴ 25
κατά τινων ἐν ἄλλῳ τινὶ νόμῳ ἢ ψηφίσματι τὰς αὐτὰς εἴρηται πράξεις ὧν ὀφείλουσιν εἶναι, ἃς περὶ τῶν τελω-
νῶν, καὶ κατὰ τούτων εἶναι τὰς πράξεις κατὰ τοὺς ὑπάρ-

115 χοντας νόμους. ἰὼν δὲ κύκλῳ φεύγων τοὺς νόμους τοὺς 732
τελωνικούς, ὅτι τὸ ψήφισμα τὸ Εὐκτήμονος εἴρηκε πράτ-
τειν τοὺς ὠφληκότας κατὰ [k] τούτους τοὺς νόμους, διὰ ταῦτ' οὐ προσέγραψε τοῦτο. ἐκ δὲ τούτου τῷ τρόπῳ τὴν μὲν ὑπάρχουσαν τιμωρίαν λύσας κατὰ τῶν τὰ τῆς πό- 5
λεως ἐχόντων, ἑτέραν δ' οὐ [l] προσγράψας πάντα τὰ πράγματ' ἀναιρεῖ, δῆμον, ἱππέας, βουλήν, ἱερά, ὅσια· ἀνθ' ὧν, ἅνπερ ὑμεῖς ὦ ἄνδρες [m] Ἀθηναῖοι σωφρονῆτε, κο-
λασθεὶς καὶ δοὺς ἀξίαν δίκην τοῖς ἄλλοις παράδειγμα γενήσεται μὴ τιθέναι τοιούτους νόμους. 10

116 Οὐ τοίνυν [n] μόνον τὰ δικαστήρια ἄκυρα ποιεῖ τῶν

[b] καὶ] οἱ r.
[c] βουλευσόμεθα] βουλευόμεθα Y. O. k. r. s.
[d] τά τε] τὰ O.
[e] ἡμῖν] ἡμῖν F. Y. O. k. r. s.
[f] ἀμισθὶ] ἀμισθεὶ Y. O.
[g] τὰς] καὶ τὰς s.
[h] κατὰ] καὶ s. εἶναι κατὰ rec. k.
[i] εἰ] εἴτε r. s.
[k] τούτους τοὺς νόμους] τοὺς νόμους τούτους r.
[l] προσγράψας] γράψας S.
[m] Ἀθηναῖοι om. v.
[n] μόνον post ἄκυρα ponit v.

προστιμημάτων, ἀλλὰ καὶ τοῖς ἀδικοῦσι τὰ κοινὰ δίδωσιν ἄδειαν, τὰς ὑπὲρ τῆς πόλεως [o]στρατείας λυμαίνεται, τὴν διοίκησιν καταλύει, τοῖς κακούργοις καὶ τοῖς πατραλοίαις καὶ τοῖς ἀστρατεύτοις βοηθοῦντα τέθεικε τὸν νόμον. 15
117 τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν [p]νῦν κυρίων νόμων [q]τιμωρίας καταλύει. λεγόντων γὰρ τῶν νόμων οὓς ἔθηκε Σόλων, οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, [r]ἐάν τις ἀλῷ κλο- 20
πῆς καὶ μὴ τιμηθῇ θανάτου, προστιμᾷν αὐτῷ [s]δεσμόν, [t]καὶ ἐάν τις ἀλοὺς τῆς κακώσεως τῶν γονέων εἰς τὴν ἀγορὰν [u]ἐμβάλλῃ, δεδέσθαι, [x]κἂν ἀστρατείας τις [y]ὄφλῃ [z]καί τι τῶν αὐτῶν τοῖς ἐπιτίμοις ποιῇ, καὶ τοῦτον δεδέσθαι, Τιμοκράτης [a]ἅπασι τούτοις ἄδειαν ποιεῖ, τῇ
118 καταστάσει [b]τῶν ἐγγυητῶν τὸν δεσμὸν ἀφαιρῶν. ὥστ' 25
ἔμοιγε δοκεῖ (καὶ γὰρ εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δόξει, λέξω καὶ οὐκ [c]ἀποκρύψομαι) κατὰ [d]τοῦτο αὐτὸ ἄξιον [e]αὐτὸν εἶναι θανάτῳ ζημιῶσαι, ἵν' ἐν Ἅιδου τοῖς ἀσεβέσι θῇ τοῦτον τὸν νόμον, ἡμᾶς δὲ τοὺς ζῶντας τοῖσδε τοῖς ὁσίοις καὶ δικαίοις ἐᾷ τὸ λοιπὸν χρῆσθαι. 733
Ἀνάγνωθι δὲ καὶ τούτους τοὺς νόμους.

[f]ΝΟΜΟΙ [g]ΚΛΟΠΗΣ, ΚΑΚΩΣΕΩΣ ΓΟΝΕΩΝ, ΑΣΤΡΑΤΕΙΑΣ.

119 Ὅ τι ἄν τις ἀπολέσῃ, ἐὰν μὲν αὐτὸ λάβῃ, τὴν διπλασίαν 5
καταδικάζειν, ἐὰν δὲ μή, τὴν δεκαπλασίαν πρὸς τοῖς ἐπαιτίοις.

[o] στρατείας] στρατιὰς k. s.
[p] νῦν] νυνὶ Y. O. k. r. s.
[q] τιμωρίας om. r.
[r] ἐάν] ἐὰν δέ Anecd. p. 123, 13.
[s] δεσμὸν] δεσμοῦ Y. O. r.
[t] καὶ ἐάν] κἂν k. s.
[u] ἐμβάλλῃ] ἐμβάλη Y. O. k. r. s.
[x] κἂν—δεδέσθαι om. s.
[y] ὄφλῃ] ἁλῷ k.
[z] καί τι—ποιῇ] ὅτι—ποιεῖν r.
[a] ἅπασι] δ' ἅπασι Y. O. r. δ' ἅπασι k.
[b] τῶν] τῇ τῶν k. r. s.
[c] ἀποκρύψομαι] ἀποτρέψομαι S. Y. O. k. r. s.
[d] τοῦτο] τοῦτό γ' F. v.
[e] αὐτὸν om. Y. O. r. post εἶναι ponit rec. k.
[f] ΝΟΜΟΙ] νόμος k. s. v.
[g] ΚΛΟΠΗΣ — ΑΣΤΡΑΤΕΙΑΣ om. v.

δεδίσθαι δ' ἐν τῇ [h]ποδοκάκῃ τὸν πόδα πίνθ' ἡμέρας καὶ νύκτας ἴσας, ἐὰν προστιμήσῃ ἡ ἡλιαία. προστιμᾶσθαι δὲ τὸν βουλόμενον, ὅταν περὶ τοῦ τιμήματος ᾖ. ἐὰν δέ τις ἀπαχθῇ τῶν γονέων κακώσεως ἡλωκὼς ἢ [i]ἀστρατείας, [k]ἢ [l]προειρημένον αὐτῷ τῶν [m]νόμων εἴργεσθαι εἰσιὼν [n]ὅποι [o]μὴ χρή, δησάντων [p]αὐτὸν οἱ ἕνδεκα καὶ εἰσαγόντων αὐτὸν εἰς τὴν ἡλιαίαν, κατηγορείτω δὲ ὁ βουλόμενος οἷς ἔξεστιν. ἐὰν δ' ἁλῷ, τιμάτω [q]ἡ ἡλιαία ὅ τι χρὴ παθεῖν αὐτὸν [r]ἢ ἀποτῖσαι. ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδίσθω [r]τέως ἂν ἐκτίσῃ.

120 Ὅμοιός [s]γε, ὦ ἄνδρες Ἀθηναῖοι, Σόλων [t]νομοθέτης καὶ Τιμοκράτης. ὁ μέν γε καὶ τοὺς ὄντας βελτίους [u]ποιεῖ καὶ τοὺς μέλλοντας ἔσεσθαι· ὁ δὲ καὶ τοῖς γεγενημένοις πονηροῖς, ὅπως μὴ δώσουσι δίκην, ὁδὸν δεικνύσι, καὶ τοῖς οὖσιν ὅπως ἄδεια γενήσεται κακουργεῖν εὑρίσκει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι, [x]τοὺς ἐξ ἁπάντων τῶν χρόνων [y]πονηρούς, ὅπως ἔσονται σῶοι καὶ μηδὲν [z]πείσονται, [a]παρασκευάζων. καίτοι τίνα [b]ἂν ἀξίαν [c]δοίης δίκην ἢ τί [d]σὺ παθὼν ἂν τὰ προσήκοντα [e]εἴης πεπονθώς, ὅς, τὰ μὲν ἄλλα εἰῶ, ἀλλὰ τοὺς τῷ γήρᾳ βοηθοὺς λυμαίνῃ, οἳ καὶ [f]ζῶντας ἀναγκάζουσι τοὺς παῖδας τοὺς γονέας τρέφειν, καὶ ἐπειδὰν ἀποθάνωσιν, ὅπως τῶν νομιζομένων τύχωσι, παρασκευάζουσιν; ἢ πῶς [g]οὐ κάκιστος ἁπάντων ἀνθρώπων δικαίως ἂν νομίζοιο, ὅστις, ὦ κατά- 734

[h] ποδοκάκῃ] ποδοκάκκῃ F. Y. O. k. et pr. v.
[i] ἀστρατείας] ἀστρατίας v.
[k] ἢ post ἀστρατείας om. F.
[l] προειρημένον] προειρημένων S. Y. O. r.
[m] νόμων] νομίμων Salmasius.
[n] ὅποι] ὅπη s. v.
[o] μὴ om. k. s.
[p] αὐτὸν om. k. s.
[q] ἡ om. O.
[r] τέως] τὸ ἕως r. s. ἕως S.
[s] γε] γε οὖ γάρ v.
[t] νομοθέτης] ὁ νομοθέτης Y. O. k. r. s. v.
[u] ποιεῖ] ἐποίει O.
[x] τοὺς ἐξ] τοῖς ἐξ correctus k.
[y] πονηροὺς] πονηροῖς r. et correctus k.
[z] πείσονται] πήσονται Y. πείσονται r.
[a] παρασκευάζων] παρασκευάζει correctus k.
[b] ἂν om. S.
[c] δοίης] σὺ δοίης Y. O. r.
[d] σὺ om. Y. O. k. r. s.
[e] εἴης] εἴη pr. Y.
[f] ζῶντας] ζῶντες S.
[g] οὐ] οὐχὶ k. s.

ρατε, περὶ πλείονος φαίνῃ τοὺς [h]κλέπτας καὶ τοὺς κακούργους [i]καὶ τοὺς ἀστρατεύτους τῆς πατρίδος ποιούμενος, καὶ διὰ τούτους καθ' ἡμῶν νόμον [k]τιθείς;

122 Βούλομαι τοίνυν ὑμῖν, ἃ ὑπεσχόμην ἐν ἀρχῇ τοῦ λόγου, [l]ἀπολογίσασθαι πεποιηκότα [m]ἐμαυτόν. ἔφην γὰρ αὐτὸν [n]ἐξελέγξειν κατὰ πάντα ἔνοχον ὄντα τῇ γραφῇ, πρῶτον μὲν παρὰ τοὺς νόμους νομοθετοῦντα, δεύτερον δὲ ὑπεναντία τοῖς οὖσι νόμοις γεγραφότα, τρίτον δὲ τοιαῦτα

123 δι' ὧν βλάπτει τὴν πόλιν. οὐκοῦν ἠκούσατε τῶν νόμων, [o]ἃ κελεύουσι ποιεῖν τὸν τιθέντα νόμον καινόν· καὶ πάλιν ὑμᾶς ἐδίδαξα ὅτι τούτων οὐδ' ὁτιοῦν ἐποίησεν οὗτος. καὶ μὴν κἀκείνων [p]ἠκούσατε τῶν νόμων, οἷς ἐναντίος ὢν [q]φαίνεθ' ὁ τούτου· καὶ τούτους ὅτι πρὶν λῦσαι τόνδε τέθεικεν,

124 ἐπίστασθε. ἀλλὰ μὴν [r]ὅτι γ' οὐκ ἐπιτήδειος, ἀκηκόατε· ἄρτι γὰρ λέγων ἐπαυσάμην. οὐκοῦν κατὰ πάντ' ἀδικεῖ φανερῶς, καὶ οὐδὲν ἧσθ' ὅ τι φροντίσας [s]ὑμῶν οὐδ' εὐλαβηθεὶς φαίνεται, ἀλλ' [t]ἔμοιγε δοκεῖ, κἂν εἰ πρὸς τούτοις ἄλλο τι [u]μὴ ποιεῖν ἐγέγραπτο ἐν τοῖς οὖσι νόμοις, [x]κἂν τοῦτο ποιῆσαι.

125 Πανταχόθεν μὲν τοίνυν δῆλός ἐσθ' ὅτι ταῦτ' ἔγραψεν ἐπιβουλεύσας, [y]καὶ μετὰ τοῦ βουλεύσασθαι ταῦτ' [z]ἀδικεῖ καὶ οὐ γνώμῃ διαμαρτών, μάλιστα δ' ἐκ τοῦ πάντα τὸν νόμον μέχρι τῆς [a]ὑστάτης συλλαβῆς τοιοῦτον εἶναι·

[h] κλέπτας] κλέπτοντας r.
[i] καὶ post κακούργους om. O.
[k] τιθείς] τίθης F. S.
[l] ἀπολογίσασθαι correctus k. ceteri ἀπολογήσασθαι.
[m] ἐμαυτόν] αὐτόν pr. v.
[n] ἐξελέγξειν] ἐξελέγχειν k. s.
[o] ἃ—νόμων om. v.
[p] ἠκούσατε] ἠκούετε^{σα} F. ἠκούετε S.
[q] φαίνεθ'] ἐφαίνεθ' F. S. v.
[r] ὅτι γ'] γ' ὅτι s.
[s] [ὑμῶν] om. S. Y. O. k. r. s.
[t] ἔμοιγε] ἐμοί τε s.
[u] μὴ om. r.
[x] κἂν τοῦτο] κἀν τούτῳ r. s. καὶ τοῦτο μὴ γρ. r.
[y] καὶ ante μετὰ om. F.Y.O.r.
[z] ἀδικεῖ] ἀδικεῖν F. S. et correctus r.
[a] ὑστάτης] ἐσχάτης k.s. et γρ. F.

οὐδὲ γὰρ οὐδ' ἄκων οὐδὲν ἔθηκεν ὀρθῶς ἔχον, οὐδ' ὡς ὑμῖν ἔμελλε λυσιτελήσειν. πῶς οὖν οὐκ εἰκὸς μισεῖν καὶ τιμωρεῖσθαι τοῦτον, [b]ὅστις τοῦ μὲν δήμου ἠδικημένου ἠμέλησεν, ὑπὲρ δὲ τῶν ἠδικηκότων [c]καὶ ὕστερον ἀδικησόντων, 126 τοὺς νόμους [d]ἔθηκεν; θαυμάζω δ', ὦ ἄνδρες δικασταί, τῆς ἀναισχυντίας αὐτοῦ τό, ἡνίκα μὲν ἦρχεν αὐτὸς μετ' Ἀνδροτίωνος, τὸν ἔλεον [e]τοῦτον [f]ἐπὶ τῷ πλήθει τῷ ὑμετέρῳ μὴ ποιήσασθαι, τῷ ἀπειρηκότι τὰ ἑαυτοῦ χρήματ' εἰσφέροντι, ἐπειδὴ δ' [g]Ἀνδροτίωνα ἔδει ἃ πάλαι [h]ὑφήρητο τῆς πόλεως χρήματα καταθεῖναι, τὰ μὲν ἱερὰ τὰ δ' ὅσια, τότε θεῖναι τὸν νόμον ἐπ' ἀποστερήσει τῶν μὲν ὁσίων τῆς διπλασίας, τῶν ἱερῶν δὲ τῆς δεκαπλασίας. καὶ [i]οὕτω πρὸς τὸ πλῆθος τὸ ὑμέτερον προσενήνεκται ὁ [k]αὐτίκα 127 μάλα ὑπὲρ τοῦ δήμου φήσων τὸν νόμον τοῦτον θεῖναι. [l]δικαίως δ' ἂν ἐμοὶ [m]δοκεῖ παθεῖν ὁτιοῦν, [n]ὅστις οἴεται [o]δεῖν, εἰ μέν τις ἀγορανόμος ἢ ἀστυνόμος ἢ δικαστὴς κατὰ δήμους γενόμενος κλοπῆς ἐν ταῖς εὐθύναις ἑάλωκεν, ἄνθρωπος πένης καὶ ἰδιώτης καὶ πολλῶν ἄπειρος καὶ [p]κληρωτὴν ἀρχὴν ἄρξας, [q]τούτῳ μὲν τὴν δεκαπλασίαν εἶναι, καὶ νόμον οὐδένα τοῖς τοιούτοις ἐπιχουροῦντα τιθῆσιν· εἰ δέ τινες πρίσβεις αἱρεθέντες ὑπὸ τοῦ δήμου, πλούσιοι ὄντες, [r]ὑφείλοντο χρήματα πολλά, τὰ μὲν ἱερὰ τὰ δ' ὅσια, καὶ εἶχον χρόνον πολύν, τούτοις ὅπως μηδὲν πείσονται

[b] ὅστις] ὅτι Anecd. p. 123, 15.
[c] καὶ] καὶ ὑπὲρ τῶν k. s.
[d] ἔθηκεν] τέθεικεν v.
[e] τοῦτον] τουτῶν F. τούτων S.
[f] ἐπὶ] ἐν s.
[g] Ἀνδροτίωνα] ἀνδροτίονα O. qui sic saepe.
[h] ὑφήρητο] ἀφήρητο v.
[i] οὕτω] οὕτω r. τοῦτε s.
[k] αὐτίκα] αὐτίκα δὴ F. v.
[l] δικαίως δ' ἂν ἐμοὶ] ὥστε δικαίως ἄν μοι k. s. ὥστε δικαίως ἔμοιγε r. δικαίως δ' ἂν ἔμοιγε Y. O.
[m] δοκεῖ] δοκῇ s.
[n] ὅστις] ὅτις correctus r.
[o] δεῖν] δεῖν οὕτω κακοῦργος εἶναι περὶ ὑμᾶς. σκέψασθε γάρ margo k.
[p] κληρωτὴν] κλήρωι τὴν F. Y. O. r. s.
[q] τούτῳ] τοῦτο s.
[r] ὑφείλοντο] ἀνείλοντο F.

μήθ' ὧν οἱ νόμοι μήθ' ὧν τὰ ψηφίσματα προστάττει,
128 μάλ' ἀκριβῶς εὗρεν. καίτοι γ' ὁ Σόλων, ὦ ἄνδρες δικασταί, [s]ᾧ οὐδ' ἂν αὐτὸς Τιμοκράτης φήσαι ὅμοιος νομοθέτης [t]εἶναι, [u]οὐχ ὅπως ἀσφαλῶς [x]κακουργήσουσι [y]φαίνεται παρασκευάζων τοῖς τοιούτοις, ἀλλ' ὅπως ἢ μὴ [z]ἀδικήσουσιν ἢ [a]δώσουσι δίκην ἀξίαν, καὶ νόμον εἰσήνεγ-
129 κεν, εἰ μέν τις μεθ' ἡμέραν ὑπὲρ πεντήκοντα δραχμὰς κλέπτοι, ἀπαγωγὴν πρὸς τοὺς ἕνδεκ' εἶναι, εἰ δέ τις νύκτωρ ὁτιοῦν κλέπτοι, [b]τοῦτον ἐξεῖναι καὶ ἀποκτεῖναι καὶ [c]τρῶσαι διώκοντα καὶ ἀπαγαγεῖν τοῖς ἕνδεκ', εἰ βούλοιτο. τῷ δ' [d]ἀλόντι ὧν αἱ ἀπαγωγαί εἰσιν, οὐκ ἐγγυητὰς καταστήσαντι ἔκτισιν εἶναι τῶν κλεμμάτων, [e]ἀλλὰ θάνα-
130 τον [f]τὴν ζημίαν. καὶ εἴ [g]τίς γ' ἐκ Λυκείου ἢ ἐξ [h]Ἀκαδημίας ἢ ἐκ Κυνοσάργους ἱμάτιον ἢ ληκύθιον ἢ ἄλλο τι φαυλότατον [i]ἢ τῶν σκευῶν τι τῶν ἐκ τῶν γυμνασίων [k]ὑφέλοιτο ἢ ἐκ τῶν λιμένων, ὑπὲρ δέκα δραχμάς, καὶ [l]τούτοις θάνατον ἐνομοθέτησεν εἶναι [m]τὴν ζημίαν. εἰ δέ τις ἰδίαν δίκην κλοπῆς [n]ἀλοίη, ὑπάρχειν μὲν [o]αὐτῷ διπλάσιον [p]ἀποτῖσαι τὸ τιμηθέν, προστιμῆσαι δ' ἐξεῖναι τῷ δικαστηρίῳ πρὸς τῷ ἀργυρίῳ δεσμὸν τῷ κλέπτῃ, πένθ' ἡμέρας

[s] ᾧ] ὃ r.
[t] εἶναι om. s.
[u] οὐχ] φαίνεται τούτοις οὐχ k. s. et supra versum r.
[x] κακουργήσουσι] κακουργήσωσι Y. O. k. r. s.
[y] φαίνεται om. k. s.
[z] ἀδικήσουσιν] ἀδικήσωσιν Y. O. k. r. s.
[a] δώσουσι] δώσωσι correctus r.
[b] τοῦτον ἐξεῖναι καὶ ἀποκτεῖναι] καὶ ἀποκτεῖναι τοῦτον ἐξεῖναι k. s.
[c] τρῶσαι διώκοντα] διώκοντα τρῶσαι k. s.
[d] ἀλόντι] ἄλλο τι S.
[e] ἀλλὰ θάνατον] ἀλλ' ἀθάνατον r.
[f] τὴν] εἶναι τὴν F. k. r. s.
[g] τίς] τί s.
[h] Ἀκαδημίας] ἀκαδημείας s.
[i] ἢ τῶν] ἢ εἰ τῶν Y. O. r. ἢ εἴ τι τῶν k. s.
[k] ὑφέλοιτο] ἀφέλοιτο r.
[l] τούτοις] τούτω k.
[m] τὴν om. s.
[n] ἀλοίη F. S. v. reliqui ἁλφη.
[o] αὐτῷ] αὐτὸ F. r.
[p] ἀποτῖσαι τὸ τιμηθέν] τὸ τιμηθὲν ἀποτῖσαι r.

[q] καὶ νύκτας [r] ἴσας, ὅπως ὁρῷεν ἅπαντες αὐτὸν δεδεμένον. 15
131 καὶ τούτων ὀλίγῳ πρότερον ἠκούσατε τῶν νόμων. ὥστο γὰρ δεῖν τόν [s] γε τὰ αἰσχρὰ [t] ἐργαζόμενον μὴ ἃ [u] ὑφείλετο μόνον [x] ἀποδόντα ἀπηλλάχθαι (πολλοὶ γὰρ ἂν αὐτῷ ἐδόκουν οὕτω γ' [y] οἱ κλέπται ἔσεσθαι, εἰ μέλλοιεν λαθόντες 20 μὲν ἕξειν, μὴ λαθόντες δ' αὐτὰ [z] μόνον καταθήσειν [a] ἃ ὑφείλοντο) ἀλλὰ ταῦτα μὲν διπλάσια καταθεῖναι, δεθέντα δὲ πρὸς τούτῳ τῷ τιμήματι ἐν αἰσχύνῃ [b] ἤδη ζῆν τὸν
132 ἄλλον βίον. ἀλλ' οὐ Τιμοκράτης, ἀλλ' ὅπως ἁπλᾶ μέν, ἃ δεῖ [c] διπλάσια, [d] καταθήσουσι παρεσκεύασε, μηδ' ὁτι- 25 οῦν [e] δ' ἐπιτίμιον ἔσται πρὸς τούτοις. καὶ οὐκ ἀπέχρησεν ὑπὲρ τῶν μελλόντων αὐτῷ ταῦτ' ἀδικεῖν, ἀλλὰ καὶ εἴ τις
133 ἄρ' ἠδικηκὼς [f] κεκολασμένος ἦν, καὶ τοῦτον ἀφῆκεν. καίτοι ἔγωγ' ὤμην [g] δεῖν τὸν νομοθετοῦντα περὶ τῶν μελλόν- 737
των ἔσεσθαι, οἷα δεῖ γίγνεσθαι καὶ ὡς ἕκαστα ἔχειν, καὶ τὰς τιμωρίας [h] ὁποίας τινὰς ἐφ' ἑκάστοις δεῖ τοῖς ἀδικήμασιν εἶναι, περὶ τούτων νομοθετεῖν. τοῦτο γάρ ἐστι τὸ ἐφ' ἅπασι τοῖς πολίταις κοινοὺς τοὺς νόμους τιθέναι. τὸ δὲ 5 περὶ τῶν γεγονότων πραγμάτων νόμους γράφειν οὐ νομοθετεῖν ἐστιν, ἀλλὰ τοὺς ἀδικοῦντας σώζειν. σκοπεῖτε δ',
134 ὡς ἀληθῆ λέγω, ἐκ [i] τωνδί. εἰ [k] μὲν γὰρ Εὐκτήμων ἐάλω τὴν τῶν παρανόμων γραφήν, οὐκ ἂν ἔθηκε τοῦτον τὸν νόμον ὁ Τιμοκράτης οὐδ' ἂν ἐδεῖτο ἡ πόλις [l] τούτου τοῦ νό- 10

[q] καὶ] καὶ δέκα s.
[r] ἴσας om. s.
[s] γε om. F. k. s. v.
[t] ἐργαζόμενον] ἔργα ἐργαζόμενον S. Y. O. r.
[u] ὑφείλετο] ὑφίλατο k. s.
[x] ἀποδόντα] ἀποδιδόντα v.
[y] οἱ delet k.
[z] μόνον] μόνα r. v.
[a] ἃ ὑφείλοντο] ἃ ὑφίλαντο r. s. om. S.O. in margine ponit Y.
[b] ἤδη ζῆν] ζῆν ἤδη k. s.
[c] διπλάσια] διπλᾶ Y. O. k. r. s.
[d] καταθήσουσι] καταστήσουσι O.
[e] δ' om. s.
[f] κεκολασμένος] καὶ κεκολασμένος F. S. Y. O. k. s.
[g] δεῖν om. k.
[h] ὁποίας] οἵας k. s.
[i] τωνδί] τῶνδε γρ. F. τῶν δύο v.
[k] μὲν om. v.
[l] τούτου] τοῦδε v.

μου, ἀλλ' ἐξήρκει ἂν αὐτοῖς ἀπεστερηκόσι τὴν πόλιν τὰ χρήματα τῶν ἄλλων μὴ φροντίζειν. νῦν δ', ἐπειδὴ ἀπέφυγε, τὸ μὲν ὑμέτερον δόγμα καὶ τὴν τοῦ δικαστηρίου ψῆφον καὶ τοὺς ἄλλους νόμους ἀκύρους οἴεται δεῖν εἶναι, 15
135 αὐτὸν δὲ καὶ τὸν αὐτοῦ νόμον [m]κύριον. καίτοι, ὦ Τιμόκρατες, οἱ [n]μὲν ὄντες [o]ἡμῖν κύριοι νόμοι τοῦτοισὶ ποιοῦσι κυρίους ἁπάντων, καὶ διδάσαιν αὐτοῖς ἀκούσασιν, ὁποῖον ἄν τι νομίζωσι τὸ ἀδίκημα, τοιαύτῃ περὶ τοῦ ἠδικηκότος χρῆσθαι τῇ ὀργῇ, μέγα; μεγάλῃ, μικρόν; μικρᾷ. ὅταν 20
γὰρ ἢ [p]τὸ τί χρὴ παθεῖν ἢ ἀποτῖσαι, [q]τὸ τιμᾶν ἐπὶ τού-
136 τοις γίγνεται. σὺ τοίνυν τὸ παθεῖν ἀφαιρεῖς τὸν δεσμὸν ἀφιείς· καὶ ταῦτα τίσι; τοῖς κλέπταις, τοῖς ἱεροσύλοις, τοῖς πατραλοίαις, τοῖς ἀνδροφόνοις, τοῖς ἀστρατεύτοις, τοῖς 25
[r]λείπουσι τὰς τάξεις· τούτους γὰρ πάντας σώζεις τῷ νόμῳ. καίτοι ὅστις ἐν δημοκρατίᾳ νομοθετῶν [s]μηθ' ὑπὲρ τῶν ἱερῶν μηθ' ὑπὲρ [t]τοῦ δήμου νομοθετεῖ, ἀλλ' ὑπὲρ ὧν εἶπον ἀρτίως, πῶς οὐ δίκαιός ἐστι τῆς ἐσχάτης τιμωρίας
137 τυχεῖν; οὐ γὰρ δὴ [u]ἐρεῖ γε ὡς τοὺς τοιούτους οὐ καὶ 738
[x]προσήκει καὶ οἱ νόμοι κελεύουσι ταῖς μεγίσταις τιμωρίαις ἐνόχους εἶναι, οὐδ' ὡς οὗτοι, ὑπὲρ [y]ὧν [z]εἴρηκε τὸν νόμον, οὐ καὶ κλέπται καὶ ἱερόσυλοί εἰσι, τὰ μὲν ἱερά, τὰς δεκάτας τῆς θεοῦ καὶ τὰς πεντηκοστὰς τῶν ἄλλων 5
θεῶν, σεσυληκότες καὶ ἀντὶ τοῦ ἀποδοῦναι αὐτοὶ ἔχοντες, τὰ δ' ὅσια, ἃ ἐγίγνετο ὑμέτερα, κεκλοφότες. διαφέρει

[m] κύριον] κύριον εἶναι r.
[n] μὲν ὄντες] μένοντες γρ. F.
[o] ἡμῖν κύριοι νόμοι τουτουσὶ] νόμοι ἡμῖν κύριοι τούτους k. s.
[p] τὸ τί] ὅτι F. S. v.
[q] τὸ om. pr. S.
[r] λείπουσι] λιποῦσι Y. O. k. r. s. v.
[s] μηθ'—μηθ'] μηδ'—μηδ' k. s.
[t] τοῦ] τῶν τοῦ k. s.
[u] ἐρεῖ γε] γε ἐρεῖ k. s.
[x] προσήκει] προσήκειν O.
[y] ὧν] ἂν οὗτος Y. O. k. r. s.
[z] εἴρηκε] εἴρηκε F. εὕρηκε S.

δὲ τοσαῦτον [a]αὐτῶν ἡ ἱεροσυλία τῶν ἄλλων, ὅτι [b]τὴν ἀρ-
138 χὴν οὐδὲ ἀνήνεγκαν εἰς τὴν ἀκρόπολιν, δέον αὐτούς. οἶο- 10
μαι δὲ νὴ τὸν Δία τὸν Ὀλύμπιον, ὦ ἄνδρες δικασταί, οὐκ ἀπὸ ταυτομάτου τὴν ὕβριν καὶ τὴν ὑπερηφανίαν ἐπελθεῖν Ἀνδροτίωνι, ἀλλ' ὑπὸ τῆς θεοῦ ἐπιπεμφθεῖσαν, ἵν', ὥσπερ οἱ τὰ ἀκρωτήρια τῆς νίκης περικόψαντες ἀπώλοντο αὐτοὶ ὑφ' αὐτῶν, οὕτω καὶ [c]οὗτοι αὐτοὶ [d]αὐτοῖς [e]διαδι- 15
καζόμενοι [f]ἀπόλοιντο, καὶ τὰ χρήματα καταθεῖεν δεκαπλάσια κατὰ τοὺς νόμους ἢ δεθεῖεν.
139 Βούλομαι δ' ὑμῖν, ὃ μεταξὺ λέγων περὶ τούτων ἐνεθυμήθην, εἰπεῖν περὶ οὗ τεθεικε [g]νόμου, [h]παράδοξόν τι, [i]θαυ- 20
μαστὸν ηλίκον. οὗτος γάρ, ὦ ἄνδρες δικασταί, τοῖς μὲν τὰ τελη ὠνουμένοις ἔγραψε τὰς τιμωρίας εἶναι, εἰ μὴ καταβάλοιεν τὰ χρήματα, κατὰ τοὺς νόμους τοὺς προτέρους, ἐν οἷς καὶ ὁ δεσμὸς καὶ ἡ διπλασια [k]γεγραπται ἀνθρώποις, οἳ διὰ τὸ ζημιοῦσθαι ἐπὶ τῇ ὠνῇ ἄκοντες ἔμελ- 25
λον τὴν πόλιν ἀδικήσειν· τοῖς δ' ὑφαιρουμένοις [l]τὰ τῆς πόλεως καὶ ἱεροσυλοῦσι τὰ τῆς θεοῦ τὸν δεσμὸν ἀφεῖλεν.
140 [m]καίτοι εἰ μὲν ἐλάττω τούτους [n]ἀδικεῖν ἐκείνων νομίσαι φήσεις, ἀνάγκη μαίνεσθαί σε ὁμολογεῖν, εἰ δὲ μείζω νο- 739
μίζων, ὥσπερ ἔστιν, ἐκεῖνα τἀδικηματα τοὺς μὲν [o]ἀφιης, τοὺς δὲ μή, οὐκ ἤδη δῆλος εἶ πεπρακὼς τὸ πρᾶγμα τούτοις;

[a] αὐτῶν] αὐτῷ v.
[b] τὴν ἀρχὴν οὐδὲ] οὐδὲ τὴν ἀρχὴν k. r. s.
[c] οὗτοι] lacuna r.
[d] αὐτοῖς] ἐν αὐτοῖς r. ἐν ἑαυτοῖς k. s.
[e] διαδικαζόμενοι] δικαζόμενοι S. Y. r.
[f] ἀπόλοιντο] ἀπώλοντο k.
[g] νόμου] νόμων v.
[h] παράδοξον] παράλογόν Y. O. k. r. s. et γρ. F. S.
[i] θαυμαστόν] καὶ θαυμαστὸν v. et γρ. F. S.
[k] γέγραπται] ἐγέγραπτο k. s.
[l] τὰ τῆς πόλεως] τι τῆς πόλεως k. r. s.
[m] καίτοι] καὶ S.
[n] ἀδικεῖν ἐκείνων] ἐκείνων ἀδικεῖν s. et rec. k. pr. enim ἐκείνων om.
[o] ἀφῆς] ἀφιεις S. ἀφίεις k. s. ἀφιεὶς S. Y. O. r. v.

141 [v]Ἄξιον τοίνυν καὶ τοῦτ' εἰπεῖν, ὅσον ὑμεῖς διαφέρετε, ὦ ἄνδρες δικασταί, μεγαλοφροσύνῃ τῶν ῥητόρων. ὑμεῖς μέν γε τὰ ἐπὶ [p]τῷ πλήθει νενομοθετημένα δεινά, ἐάν τις ἢ διχόθεν μισθοφορῇ ἢ ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ ἢ δικάζῃ ἢ ἄλλό τι ποιῇ ὧν οἱ νόμοι [q]ἀπαγορεύουσιν, οὐ [r]λύετε, καὶ ταῦτ' εἰδότες ὅτι διὰ πενίαν [s]ποιήσειεν ὁ τούτων τι ποιῶν, οὐδὲ νόμους τοιούτους τίθεσθε, ὅπως ἐξουσία ἔσται [t]αὐτοῖς [u]ἐξαμαρτεῖν, ἀλλὰ τοὐναντίον ὅπως μή· [x]οὗτοι δ', ὅπως οἱ τὰ αἴσχιστα καὶ τὰ [y]δεινότατα ποι-
142 οῦντες δίκην μὴ δώσουσιν. εἶτα προπηλακίζουσιν ὑμᾶς ἰδίᾳ τοῖς λόγοις, ὡς αὐτοὶ καλοὶ κἀγαθοί, πονηρῶν καὶ [z]ἀχαρίστων οἰκετῶν [a]τρόπους ἔχοντες. καὶ γὰρ ἐκείνων, ὦ ἄνδρες δικασταί, ὅσοι ἂν ἐλεύθεροι γένωνται, οὐ τῆς ἐλευθερίας χάριν ἔχουσι τοῖς δεσπόταις, ἀλλὰ μισοῦσι μάλιστα [b]πάντων ἀνθρώπων, ὅτι συνίσασιν [c]αὐτοῖς δουλεύσασιν. οὕτω [d]δὴ καὶ οὗτοι οἱ ῥήτορες οὐκ ἀγαπῶσιν ἐκ πενήτων πλούσιοι ἀπὸ τῆς πόλεως γιγνόμενοι, ἀλλὰ καὶ προπηλακίζουσι τὸ πλῆθος, ὅτι σύνοιδεν αὐτῶν [e]ἑκάστοις τὰ ἐν τῇ πενίᾳ [f]καὶ νεότητι ἐπιτηδεύματα.

143 Ἀλλὰ νὴ Δία, αἰσχρὸν ἴσως [g]ἂν ἦν Ἀνδροτίωνα [h]δεθῆναι ἢ Γλαυκέτην ἢ Μελάνωπον; οὐ μὰ τὸν Δί', ὦ ἄνδρες δικασταί, ἀλλὰ πολὺ [i]αἴσχιον τὴν πόλιν ἀδικου-

[p] τῷ πλήθει] τῶν πλουσίων correctus S.

[q] ἀπαγορεύουσιν] ἀναγορεύουσιν Y. O.

[r] λύετε] κωλύετε correctus S.

[s] ποιήσειεν] ποιήσει F. Y. O. v. Optativo addendum ἄν.

[t] αὐτοῖς om. k. r. s. et pr. Y.

[u] ἐξαμαρτεῖν] ἁμαρτεῖν v.

[x] οὗτοι δ' ὅπως οἱ τὰ] ὅπως δ' οὗτοι τὰ Y. O. k. r. ὅπως οὗτοι τὰ s.

[y] δεινότατα] δοκοῦντα r.

[z] ἀχαρίστων οἰκετῶν] οἰκετῶν ἀχαρίστων Y. O. r.

[a] τρόπους] τρόπον k. r. s. τρόπων Y. O.

[b] πάντων] ἁπάντων F. v. om. S.

[c] αὐτοῖς] αὐτοῖς Y. v.

[d] δὴ] δὲ F. S. v.

[e] ἑκάστοις] ἕκαστος F. S. v.

[f] καὶ] καὶ τῇ Y. r. s.

[g] ἂν om. F S. v. ante ἴσως ponit k.

[h] δεθῆναι] δεδέσθαι v.

[i] αἴσχιον] αἰσχρὸν S. αἴσχιστον k. r. s.

μένην καὶ ὑβριζομένην μὴ λαβεῖν δίκην [k] καὶ ὑπὲρ τῆς θεοῦ καὶ ὑπὲρ αὐτῆς. ἐπεὶ Ἀνδροτίωνί γε πότερα οὐ πατρῷον τὸ δεδέσθαι; ἀλλ' αὐτοὶ ἴστε πολλὰς [l] πεντετηρίδας ἐν τῷ δεσμωτηρίῳ διατρίψαντα τὸν πατέρ' αὐτοῦ καὶ
144 ἀποδράντα ἀλλ' οὐκ ἀφεθέντα. ἀλλὰ διὰ τὰ ἐπιτηδεύματα τὰ ἐν τῇ ἡλικίᾳ; ἀλλὰ καὶ διὰ ταῦτα δεδέσθαι αὐτῷ οὐχ ἧττον προσήκει [m] ἢ δι' ἅπερ [n] ὑφείλετο. ἢ ὅτι εἰσῄει εἰς τὴν ἀγορὰν οὐκ ἔξον αὐτῷ, καὶ ἐκ ταύτης τοὺς σωφρόνως βεβιωκότας αὐτὸς ἦγεν εἰς τὸ δεσμωτήριον;
145 ἀλλὰ Μελάνωπος δεινὸν νὴ [o] Δί' ἐστὶν εἰ δεθήσεσθαι [p] νῦν ἔμελλεν; ἀλλὰ περὶ μὲν τοῦ πατρὸς αὐτοῦ [q] οὐδὲν ἂν φλαῦρον εἴποιμι, οὐδ' εἰ πάνυ πόλλ' [r] ἔχω περὶ κλοπῆς λέγειν, ἀλλ' ἔστω [s] ἐμοὶ ἐκεῖνός [t] γε τοιοῦτος οἷον ἂν Τιμοκράτης αὐτὸν ἐγκωμιάσειεν. ἀλλ' εἰ χρηστοῦ πατρὸς ὢν πονηρὸς καὶ κλέπτης ἦν καὶ προδοσίας γε ἁλοὺς τρία
146 τάλαντα ἀπέτισε, καὶ συνέδρου γενομένου κλοπὴν αὐτοῦ τὸ δικαστήριον κατέγνω καὶ [u] δεκαπλάσιον ἀπέτισε, καὶ παρεπρεσβεύσατο εἰς Αἴγυπτον, καὶ τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ ἠδίκει, [x] οὐ τοσούτῳ μᾶλλον αὐτὸν ἔδει δεδέσθαι, [y] εἰ χρηστοῦ πατρὸς ὢν τοιοῦτος [z] ἦν; οἶμαι γὰρ ἔγωγ', εἴπερ τῷ ὄντι χρηστὸς ἦν Λάχης καὶ φιλόπολις, ὑπ' αὐτοῦ [a] ἂν ἐκείνου δεθῆναι αὐτὸν τοιοῦτόν γ' ὄντα καὶ οὕτως
147 αἰσχροῖς ὀνείδεσι περιβάλλοντ' ἐκεῖνον. καὶ τοῦτον μὲν δὴ [b] ἐῶμεν, Γλαυκέτην δὲ σκεψώμεθα. οὐχ οὗτός ἐστιν ὁ

[k] καὶ post δίκην om. Y. O.
[l] πεντετηρίδας] πενταετηρίδας s. πεντηρίδας O.
[m] ἢ δι'—εἰσῄει om. pr. v.
[n] ὑφείλετο] ὑφίλατο s.
[o] Δί'] τὸν Δί' Y. O. k. s.
[p] νῦν om. Y. O. k. r. s.
[q] οὐδὲν ἂν φλαῦρον] οὐδὲν φαῦλον s.
[r] ἔχω] ἔχων r.
[s] ἐμοὶ ἐκεῖνός γε] ἐκεῖνός γ' ἐμοὶ v.
[t] γε] τε k. s.
[u] δεκαπλάσιον] δεκαπλασίαν r. δεκαπλασίαν F. O. k. s.
[x] οὐ τοσούτῳ] οὐ τοσοῦτον r. οὕτως οὕτω s. et γρ. r.
[y] εἰ] εἰ καὶ Y. O. r.
[z] ἦν] ἐστὶν Y. k. s.
[a] ἂν ἐκείνου] ἐκείνου ἂν Y. O. k. r. s.
[b] ἐῶμεν] ἐάσωμεν Y. O. k. r. s.

πρῶτον μὲν εἰς Δεκέλειαν αὐτομολήσας, κἀκεῖθεν ὁρμώμενος καταθεὼν καὶ φέρων καὶ ἄγων ὑμᾶς; ἀλλὰ [c]πάντες ἴστε ταῦθ' [d]ἃ λέγω. καὶ [e]ὁ ἀπὸ [f]μὲν τῶν ὑμετέρων παίδων καὶ γυναικῶν καὶ τῶν ἄλλων χρημάτων, ὅσα λάβοι, δεκάτας [g]ἐκεῖ τῷ ἁρμοστῇ [h]κατατιθεὶς τούτων ἀκρι- 741
148 βῶς, τὴν [i]δέ γ' ἐνθάδε θεόν, πρεσβευτὴς ἀξιωθεὶς εἶναι ὑφ' ὑμῶν, ἀποστερῶν τὰς ἀπὸ τῶν ὑμετέρων πολεμίων δεκάτας, ἔπειτα ταμιεύσας ἐν ἀκροπόλει τὰ ἀριστεῖα τῆς πόλεως, [k]ἃ ἔλαβεν ἀπὸ τῶν βαρβάρων, ὑφηρημένος ἐξ ἀκροπόλεως, τόν τε δίφρον τὸν ἀργυρόποδα καὶ τὸν ἀκινάκην τὸν [l]Μαρδονίου, ὃς ἦγε τριακοσίους δαρεικούς. ἀλλὰ ταῦτά γ' οὕτω περιφανῆ ἐστὶν ὥστε πάντας ἀνθρώπους εἰδέναι. ἀλλὰ τἆλλα οὐ βίαιος; ὡς [m]οὐδεὶς ἀν-
149 θρώπων. εἶτα φείσασθαί τινος [n]αὐτῶν [o]ἄξιόν ἐστιν, ὥστε διὰ τούτους ἢ τῶν [p]δεκατῶν [q]τῶν τῆς θεοῦ ἀμελῆσαι ἢ τῆς διπλασίας τῶν ὁσίων χρημάτων, ἢ τὸν τούτους πειρώμενον σώζειν μὴ τιμωρήσασθαι; καὶ τί κωλύσει ἅπαντας εἶναι πονηρούς, ὦ ἄνδρες δικασταί, εἰ διὰ ταῦτα πλέον
150 ἕξουσιν; ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν.

Μὴ τοίνυν αὐτοὶ διδάσκετε, ἀλλὰ τιμωρεῖσθε. καὶ μὴ ἐᾶτε ἀγανακτεῖν, εἰ δεθήσονται ἔχοντες τὰ ὑμέτερα, ἀλλ' ἄγετ' αὐτοὺς ὑπὸ τοὺς νόμους· οὐδὲ γὰρ οἱ τῆς ξενίας ἁλισκόμενοι ἀγανακτοῦσιν ἐν τῷ οἰκήματι τούτῳ ὄντες, ἕως ἂν τῶν ψευδομαρτυριῶν ἀγωνίσωνται, ἀλλὰ μένουσι καὶ οὐκ οἴονται δεῖν ἐγγυητὰς καταστήσαντες περιιέναι.

[c] πάντες] ἅπαντες Y. O.
[d] ἃ λέγω om. F. S.
[e] ὁ om. Y. O. r. v.
[f] μὲν om. r.
[g] ἐκεῖ τῷ] ἐκείνῳ Y. O. r. s.
[h] κατατιθεὶς] καταθεὶς v.
[i] δέ om. k.s. et γρ. r.
[k] ἃ om. S.
[l] Μαρδονίου] μαρδωνίου s.
[m] οὐδεὶς] οὐδείς γ' k. r. s.
[n] αὐτῶν] αὐτὸν s.
[o] ἄξιόν] ἄξιός Y. s.
[p] δεκατῶν] δεκάτων r. s.
[q] τῶν ante τῆς om. F. S. v.

151 ἔδοξε γὰρ τῇ πόλει ἀπιστεῖν αὐτοῖς, καὶ οὐκ ᾤετο δεῖν διακρουσθῆναι τῆς τιμωρίας δι' ἐγγυητῶν καταστάσεως, ἀλλ' ἐνταῦθα μένειν αὐτοὺς οὗ καὶ ἄλλοι πολλοὶ τῶν πο- 25
λιτῶν. καίτοι [r] καὶ ἐπὶ χρήμασιν ἤδη [s] τινὲς ἐδέθησαν καὶ ἐπὶ κρίσεσιν, ἀλλ' ὅμως [t] ὑπέμενον. ἀηδὲς μὲν [u] οὖν ἴσως ἐστὶν ὀνομαστὶ περί τινων μεμνῆσθαι, ἀναγκαῖον δὲ παρ-
152 εξετάσαι αὐτοὺς παρὰ τούτους. τοὺς μὲν οὖν πρὸ Εὐ- 742
κλείδου [x] ἄρχοντος [y] ἐάσω καὶ τοὺς σφόδρα παλαιούς. καίτοι κατὰ τοὺς χρόνους, καθ' οὓς ἕκαστοι αὐτῶν ἦσαν, πολλοῦ ἄξιοι δοκοῦντες γεγενῆσθαι τὸν [z] ἔμπροσθε χρόνον [a] ὅμως ἰσχυρᾶς παρὰ τοῦ δήμου ὀργῆς ἐτύγχανον ἐπὶ τοῖς 5
ὕστερον γιγνομένοις ἀδικήμασιν· οὐ γὰρ χρόνον τινὰ δικαίους ᾤετο δεῖν αὐτοὺς ἡ πόλις εἶναι, εἶτα κλέπτας, ἀλλὰ [b] περί γε τὰ κοινὰ ἀεὶ δικαίους· ἐδόκει γὰρ τὸν [c] ἔμπροσθε χρόνον οὐ φύσει ἀλλ' ἐπιβουλεύων, τοῦ [d] πισ-
153 τευθῆναι, δίκαιος [e] γεγονέναι ὁ τοιοῦτος ἄνθρωπος. ἀλλὰ 10
μετ' Εὐκλείδην ἄρχοντα, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν Θρασύβουλον τὸν [f] Κολυττέα [g] πάντες μέμνησθε δὶς δεθέντα καὶ κριθέντα ἀμφοτέρας τὰς κρίσεις ἐν τῷ δήμῳ· καίτοι τῶν [h] ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς οὗτος ἦν. ἔπειτα Φι- 15
λέψιον τὸν Λαμπρέα. ἔπειτα [i] Ἀγύρριον τὸν [k] Κολυττέα, ἄνδρα [l] χρηστὸν καὶ [m] δημοτικὸν καὶ περὶ τὸ πλῆθος τὸ

[r] καὶ post καίτοι om. Y. O.
[s] τινὲς om. Y. O. k. r. s.
[t] ὑπέμενον] ὑπέμειναν F. v.
[u] οὖν om. r.
[x] ἄρχοντος] ἄρχοντας k. s.
[y] ἐάσω] ἐῶ F. v.
[z] ἔμπροσθε Y. k. ceteri ἔμπροσθεν.
[a] ὅμως] ὁμοίως S.
[b] περί γε] γε περὶ F. v.
[c] ἔμπροσθε O. ceteri ἔμπροσθεν.
[d] πιστευθῆναι] πιστευθῆναι ἔτυχεν F. v.
[e] γεγονέναι ὁ τοιοῦτος] ὁ τοιοῦτος γεγονέναι F. v.
[f] Κολυττέα] κολλιτέα S.
[g] πάντες] ἅπαντες F. v.
[h] ἐκ] ἀπὸ Y. O. k. r. s.
[i] Ἀγύρριον] ἀργύριον Y. O. v.
[k] Κολυττέα] κολλιτέα S.
[l] χρηστὸν] καὶ χρηστὸν S. Y. O. r.
[m] δημοτικὸν] πολιτικὸν r.

154 [n] ὑμέτερον πολλὰ σπουδάσαντα· ἀλλ' ὅμως τοὺς νόμους [o] ὤετο δεῖν καὶ αὐτὸς ἐκεῖνος ὁμοίως, ὥσπερ ἐπὶ τοῖς ἀδυ- 20
νάτοις, οὕτω καὶ ἐφ' ἑαυτῷ ἰσχύειν, καὶ ἐγένετο ἐν τῷ οἰκήματι τούτῳ πολλὰ ἔτη, ἕως τὰ χρήματα ἀπέτισεν ἃ ἔδοξε τῆς πόλεως ὄντα ἔχειν· καὶ ἐπ' ἐκείνῳ Καλλίστρατος δυνάμενος καὶ ἀδελφιδοῦς ὢν αὐτοῦ οὐκ ἐτίθει νόμους. καὶ Μυρωνίδης ὁ Ἀρχίνου υἱὸς τοῦ καταλαβόντος Φυλὴν 25
καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ καὶ ἄλλα πολλὰ καὶ καλὰ [p] πεπολιτευμένου καὶ
155 ἐστρατηγηκότος πολλάκις. ἀλλ' ὅμως ἅπαντες οὗτοι [q] ὑπέμενον τοὺς νόμους. καὶ οἱ ταμίαι ἐφ' ὧν ὁ Ὀπισθό- 743
δομος ἐνεπρήσθη, καὶ οἱ τῶν τῆς θεοῦ καὶ οἱ τῶν ἄλλων θεῶν, ἐν [r] τῷ οἰκήματι τούτῳ ἦσαν, ἕως ἡ κρίσις αὐτοῖς ἐγένετο. καὶ οἱ περὶ τὸν σῖτον ἀδικεῖν δόξαντες, καὶ ἄλλοι πολλοί, ὦ ἄνδρες δικασταί, [s] πάντες βελτίους Ἀνδρο- 5
156 τίωνος ὄντες. εἶτα τούτοις μὲν ἔδει κυρίους τοὺς πάλαι κειμένους [t] νόμους εἶναι, καὶ δεδωκέναι δίκην αὐτοὺς κατὰ τοὺς ὑπάρχοντας νόμους· δι' Ἀνδροτίωνα δὲ καὶ Γλαυκέτην καὶ Μελάνωπον καινὸν δεῖ γενέσθαι νόμον, [u] διὰ τοὺς 10
ἑαλωκότας καὶ ψήφῳ κεκριμένους κατὰ τοὺς πάλαι κειμένους νόμους καὶ δόξαντας ἔχειν ἱερὰ χρήματα καὶ ὅσια; εἶτ' οὐ καταγέλαστος δόξει ἡ πόλις εἶναι, εἰ τοῖς ἱεροσύλοις, ὅπως σωθήσονται, νόμον φανεῖται τιθεμένη; 15
157 [x] ἔγωγ' οἶμαι. μὴ τοίνυν ἐάσητε ὑμᾶς αὐτοὺς ὑβρίζεσθαι μηδὲ τὴν πόλιν, ἀλλὰ [y] μνησθέντες ὅτι Εὔδημον τὸν [z] Κυ-

[n] ὑμέτερον] ἡμέτερον v.
[o] ὤετο] οὐκ ὤετο rec. k.
[p] πεπολιτευμένου] πολιτευομένου k.
[q] ὑπέμενον] ὑπέμεινον O. ὑπέμειναν v.
[r] τῷ οἰκήματι τούτῳ] τούτῳ τῷ οἰκήματι Y. O.
[s] πάντες S. ceteri ἅπαντες.
[t] νόμους εἶναι] εἶναι νόμους F. νόμους pr. Y. εἶναι v.
[u] διὰ τοὺς] νὴ δία τοὺς Reiskius.
[x] ἔγωγ'] ἐγὼ μὲν k. s.
[y] μνησθέντες] ἀναμνησθέντες F. O. v.
[z] Κυδαθηναιέα] κυδαθηνέα S. O.

δαθηναιέα νόμον δόξαντα θεῖναι οὐκ ἐπιτήδειον, οὐ πάλαι ἀλλ' ἐπ' Εὐάνδρου ἄρχοντος, ἀπεκτείνατε, καὶ Φίλιππον τὸν Φιλίππου τοῦ ναυκλήρου υἱὸν μικρῶ μὲν ἀπεκτείνατε,
158 χρημάτων δὲ πολλῶν αὐτοῦ ἐκείνου ἀντιτιμωμένου παρ' ὀλίγας ψήφους [a]ἠτιμώσατε, ταύτην τὴν ὀργὴν καὶ [b]νῦν [c]ἐπὶ [d]τουτονὶ λάβετε, ἐκεῖνο πρὸς τούτοις [e]ἅπασιν ἐνθυμηθέντες, τί ποτ' ἂν ἐπάθετε ὑπὸ τούτου [f]αὐτοῦ, εἰ οὗτος εἷς ὢν [g]ἐπρέσβευεν ὑπὲρ [h]ὑμῶν. οἶμαι γὰρ [i]οὐδὲν εἶναι τοιοῦτον ὅτου ἂν ἀπέσχετο. ὁρᾶτε [k]δὲ τὴν διάνοιαν αὐτοῦ· ὁ γὰρ νόμος, ὃν ἐτόλμησε θεῖναι, τὸν τρόπον αὐτοῦ δείκνυσιν.

159 Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐν Λοκροῖς ὡς νομοθετοῦσι, διηγήσασθαι· οὐδὲν γὰρ χείρους ἔσεσθε [l]παράδειγμά τι ἀκηκοότες, ἄλλως τε καὶ ᾧ πόλις εὐνομουμένη χρῆται. [m]ἐκεῖ γὰρ οὕτως οἴονται δεῖν τοῖς πάλαι κειμένοις [n]χρῆσθαι νόμοις καὶ τὰ πάτρια περιστέλλειν καὶ μὴ πρὸς τὰς βουλήσεις μηδὲ πρὸς τὰς [o]διαδύσεις τῶν ἀδικημάτων [p]νομοθετεῖσθαι, ὥστ' ἐάν τις [q]βούληται νόμον καινὸν τιθέναι, ἐν βρόχῳ τὸν τράχηλον ἔχων νομοθετεῖ, καὶ ἐὰν μὲν δόξῃ καλὸς καὶ χρήσιμος εἶναι ὁ νόμος, ζῇ ὁ τιθεὶς καὶ [r]ἀπέρχεται, εἰ δὲ μή, τεθνήκειν [s]ἐπι-
160 σπασθέντος τοῦ βρόχου. καὶ γάρ τοι καινοὺς μὲν οὐ τολ-

[a] ἠτιμώσατε] ἐτιμήσατε S.
[b] νῦν om. k.
[c] ἐπὶ om. pr. k.
[d] τουτονὶ] τουτωνὶ pr. Y. τουτωνὶ r. τουτουὶ O.
[e] ἅπασιν om. v.
[f] αὐτοῦ om. F. v.
[g] ἐπρέσβευεν] ἐπρέσβευσεν k. r. s.
[h] ὑμῶν] ἡμῶν s.
[i] οὐδὲν εἶναι τοιοῦτον Y.O.r. τοιοῦτον οὐδὲν εἶναι S. ceteri οὐδὲν τοιοῦτον εἶναι.
[k] δὲ] δὴ F. k. s. v.
[l] παράδειγμά τι] παραδείγματι k. s.
[m] ἐκεῖ] ἐκεῖνοι F. O. k. v.
[n] χρῆσθαι] χρήσασθαι S.
[o] διαδύσεις] διαλύσεις F.S.Y.O. r. v.
[p] νομοθετεῖσθαι] νομοθετῶν Y.O. k. r.
[q] βούληται] βάλῃται v.
[r] ἀπέρχεται] ἀπάρχεται S. Y. et pr. O.
[s] ἐπισπασθέντος] ἀπισπασθέντος r.

μῶσι [t] τίθεσθαι [v] νόμους, τοῖς δὲ [u] πάλαι κειμένοις ἀκριβῶς χρῶνται. [w] ἐν πολλοῖς δὲ πάνυ ἔτεσιν, ὦ ἄνδρες δικασταί, εἷς λέγεται παρ' αὐτοῖς [x] νόμος καινὸς τεθῆναι. ὄντος γὰρ αὐτόθι νόμου, ἐάν τις ὀφθαλμὸν ἐκκόψῃ, ἀντεκκόψαι παρασχεῖν τὸν ἑαυτοῦ, καὶ οὐ χρημάτων τιμήσεως οὐδεμιᾶς, ἀπειλήσαί τις λέγεται ἐχθρὸς ἐχθρῷ ἕνα
161 ἔχοντι ὀφθαλμὸν ὅτι αὐτοῦ ἐκκόψει τοῦτον τὸν ἕνα. γενομένης δὲ ταύτης τῆς ἀπειλῆς χαλεπῶς [y] ἐνεγκὼν ὁ ἑτερόφθαλμος, καὶ ἡγούμενος [z] αὐτῷ εἶναι τὸν βίον τοῦτο παθόντι, λέγεται τολμῆσαι νόμον εἰσενεγκεῖν, ἐάν τις ἕνα [a] ἔχοντος ὀφθαλμὸν ἐκκόψῃ, ἄμφω ἀντεκκόψαι παρασχεῖν, ἵνα τῇ ἴσῃ συμφορᾷ ἀμφότεροι χρῶνται. καὶ τοῦτον μόνον λέγονται Λοκροὶ [b] θέσθαι τὸν νόμον ἐν [c] πλέον
162 ἢ διακοσίοις ἔτεσιν. οἱ δὲ παρ' [d] ἡμῖν ῥήτορες, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὅσοι μῆνες μικροῦ δέουσι νομοθετεῖν τὰ αὐτοῖς συμφέροντα, ἔπειτ' αὐτοὶ μὲν τοὺς ἰδιώτας εἰς τὸ δεσμωτήριον ἄγουσιν, ὅταν ἄρχωσιν, ἐφ' αὑτοῖς δ' οὐκ οἴονται δεῖν τὸ αὐτὸ δίκαιον [e] τοῦτ' εἶναι· ἔπειτα τοὺς μὲν [f] τοῦ Σόλωνος νόμους, τοὺς πάλαι δεδοκιμασμένους, οὓς οἱ πρόγονοι ἔθεντο, λύουσιν αὐτοί, τοῖς δ' ἑαυτῶν, οὓς ἐπ' ἀδικίᾳ τῆς πόλεως τιθέασι, χρῆσθαι ὑμᾶς οἴονται
163 δεῖν. εἰ οὖν μὴ [g] τιμωρήσεσθε τούτους, οὐκ ἂν [h] φθάνοι τὸ πλῆθος τούτοις τοῖς θηρίοις δουλεῦον. εὖ δ' ἴστε, ὦ ἄνδρες δικασταί, ὅτι ἐὰν μὲν σφόδρα ὀργίζησθε, ἧττον [i] ἀσελγα-

[t] τίθεσθαι] τιθέναι F. Y. O. r. v.
[v] νόμους om. S. k. s.
[u] πάλαι] παλαιοῖς Y. O. k. r. s.
[w] ἐν] καὶ ἐν S.
[x] νόμος καινὸς] καινὸς νόμος r.
[y] ἐνεγκὼν] ἀνενεγκὼν s.
[z] αὐτῷ εἶναι τὸν βίον S. αὐτῷ τὸν βίον εἶναι v. εἶναι αὐτῷ τὸν βίον ceteri.
[a] ἔχοντος] ἔχοντα Y. O.
[b] θέσθαι] θεῖναι v.
[c] πλέον S. πλείοις Y. O. vulg. πλείοσιν.
[d] ἡμῖν] ὑμῖν k.
[e] τοῦτ' εἶναι] εἶναι τοῦτο k. s.
[f] τοῦ om. Y. O.
[g] τιμωρήσεσθε] τιμωρήσησθε F. v.
[h] φθάνοι] φθάνῃ v.
[i] ἀσελγανοῦσιν] ἀσελγαίνουσιν F. v.

νοῦσιν, [k] ἐὰν δὲ μή, πολλοὺς τοὺς ἀσελγεῖς εὑρήσετε καὶ τοὺς ὑβριζοντας [l] ὑμᾶς ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει.

164 Ἵνα δὲ καὶ περὶ ἐκείνου [m] εἴπω τοῦ νόμου, ὦ ἄνδρες δικασταί, ᾧ ἀκούω μέλλειν [n] παραδείγματι χρῆσθαι [o] τουτονὶ καὶ [p] φησειν ἀκόλουθον αὐτῷ [q] τεθεικέναι, ἐν ᾧ ἔνι " οὐδὲ δήσω [r] Ἀθηναίων οὐδένα, ὃς ἂν ἐγγυητὰς τρεῖς " καθιστῇ τὸ αὐτὸ τέλος τελοῦντας, πλὴν ἐάν τις ἐπὶ " προδοσίᾳ τῆς πόλεως ἢ [s] ἐπὶ καταλύσει τοῦ δήμου " συνιὼν ἁλῷ, ἢ τέλος [t] τι πριάμενος ἢ ἐγγυησάμενος ἢ " ἐκλέγων μὴ [v] καταβάλλῃ," ἀκούσατέ μου καὶ περὶ
165 τούτου· οὐ γὰρ ἐρῶ ὅτι αὐτὸς Ἀνδροτίων ἦγεν εἰς τὸ δεσμωτήριον καὶ ἔδει τούτου κειμένου τοῦ νόμου, ἀλλ' ἐφ' οἷς κεῖται ὁ νόμος οὗτος, διδάξω ὑμᾶς. οὗτος γάρ, ὦ ἄνδρες δικασταί, οὐκ ἐπὶ τοῖς κεκριμένοις καὶ ἠγωνισμένοις κεῖται, ἀλλ' ἐπὶ τοῖς ἀκρίτοις, ἵνα μὴ διὰ τὸ δεδέσθαι χεῖρον ἀναγκάζοιντο ἀγωνιζεσθαι ἢ καὶ παντάπασιν ἀπαρασκευοι εἶεν. οὑτοσὶ δέ, [u] ἃ ἐπὶ τοῖς ἀκρίτοις κεῖται, ὡς
166 περὶ ἁπάντων εἰρημένα μέλλει πρὸς ὑμᾶς λέγειν. ὡς δὲ σαφῶς γνώσεσθε ὅτι ἀληθῆ λέγω, ἐγὼ ὑμῖν ἐρῶ. οὔτε γὰρ [x] ἄν, ὦ ἄνδρες δικασταί, [y] ἐξῆν ὑμῖν τιμᾶν ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι (ἐν γὰρ τῷ παθεῖν καὶ ὁ δεσμὸς ἔνι· οὐκ ἂν οὖν ἐξῆν δεσμοῦ τιμῆσαι), οὔθ' ὅσων ἔνδειξις [z] ἐστιν [a] ἡ ἀπαγωγή, προσεγέγραπτο ἂν ἐν τοῖς νόμοις " τὸν δ' 746

[k] ἐὰν δέ] εἰ δὲ v.
[l] ὑμᾶς om. k. s.
[m] εἶπω ante καὶ ponit v. ante ᾧ r.
[n] παραδείγματι] πράγματι S.
[o] τουτονὶ] τοῦτον S.
[p] φήσειν] φησὶν k. r. s.
[q] τεθεικέναι] τίθεικεν O.
[r] Ἀθηναίων] ἀθηναῖον v.
[s] ἐπὶ post ἢ om. v.
[t] τι om. F. S. v.
[v] καταβάλλῃ] καταβάλῃ F.v.
[u] ἃ om. pr. v.
[x] ἄν om. S. k. s. v.
[y] ἐξῆν ὑμῖν τιμᾶν] τιμᾶν ἐξῆν ὑμῖν F. Y. O. r. s. v.
[z] ἐστιν] ἐστι τοι Y. O. k. r. s.
[a] ἡ] ἢ v.

" ἐνδειχθέντα ἢ ἀπαχθέντα δησάντων οἱ ἔνδεκα ἐν τῷ " ξύλῳ," εἴπερ μὴ ἐξῆν ἄλλους ἢ τοὺς ἐπὶ προδοσίᾳ τῆς πόλεως ἢ ἐπὶ καταλύσει τοῦ δήμου [b] συνιόντας ἢ τοὺς τὰ τέλη ὠνουμένους καὶ μὴ καταβάλλοντας δῆσαι. [c] νῦν δὲ ταῦθ' [d] ὑμῖν τεκμήρια ἔστω ὅτι ἔξεστι δῆσαι· παντελῶς γὰρ ἤδη ἄκυρ' ἂν ἦν τὰ τιμήματα. ἔπειτα δ' ὦ ἄνδρες δικασταί, τοῦτο τὸ γράμμα αὐτὸ μὲν καθ' αὐτὸ οὐκ ἔστι νόμος, τὸ " οὐδὲ δήσω Ἀθηναίων οὐδένα," ἐν δὲ τῷ ὅρκῳ τῷ βουλευτικῷ γέγραπται, ἵνα μὴ συνιστάμενοi οἱ ῥήτορες οἱ ἐν τῇ βουλῇ δεσμὸν κατά τινος τῶν πολιτῶν λέγοιεν. ἄκυρον οὖν τοῦ δῆσαι τὴν βουλὴν ποιῶν [e] ὁ Σόλων τοῦτο πρὸς τὸν ὅρκον τὸν βουλευτικὸν προσέγραψεν, ἀλλ' οὐ πρὸς τὸν ὑμέτερον· ἁπάντων γὰρ κυριώτατον ᾤετο δεῖν εἶναι τὸ δικαστήριον, [f] καὶ ὅ τι γνοίη, τοῦτο πάσχειν τὸν ἁλόντα. ἀναγνώσεται δ' ὑμῖν [g] αὐτοῦ τούτου ἕνεκα τὸν τῶν [h] ἡλιαστῶν ὅρκον. λέγε σύ.

[i] ΟΡΚΟΣ ΗΛΙΑΣΤΩΝ.

Ψηφιοῦμαι κατὰ τοὺς νόμους [k] καὶ τὰ ψηφίσματα τοῦ δήμου [l] τοῦ Ἀθηναίων καὶ τῆς βουλῆς τῶν πεντακοσίων, καὶ τύραννον οὐ ψηφιοῦμαι [m] εἶναι οὐδ' ὀλιγαρχίαν· οὐδ' ἐάν τις καταλύῃ τὸν δῆμον [n] τὸν Ἀθηναίων ἢ λέγῃ ἢ ἐπιψηφίζῃ παρὰ ταῦτα, οὐ πειτόμαι· οὐδὲ τῶν χρεῶν τῶν ἰδίων ἀποκοπὰς οὐδὲ γῆς ἀναδασμὸν [o] τῆς Ἀθηναίων οὐδ' [p] οἰκιῶν· οὐδὲ τοὺς φεύγοντας κατάξω, οὐδὲ ἂν θάνατος [q] κατέγνωσται, οὐδὲ τοὺς μένοντας ἐξελῶ παρὰ τοὺς νόμους

[b] συνιόντας] προσιόντας O.
[c] νῦν] νυνὶ Y. O. r.
[d] ὑμῖν] ἡμῖν r.
[e] ὁ om. S.
[f] καὶ] ᾤετο καὶ Y. καὶ ᾤετο correctus r.
[g] αὐτοῦ om. r.
[h] ἡλιαστῶν] δικαστῶν S.
[i] ΟΡΚΟΣ ΗΛΙΑΣΤΩΝ om. S. ἡλιαστῶν om. v.
[k] καὶ τὰ] καὶ κατὰ τὰ F. v.
[l] τοῦ Ἀθηναίων] τῶν ἀθηναίων F. r. v.
[m] εἶναι om. O.
[n] τὸν Ἀθηναίων] Libri τῶν ἀθηναίων.
[o] τῆς Ἀθηναίων] τῶν ἀθηναίων r.
[p] οἰκιῶν] οἴκων s.
ταγνώσεται
[q] κατέγνωσται r.

τοὺς κειμένους καὶ τὰ ψηφίσματα [r] τοῦ δήμου τοῦ Ἀθηναίων καὶ
170 τῆς βουλῆς οὔτ' αὐτὸς ἐγὼ οὔτ' ἄλλον οὐδένα ἐάσω· οὐδ' [s] ἀρχὴν 747
καταστήσω ὥστ' ἄρχειν ὑπεύθυνον ὄντα ἑτέρας ἀρχῆς, καὶ τῶν
ἐννέα ἀρχόντων καὶ τοῦ ἱερομνήμονος καὶ ὅσαι μετὰ τῶν ἐννέα
ἀρχόντων κυαμεύονται ταύτῃ τῇ ἡμέρᾳ, καὶ κήρυκος καὶ πρεσ-
βείας καὶ συνέδρων· οὐδὲ δὶς τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν ἄνδρα,
οὐδὲ δύο ἀρχὰς ἄρξαι τὸν αὐτὸν ἐν τῷ αὐτῷ ἐνιαυτῷ· οὐδὲ δῶρα
δέξομαι τῆς ἡλιάσεως ἕνεκα οὔτ' αὐτὸς ἐγὼ οὔτ' ἄλλος ἐμοὶ οὔτ'
171 [t] ἄλλῃ εἰδότος ἐμοῦ, [u] οὔτε τέχνῃ οὔτε μηχανῇ οὐδεμιᾷ. καὶ γέ-
γονα οὐκ ἔλαττον ἢ τριάκοντ' ἔτη. καὶ ἀκροάσομαι τοῦ τε κατη-
γόρου καὶ τοῦ [x] ἀπολογουμένου ὁμοίως ἀμφοῖν, καὶ διαψηφιοῦμαι
περὶ αὐτοῦ οὗ [y] ἂν ᾖ ἡ δίαιξις. [z] ἐπόμνυμι Δία, [a] Ποσειδῶ, Δή-
μητρα, καὶ ἐπαρᾶσθαι ἐξώλειαν ἑαυτῷ καὶ οἰκίᾳ τῇ ἑαυτοῦ, εἴ τι
[b] τούτων παραβαίνοι, εὐορκοῦντι δὲ [c] πολλὰ κἀγαθὰ εἶναι.
172 [d] Ἐνταῦθ' οὐκ ἔνι, ὦ ἄνδρες δικασταί, " οὐδὲ δήσω
" Ἀθηναίων οὐδένα·" τὰ γὰρ κρίνοντα τὰς κρίσεις [e] ἁπάσας
τὰ δικαστήρια ἐστίν, οἷς ἐξουσία ἐστὶ καὶ δεσμὸν
καὶ [f] ἄλλο [g] ὅ τι ἂν βούλωνται καταγιγνώσκειν.
173 Ὡς μὲν οὖν ἔξεστιν ὑμῖν δεσμὸν καταγιγνώσκειν,
[h] ταύτῃ ἐπιδείκνυμι· ὡς [i] δὲ τὰ δεδικασμένα [k] ἄκυρα
ποιεῖν καὶ δεινὸν καὶ ἀνόσιόν ἐστι καὶ δήμου κατάλυσις,
[l] πάντας ἂν οἶμαι ὁμολογῆσαι. ἡ γὰρ πόλις [m] ἡμῶν, ὦ
ἄνδρες δικασταί, νόμοις καὶ [n] ψηφίσμασι διοικεῖται. εἰ
[o] δή τις τὰ ψήφῳ κεκριμένα νόμῳ καινῷ λύσει, τι πέρας

[r] τοῦ δήμου τοῦ Ἀθηναίων] τοῦ δήμου τῶν ἀθηναίων k. r. s. τὸν ἀθηναίων τοῦ δήμου v.
[s] ἀρχὴν] ἄρχειν Y. O. ἀρχὴν r.
[t] ἄλλῃ] ἄλλῃ Y. O. r. ἄλλοι v.
[u] τε om. S.
[x] ἀπολογουμένου] ἀπολογησομένου F. v.
[y] ἂν] ἐὰν S.
[z] ἐπόμνυμι] ἐπόμνυμι γρ. S. ὄμνυμι F. v. fuit fortasse ἐπομνύναι.
[a] Ποσειδῶ] ποσειδῶνα S.
[b] τούτων παραβαίνοι F. S. Y. O. v. τούτων παραβαίνοιμι k. s. παραβαίνοιμι τούτων r.
[c] πολλὰ] καλὰ S.
[d] Ἐνταῦθ'] ἐνταῦθα δ' Y. k. v. ἐνταυθοῖ δ' r. s.
[e] ἁπάσας om. k.
[f] ἄλλο om. k. s.
[g] ὅ τι] τι ὃ S. τι r.
[h] ταύτῃ F. ceteri ταῦτ'.
[i] δὲ] δὲ καὶ F. S. v.
[k] ἄκυρα] ἄκρα s.
[l] πάντας] πάντες s.
[m] ἡμῶν] ὑμῶν r.
[n] ψηφίσμασι] Malim ψήφῳ.
[o] δή S. ceteri δέ.

ἔσται; ἢ πῶς [p] τοῦτον δίκαιόν ἐστι νόμον [q] προσαγορεύειν, ἀλλ' οὐκ ἀνομίαν; ἢ πῶς οὐ τῆς μεγίστης ὀργῆς ὁ
174 τοιοῦτος νομοθέτης ἄξιός ἐστιν; ἐγὼ μὲν γὰρ [r] τῆς ἐσχάτης νομίζω, οὐχ ὅτι τοῦτον μόνον τὸν νόμον ἔθηκεν, ἀλλ' 748
ὅτι καὶ τοῖς ἄλλοις ὁδὸν [s] δείκνυσι καὶ περὶ δικαστηρίων καταλύσεως καὶ περὶ τῶν φευγόντων καθόδου καὶ περὶ τῶν ἄλλων [t] τῶν δεινοτάτων. τί γὰρ κωλύει, ὦ ἄνδρες δικασταί, εἰ οὗτος χαίρων ἀπαλλάξει ὁ τοιοῦτον νόμον 5
[u] θείς, ἕτερον φανῆναι ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων [x] καταλύοντα νόμῳ καινῷ; ἐγὼ μὲν γὰρ οἶμαι [y] οὐ-
175 δέν. ἀκούω δ' ἔγωγε καὶ τὸ πρότερον οὕτω καταλυθῆναι τὴν δημοκρατίαν, παρανόμων πρῶτον γραφῶν [z] καταλυθεισῶν καὶ τῶν δικαστηρίων ἀκύρων γενομένων. ἴσως μὲν 10
οὖν ἄν τις ὑπολάβοι ὅτι οὐχ ὁμοίων ὄντων τῶν πραγμάτων νῦν καὶ τότε λέγω περὶ καταλύσεως τοῦ δήμου. ἀλλ' οὐδὲ σπέρμα δεῖ καταβάλλειν ἐν τῇ πόλει οὐδένα, ὦ ἄνδρες δικασταί, τοιούτων πραγμάτων, οὐδ' εἰ μή πω ἂν 15
ἐκφύοι, ἀλλὰ [a] καὶ τὸν ἐγχειροῦντα λέγειν ἢ ποιεῖν τι
[b] τοιοῦτον δίκην διδόναι.

176 Ὅτι τοίνυν καὶ τέχνῃ κακῶς ἐνεχείρησε ποιεῖν ὑμᾶς, ἄξιόν ἐστιν ἀκοῦσαι. ὁρῶν γὰρ ἑκάστοτε πάντας, καὶ τοὺς πολιτευομένους καὶ τοὺς ἰδιώτας, τοὺς νόμους [c] τῶν
[d] τῆς πόλεως ἀγαθῶν αἰτίους ὑπολαμβάνοντας, ἐσκόπει 20
πῶς λήσει τούτους καταλύσας, κἂν ἄρα ληφθῇ τοῦτο ποιῶν, μὴ [e] δόξει δεινὸν μηδ' ἀναιδὲς μηδὲν εἰργάσθαι.

[p] τοῦτον post νόμον ponit v.
[q] προσαγορεύειν] προσαγορεῦσαι F. v.
[r] τῆς ἐσχάτης] τῶν ἐσχάτων S.
[s] δείκνυσι] δεικνύει F. v.
[t] τῶν post ἄλλων om. O.
[u] θείς] τιθεὶς S.
[x] καταλύοντα] καταλύσοντα F. Y. O. r. καταλύσαντα k. s.
[y] οὐδέν] οὐδένα k. s.
[z] καταλυθεισῶν] λυθεισῶν k. καὶ λυθεισῶν s.
[a] καὶ post ἄλλα om. S.
[b] τοιοῦτον] τοιοῦτο F. v.
[c] τῶν om. r.
[d] τῆς] καὶ O.
[e] δόξει] δόξῃ k. r. s. et γρ. F.

177 εὗρεν οὖν ταῦτα ὃ πεποίηκε, νόμῳ τοὺς νόμους [f] καταλῦσαι, ἵνα τἀδικήματ' αὐτοῦ τὸ τῆς σωτηρίας ὄνομ' ἔχῃ. 25
οἵ τε γὰρ [g] σῴζοντες τὴν πόλιν εἰσὶ νόμοι, ἥν τε οὗτος ἔθηκεν οὐδὲν ἐκείνοις [h] τῶν αὐτῶν ἔχοντα, νόμος. τὴν μὲν οὖν τοῦ ὀνόματος φιλανθρωπίαν, ὅτι ταύτην ἂν μάλιστα [i] προσίεσθε, κατεῖδε· τὴν δὲ χρείαν, ὅτι τἀναντία ἔχουσα 749
178 φανήσεται, παρεῖδε. φέρε γὰρ πρὸς Διός, ἔστιν [k] ὅστις ἂν ἢ πρόεδρός ποτ' ἐπεψήφισεν ἢ πρύτανις τούτων τι τῶν ἐν τῷ νόμῳ γεγραμμένων; ἐγὼ μὲν οὐδέν' [l] ἂν οἶμαι. πῶς οὖν τοῦθ' ὑπέδυ; νόμον ἔθετο ὄνομα τοῖς αὐτοῦ κα- 5
κουργήμασιν. οὐ γὰρ ἁπλῶς, οὐδ' ὅπως [m] ἔτυχον, ποιοῦσι κακῶς ὑμᾶς, ἀλλ' ἐσκεμμένως καὶ τοῦτ' αὐτὸ πρᾶτ-
179 τοντες, οὐχ οὗτοι μόνον, [n] ἀλλὰ πολλοὶ τῶν πολιτευομένων, οἳ [o] τούτῳ παριόντες αὐτίκα δὴ μάλα συναπολογήσονται, οὐ μὰ Δί' οὐ Τιμοκράτει χαρίσασθαι [p] βουλόμενοι, ποθεν; ἀλλ' αὐτῷ συμφέρειν ἕκαστος ἡγούμενος τὸν 10
νόμον. ὥσπερ τοίνυν οὗτοι σφίσιν αὐτοῖς βοηθοῦσιν ἐφ'
180 ὑμᾶς, οὕτω [q] δεῖ καὶ ὑμᾶς ὑμῖν αὐτοῖς βοηθεῖν. [r] καίτοι ἀνερωτῶντός τινος αὐτὸν ὅτου ἕνεκα τοιαῦτ' ἠθέλησε γράφειν, καὶ διεξιόντος ὡς χαλεπὸν [s] τὸν ἀγῶνα [t] ὑπολαμ- 15
βάνοι τόνδε, [u] τετυφῶσθαι τὸν [x] ταῦτα λέγοντ' ἔφη· συμπαρέσεσθαι γὰρ Ἀνδροτίωνα ἑαυτῷ, καὶ τοιούτους λόγους [y] σχολὴν ἄγοντα ἐσκέφθαι περὶ πάντων, ὥστ' εὖ εἰδέναι

[f] καταλῦσαι] λῦσαι F. Y. O. k. r. s. et rec. v. pr. enim om.
[g] σῴζοντες] ζῶντες s.
[h] τῶν αὐτῶν ἔχοντα] ἔχοντα τῶν αὐτῶν F. v.
[i] προσίεσθε] προσῖσθε F. v. προῖεσθε Y. O. k. r. s.
[k] ὅστις ἄν] ἂν ὅστις r.
[l] ἂν ante οἶμαι om. Y. r. s.
[m] ἔτυχον S. ceteri ἔτυχε.
[n] ἀλλὰ] ἀλλὰ καὶ F.
[o] τούτῳ] τοῦτο v.
[p] βουλόμενοι] βουλομένους S.
[q] δεῖ post ὑμῖν ponit v.
[r] καίτοι] εἰπέ τοίνυν· τοῦ λόγου ἐρωτῶντος τίνος ἕνεκα. καίτοι Y. O. r. s.
[s] τὸν om. Y. O. k. r. s.
[t] ὑπολαμβάνοι] ὑπολαμβάνει v.
[u] τετυφῶσθαι] τετυφλῶσθαι S. Y.
[x] ταῦτα om. Y. O. k. r. s.
[y] σχολὴν ἄγοντα] ἄγοντα σχολὴν F. Y. O. k. r. s. v.

[z] ὅτι [a] οὐδὲν αὐτῷ γενήσοιτο φλαῦρον ἀπὸ τῆς γραφῆς
181 τῆσδε. καὶ δῆτα καὶ τεθαύμακα τὴν ἀναισχυντίαν τὴν τούτου [b] τε κἀκείνου, τοῦ μέν, εἰ καλεῖ, τοῦ δ', εἰ πάρεισι καὶ συναπολογήσεται. μαρτυρία γὰρ δήπου φανερὰ γενήσεται πᾶσιν ὑμῖν ὅτι τὸν νόμον [c] τούτου ἕνεκα ἐτέθει,
182 ἀλλ' οὐκ ἐπὶ πᾶσι τὸν αὐτόν. ὅμως δὲ καὶ περὶ τῶν ἐκείνῳ πεπολιτευμένων ὑμᾶς μικρὰ βέλτιόν ἐστιν ἀκοῦσαι, καὶ τούτων [d] ταῦτα, ὧν κεκοινώνηκεν οὗτος καὶ [e] δι' ἃ τοῦτον οὐδὲν ἧττον ἐκείνου δικαίως ἂν [f] μισοῖτε. λέξω δ' [g] οὐδὲν ὧν ἀκηκόαθ' ὑμεῖς, εἰ μή τινες ἄρα ἐπὶ τοῖς Εὐκτήμονι [h] γιγνομένοις ἀγῶσι παρῆσαν.

183 Καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν ἐξετάσωμεν αὐτοῦ, ἣν μετὰ [i] τούτου τοῦ χρηστοῦ πάντας εἰσέπραξεν ὑμᾶς. αἰτιασάμενος γὰρ Εὐκτήμονα τὰς ὑμετέρας ἔχειν εἰσφοράς, καὶ τοῦτ' [k] ἐξελέγξειν ἢ παρ' ἑαυτοῦ καταθήσειν ὑποσχόμενος, καταλύσας ψηφίσματι [l] κληρωτὴν ἀρχὴν ἐπὶ τῇ προφάσει ταύτῃ ἐπὶ τὴν εἴσπραξιν παρέδυ, καὶ τοῦτον [m] προὐβάλετο, εἰπὼν τὴν τοῦ σώματος ἀῤῥωστίαν, ἵν', ἔφη, συνδιοικῇ μοι.
184 [n] δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἱρεσις [o] ὑμῖν, ἢ τὰ πομπεῖα κατακόπτειν ἢ πάλιν εἰσφέρειν ἢ τοὺς ὀφείλοντας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσι

[z] ὅτι] ὡς Y. O. r. s.
[a] οὐδὲν] μηδὲν F.
[b] τε om. F. S. v.
[c] τούτου ἕνεκα] τούτων ἕνεκα r. s.
[d] ταῦτα] ταὐτά r.
[e] δι' ἃ τοῦτον] διὰ τοῦτον s. διὰ τοῦτο k. διὰ τούτων r.
[f] μισοῖτε] μισοῖτο k. s.
[g] Post οὐδὲν cum F. S. v. omisi πλέον.
[h] γιγνομένοις] γενομένοις Y. O. r. s. γεγεννημένοις F. v.
[i] τούτου om. Y. r. s. et pr. O. k.
[k] ἐξελέγξειν] ἐξελέγχειν k.
[l] κληρωτὴν] κλήρωι τὴν F. Y. O. r. s.
[m] προὐβάλετο] προὐβάλλετο O.
[n] δημηγορίαν S. ceteri δημηγορίας.
[o] ὑμῖν om. S. k. s.

[p] κατέχων καὶ διὰ τὸν καιρὸν [q] ὃς ἦν τότ' ἔχων [r] ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις [s] περὶ τούτων οὐκ ᾤετο δεῖν χρῆσθαι, οὐδ', εἰ μὴ [t] τούτους ἐνόμιζεν ἱκανούς, ἑτέρους τιθέ-
185 ναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, 20 δι' ὧν ἠργολάβει, προσαγωγεῖ τούτῳ χρώμενος τῶν λημμάτων. καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφε μετὰ [u] τούτου, γράψας τοὺς ἔνδεκα καὶ τοὺς ἀποδέκτας καὶ τοὺς ὑπηρέτας ἀκολουθεῖν μεθ' ἑαυτοῦ. εἶτ' ἔχων [x] τούτους ἦγεν 25 ἐπὶ τὰς [y] ὑμετέρας οἰκίας, καὶ σύ, [z] ὦ Τιμόκρατες, συνη-
186 κολουθεις, μόνος τῶν συναρχόντων δέκα ὄντων. καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν ὡς [a] οὐ χρὴν εἰσπράττειν τοὺς 751 ὀφείλοντας. χρὴν γάρ. ἀλλὰ πῶς; ὡς ὁ νόμος [b] ἀγορεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πέντε ταλάντων [c] ὑμῖν, ὧν οὗτοι τότ' εἰσέπραξαν, τεθέντων ὠφέλησθε, ὅσον βεβλα- 5
187 φθε τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. εἰ γὰρ [d] ἐθέλοιτ' ἐξετάσαι τίνος ἕνεκα μᾶλλον ἄν τις ἕλοιτο ἐν δημοκρατίᾳ ζῆν ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειροτατον, ὅτι πάντα [e] πραότερα ἐν [f] τῇ δημοκρατίᾳ. ὅτι 10 [g] μὲν τοίνυν τῆς [h] ὅπου βούλεσθε ὀλιγαρχίας πολλῷ ἀσελγέστερα καὶ δεινότερα ἐποίουν [i] οὗτοι, παραλείψω· [k] ἀλλὰ παρ' [l] ἡμῖν ποτε πώποτε [m] δεινότατα [n] ἐν τῇ πό-

[p] κατέχων] κατέσχων correctus O.
[q] ὃς ἦν] ὄσην F. v.
[r] ἐξουσίαν] τὴν ἐξουσίαν Y. O. k. r. s.
[s] περὶ τούτων om. F.
[t] τούτους] τοὺτους k.
[u] τούτου] τοῦτο S.
[x] τούτους] τουτουσὶ F. Y. O. k. r. s. v.
[y] ὑμετέρας] ἡμετέρας r.
[z] ὦ om. k. s.
[a] οὐ χρὴν] οὐ χρὴ v.
[b] ἀγορεύει] κελεύει F. v.
[c] ὑμῖν] ἡμεῖς γρ. S. ὑμῶν F.
[d] ἐθέλοιτ'] ἐθέλητε v. θέλατ' S.
[e] πραότερα] πραότερά ἐστιν F. Y. O. k. r. s. v.
[f] τῇ om. F. Y. O. k. r. s. v.
[g] μὲν om. Y. O. k. r. s.
[h] ὅπου] Libri ὅσου.
[i] οὗτοι om. pr. O.
[k] ἀλλὰ] ἀλλ' ἃ F.
[l] ἡμῖν] ὑμῖν F. r. s.
[m] δεινότατα] δεινότερα Y. O. k. r. s.
[n] ἐν] τὰ ἐν S.

λει γέγονεν; εὖ οἶδ' ὅτι ἐπὶ τῶν τριάκονθ' [o] ἅπαντες ἂν
188 εἴποιτε. τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδεὶς ἔστιν ὅστις
ἀπεστερεῖτο τοῦ σωθῆναι, [p] ὅστις ἑαυτὸν οἴκοι [q] κρύψειεν,
ἀλλ' αὐτὸ τοῦτο [r] κατηγοροῦσι τῶν τριάκοντα, ὅτι τοὺς ἐκ
τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. οὗτοι τοίνυν τοσαύτην ὑπερ-
βολὴν ἐποιήσαντο [s] ἐκείνων τῆς ἑαυτῶν πονηρίας, ὥστ' ἐν
δημοκρατίᾳ πολιτευόμενοι τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσ-
μωτήριον καθίσταsαν, τοὺς ἕνδεκ' ἄγοντες ἐπὶ [t] τὰς οἰ-
189 κίας. καίτοι, ὦ ἄνδρες [u] δικασταί, τί οἴεσθε, [x] ὁπότ' ἄν-
θρωπος πένης, ἢ καὶ πλούσιος πολλὰ δ' [y] ἀνηλωκὼς καί
τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου, μὴ μόνον
εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβαλεῖν, ἀλλὰ μηδ' οἴκοι [z] μέ-
νειν ἀσφαλὲς [a] ἡγοῖτο, ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη,
ὃν οὐδ' ὑπὲρ αὐτοῦ δίκην ἐᾷ λαβεῖν τὰ πεπραγμένα καὶ
βεβιωμένα, μή [b] τί γ' ὑπὲρ τῆς πόλεως εἰσπράττειν εἰσ-
190 φοράς; καίτοι εἴ τις [c] ἔροιτ' αὐτὸν ἢ σέ, ὦ Τιμόκρατες, 752
τὸν ἐπαινέτην [d] τούτων καὶ συνεργόν, τὰς εἰσφορὰς πότε-
ρον τὰ κτήματα ἢ τὰ σώματα ὀφείλει, τὰ κτήματα φή-
σαιτ' ἄν, εἴπερ ἀληθῆ λέγειν [e] βούλοισθε· ἀπὸ γὰρ τού-
των εἰσφέρομεν. τίνος οὖν ἕνεκ', ὦ κάκιστοι πάντων ἀν-
θρώπων, ἀφέντες [f] τὸ τὰ χωρία δημεύειν καὶ τὰς οἰκίας,
καὶ ταῦτ' ἀπογράφειν, ἐδεῖτε καὶ ὑβρίζετε πολίτας ἀν-
θρώπους καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώ-
τερον [g] ὑμεῖς ἢ τοῖς οἰκέταις [h] τοῖς ὑμετέροις αὐτῶν [i] ἐχρῆ-

[o] ἅπαντες] πάντες F. v.
[p] ὅστις ἑαυτὸν] εἴτις ἑαυτὸν F.k.v.
[q] κρύψειεν] κρύψοιεν k.
[r] κατηγοροῦσι] κατηγοροῦμεν F.v.
[s] ἐκείνων om. Y. O. k. r. s.
[t] τὰς] τῆς F. v.
[u] δικασταί] ἀθηναῖοι O. k. r.
[x] ὁπότ'] ὁπότ' ἂν F. S. v.
[y] ἀνηλωκὼς] ἀναλωκὼς v.
[z] μένειν] μένειν ἂν F. S.
[a] ἡγοῖτο] ἡγεῖτο v. ἦι τοῦτο S.
[b] τί] τοί r.
[c] ἔροιτ'] ἐροῖτ' S.
[d] τούτων] τούτου F. v.
[e] βούλοισθε] βούλεσθε F. v.
[f] τὸ om. k. r.
[g] ὑμεῖς ante κέχρησθε ponunt F.v.
[h] τοῖς ὑμετέροις αὐτῶν] τοῖς ὑμετέροις οὕτως S. τοῖς ἑαυτῶν F. v.
[i] ἐχρῆσθε S. ceteri κέχρησθε.

191 σθε. καὶ μὴν εἰ [k] θέλετε [l] σκέψασθαι παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι, τοῖς δ' ἐλευθέροις ὕστατον τοῦτο προσήκει κολάζειν. οἱ δὲ τοὐναντίον εἰς τὰ σώματ' [m] ὥσπερ ἀνδραπόδοις ἐποιήσαντο τὰς τιμω-
192 ρίας. οὕτω δ' [m] ἀνίσως καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς Ἀνδροτίων, ὥστε τὸν μὲν [n] αὐτοῦ πατέρα ᾠήθη δεῖν, δημοσίᾳ δεθέντα ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτ' ἀποδόντα ταῦτα μήτε κριθέντ' [o] ἀποδρᾶναι, τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ δυνάμενον [p] τὰ ἑαυτοῦ θεῖναι εἰκὸς εἶναι εἰς
193 τὸ δεσμωτήριον ἀχθέντα [q] ὑφ' ἑαυτοῦ δεδέσθαι. καὶ Τιμοκράτης τῶν μὲν πολλῶν ἡμῶν τότε, ὅτε τὴν διπλασίαν εἰσέπραττεν, οὐδ' ἂν παρ' ἑνὸς λαβεῖν ἠθέλησεν ἐγγυητάς, μὴ μέχρι τῆς ἐνάτης πρυτανείας, ἀλλ' [r] οὐδὲ μιᾶς ἡμέρας, ἀλλ' ἢ διπλᾶ τὰ χρήματ' ἔδει καταβάλλειν ἢ παραχρῆμα δεδέσθαι. παρεδίδου δ' οὗτος τοῖς ἕνδεκα τὸν [s] οὐκ ὀφληκότα ἐν τῷ δικαστηρίῳ. νῦν δ' [t] ὅπως, ὢν 753
ἂν ὑμεῖς καταγνῶτε, ἄδετοι [u] περίασιν, ὑπεύθυνον αὑτὸν ποιήσας νόμον [x] εἰσενεγκεῖν ἐτόλμησεν.

194 Ἀλλ' ὅμως κἀκεῖνα καὶ [y] τάδε φήσουσιν ὑπὲρ ὑμῶν [z] πράττειν. εἶτα [a] ταῦθ' ὑμεῖς [b] ἀναδέξεσθε ὑπὲρ ὑμῶν πεπρᾶχθαι, καὶ τὰ τῆς τούτων θρασύτητος καὶ πονηρίας

[k] θέλετε] θέλοιτε v.
[l] σκέψασθαι] σκήψασθε Y. O. k.
[m] ἀνίσως] ἂν ἴσως s. αἰσχρῶς correctus r.
[n] αὐτοῦ] ἑαυτοῦ F.
[o] ἀποδρᾶναι] ἀποδρᾶναι Y. k. r. s. v.
[p] τὰ ἑαυτοῦ θεῖναι] θεῖναι τὰ ἑαυτοῦ Y. O. k. r. s.
[q] ὑφ' ἑαυτοῦ] ὑπ' αὐτοῦ F. Y. O. k. r. s. v.
[r] οὐδὲ om. S.
[s] οὐκ om. S. v.
[t] ὅπως, ὢν] ὁπόσων r. s.
[u] περίασιν] περίωσιν Y. O. k. r. s.
[x] εἰσενεγκεῖν] ἐπενεγκεῖν F.
[y] τάδε] τόδε F.
[z] πράττειν] πεπρᾶχθαι F. v.
[a] ταῦθ' om. γρ. F.
[b] ἀναδέξεσθε] ἀφ' ἑαυτοὺς ἀναδέξεσθε F. v. ἀνέξεσθε Y. O. k. r. s.

ἔργα πράως οἴσετε; ἀλλὰ μισεῖν ὀφείλετε τοὺς τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον ἢ σώζειν. τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι καὶ [c] πράων ὑμῶν τευξόμενον
195 τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεσθαι. τοῦτο δ' ἐστὶ τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν, οὐ τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν [d] ἀεί τι δύνασθαι δοκοῦντα. [e] ὃ σὺ ποιεῖς, ὦ Τιμόκρατες· δι' ἃ πολλῷ μᾶλλον ἂν εἰκότως [f] μὴ [g] θελήσαντες ἀκοῦσαι σοῦ θάνατον καταψηφίσαιθ' οὗτοι ἢ δι' Ἀνδροτίωνα [h] ἀφίεσαν.

196 Ὅτι τοίνυν οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν [i] πεποίηνται, καὶ τοῦτ' αὐτίκα δὴ μάλα ὑμῖν δῆλον ποιήσω. εἰ γάρ τις [k] ἔροιτο αὐτοὺς πότεροι αὐτοῖς δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν, οἱ γεωργοῦντες καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖα ἀναλώματα καὶ λειτουργίας ἑτέρας ἐλλελοιπότες [l] τὰς εἰσφοράς, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα καὶ [m] τὰ παρὰ τῶν συμμάχων [n] κλέπτοντες καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης, καίπερ ὄντες ἀναιδεῖς, ἔλθοιεν ὥστε
197 φῆσαι τοὺς τὰ ἑαυτῶν [o] μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν ἢ τοὺς τὰ κοινὰ ὑφαιρουμένους. τίνος οὖν ἕνεκ', ὦ Τιμόκρατες καὶ Ἀνδροτίων, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα 754
ἀφ' οὗ ὅγε [p] ἕτερος ὑμῶν πολιτεύεται, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ [q] τουτοισὶ κέκριντα, ὧν οἱ μὲν

[c] πράων] πρᾶον r.
[d] ἀεί F. S. vulg. *alei.*
[e] ὃ] ἃ Y. O. k. r. s. v.
[f] μὴ] μηδὲ k. s.
[g] θελήσαντες] ἐθελήσαντες F.v.
[h] ἀφίεσαν] ἀφείσαν correctus v.
[i] πεποίηνται] πεποίηται Y. O. k. r. Y.
[k] ἔροιτο] ἐροῖτο S.
[l] τὰς om. S.
[m] τὰ ante παρὰ om. S.
[n] κλέπτοντες] βλέποντες s.
[o] μὴ om. r.
[p] ἕτερος] ἑταῖρος Y. k. r. s.
[q] τουτοισὶ] τούτοις r. τουτουσὶ F.

τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ' ὑποχωρήσαντες ᾤχοντο καταγνόντες ἑαυτῶν, οὐδενὸς πώποτε [r] τούτων ἐξητάσθη κατήγορος ὑμῶν οὐδέτερος, οὐδ' ἀγανακτῶν ὤφθη ὑπὲρ ὧν ἡ πόλις [s] ἔπασχεν, ἀλλ' ἐνταῦθ' ἐφάνητε ἡμῶν κηδό-
198 μενοι, οὗ πολλοὺς ἔδει κακῶς ποιῆσαι; βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων [t] μὲν μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινές, ἀπὸ δὲ τῶν εἰσπραττομένων [u] ὑφῃροῦντο· δι' ἀπληστίαν δὲ τρόπων διχόθεν καρποῦνται τὴν πόλιν. οὔτε γὰρ ῥᾷον πολλοῖς καὶ [x] κατὰ μικρὰ ἀδικοῦσιν ἀπεχθάνεσθαι ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήμαθ' ὁρᾷν ἢ τὰ τῶν ὀλίγων. ἀλλὰ [y] τοῦτ' αἴτιον [z] οὐγὼ
199 λέγω. δεῖ τοίνυν ὑμᾶς ταῦτα [a] λογισαμένους, καὶ μεμνημένους ὧν ἂν ἕκαστος ἁμάρτῃ, κολάζειν, ὅταν λάβητέ τινα, καὶ μὴ τὸν χρόνον, εἰ πολύς ἐστ' ἀπ' ἐκείνου, σκοπεῖν, ἀλλ' εἰ [b] ταῦτ' ἐποίουν. ὡς εἰ νῦν πράως οἴσετ' ἐφ' οἷς τότ' ἠγανακτεῖτε, δόξετ' ὀργιζόμενοι κατεγνωκέναι τὰ
200 χρήματα τούτων, οὐκ ἀδικούμενοι. τῶν μὲν γὰρ ὀργιζομένων ἐστὶν ὀξέως τι κακὸν τὸν λελυπηκότ' [c] ἐργάσασθαι, τῶν δὲ ἀδικουμένων, ὅταν ποθ' ὑπ' αὐτοῖς λάβωσι τὸν ἠδικηκότα, τότε τιμωρήσασθαι. οὔκουν δεῖ δοκεῖν νῦν μαλακισθέντας τότε τῶν ὀμωμοσμένων ὅρκων ἀμελήσαντας ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον, ἀλλὰ μισεῖν καὶ μηδ' ἀνέχεσθαι φωνὴν [d] μήτε τούτου μήτ' ἐκείνου, [e] τοιαῦτα πεπολιτευμένων.

[r] τούτων om. k.

[s] ἔπασχεν] πάσχει F.S. v. unde faciendum πάσχει.

[t] μὲν om. k. μὲν οὐ O.

[u] ὑφῃροῦντο] ὑφαιροῦνται F.Y.O. k. r. s. v.

[x] κατὰ] vulg. τά.

[y] τοῦτ'] τούτων r.

[z] οὐγὼ F.S. ἐγὼ v. ceteri ἐ ἐγώ.

[a] λογισαμένους] λογιζομένους F. Y. O. k. r. s. v.

[b] ταῦτ'] τοιαῦτ' F. v.

[c] ἐργάσασθαι] εἰργάσθαι F.

[d] μήτε τούτου μήτ' ἐκείνου] μήτε τούτου μήτ' ἐκείνων F. v. μήτ' ἐκείνου μήτε τούτου Y. O. k. r.

[e] τοιαῦτα] τῶν τοιαῦτα F.

201 Ἀλλὰ νὴ Δία ταῦτα μόνον τοιοῦτοι γεγόνασιν ἐν οἷς πεπολίτευνται, ἄλλα δ' ἔστιν ἃ καλῶς διῳκήκασιν. ἀλλὰ καὶ τἄλλα οὕτω προσεληλύθασι πρὸς ὑμᾶς, ὥσθ' ἥκιστα ἐν οἷς ἀκηκόατε ἄξιόν ἐστι μισεῖν αὐτούς. τί γὰρ βούλεσθε εἴπω; τὰ πομπεῖα ὡς ἐπεσκευάκασι, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν 202 καλήν; ἀλλ' ἐπὶ τούτοις γε, εἰ μηδὲν ἄλλο ἠδίκουν τὴν πόλιν, τρίς, οὐχ ἅπαξ [f] τεθνάναι δικαίως ἄν μοι δοκοῦσι· καὶ γὰρ ἱεροσυλίᾳ καὶ ἀσεβείᾳ καὶ κλοπῇ καὶ πᾶσι τοῖς δεινοτάτοις εἰσὶν ἔνοχοι. τὰ μὲν οὖν πόλλ' ὧν λέγων [g] ἐφενάκιζεν ὑμᾶς Ἀνδροτίων παραλείψω, φήσας δ' ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων ἢ ῥόδων ὄντας ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισεν. αἱρεθεὶς δ' ἐπὶ ταῦτα [h] προσείλετο 203 [i] τουτονὶ τὸν [k] πάντων [l] τῶν κακῶν [m] κοινωνόν. [n] κἄτ' [o] ἐπὶ μὲν ταῖς εἰσφοραῖς τὸν δημόσιον παρεῖναι προσέγραψεν ὡς δὴ δίκαιος [p] ὤν, [q] ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν [r] εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δ', οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονεν. 204 [s] καὶ μὴν εἰ μὲν ἅπαντ' ἠξίους, ὅσα πράττεις τῇ πόλει, σαυτῷ πιστεύειν, οὐκ ἂν ὁμοίως κλέπτης ὢν [t] ἐφωρῶ· νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς ὃ δίκαιόν ἐσθ' ὁρίσας, μὴ σοὶ πιστεύειν ἀλλὰ τοῖς [u] αὐτῆς δούλοις τὴν πόλιν, ὁπότ' ἄλλο

[f] τεθνάναι post μοι ponunt F. Y. O. k. s. v. post δοκοῦσι r.
[g] ἐφενάκιζεν ὑμᾶς] ὑμᾶς ἐφενάκιζεν F. Y. O. k. r. s. v.
[h] προσείλετο] προείλετο Y. O. k. r. s.
[i] τουτονὶ] τοῦτον F. S. v.
[k] πάντων] ἁπάντων F. v.
[l] τῶν om. v.
[m] κοινωνόν] κοινόν pr. O.
[n] κἄτ'] καὶ Y. O. κἄπειτ' k. r. s.
[o] ἐπὶ] ἐν r.
[p] ὢν om. r.
[q] ὧν om. Y. O. k. s.
[r] εἰσενεγκόντων] εἰσενεγκάντων O. καὶ
[s] οὐ μὴν r.
[t] ἐφωρῶ] ἐφορῶ Y. O. s.
[u] αὐτῆς] σαυτῆς O. αὐτοῖς r. v.

τι πράττων καὶ χρήματα κινῶν ἱερά, ὧν ἔνια οὐδ' ἐπὶ τῆς 756
ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ προσγραψάμενος τὴν αὐτὴν
φυλακὴν ἥνπερ ἐπὶ τῶν εἰσφορῶν φαίνῃ, οὐκ ἤδη δῆλον
205 δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἶμαι. καὶ μήν, ὦ ἄνδρες
Ἀθηναῖοι, [x] καὶ [y] καθ' ἅπαντος τοῦ χρόνου σκέψασθε ὡς 5
καλὰ καὶ ζηλωτὰ ἐπιγράμματα τῆς πόλεως ἀνελὼν ὡς
ἀσεβῆ καὶ δεινὰ ἀντεπέγραψεν. οἶομαι γὰρ ὑμᾶς ἅπαν-
τας [z] ἱερᾶν ὑπὸ τῶν στεφάνων ταῖς χοινικίσι κάτωθεν γε-
γραμμένα "οἱ σύμμαχοι τὸν δῆμον [a] τὸν Ἀθηναίων ἀν- 10
"δραγαθίας ἕνεκ' [ἐστεφάνωσαν] καὶ δικαιοσύνης" ἢ
"οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ ἀνέθεσαν" ἢ κατὰ πό-
λεις οἱ [b] δεῖνες τὸν δῆμον ἐστεφάνωσαν σωθέντες ὑπὸ [c] τοῦ
δήμου, οἷον "Εὐβοεῖς [d] ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν
"δῆμον" [e] ἐπεγέγραπτό που, πάλιν "Κόνων ἀπὸ τῆς 15
"ναυμαχίας τῆς πρὸς Λακεδαιμονίους," "Χαβρίας ἀπὸ
"τῆς ἐν Ναξῳ ναυμαχίας." τοιαῦτα γὰρ ἦν τὰ τῶν στε-
206 φάνων ἐπιγράμματα. ταῦτα μὲν τοίνυν, ἃ [f] πρότερον ζῆ-
λον πολὺν εἶχε καὶ φιλοτιμίαν ὑμῖν, ἠφανίσται καθαι- 20
ρεθέντων τῶν στεφάνων· ἐπὶ [g] δὲ ταῖς φιάλαις, ἃς ἀντ'
ἐκείνων ἐποιήσαθ' [h] ὑμῖν ὁ πόρνος οὗτος, "Ἀνδροτίωνος
"[i] ἐπιμελουμένου" ἐπιγέγραπται, καὶ οὗ τὸ σῶμα ἡταί-
ρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερὰ εἰσιέναι, τούτου
τοὔνομα ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν [k] γεγραμμένον 25

[x] καὶ [μετὰ Ἀθηναῖοι] om. v.
[y] καθ' ἅπαντος] κατὰ παντὸς F. Y. O. k. r. s. v.
[z] ἱερᾶν ὑπὸ τῶν στεφάνων] ὑπὸ τῶν στεφάνων ἱερᾶν v.
[a] τὸν Ἀθηναίων] τῶν Ἀθηναίων Y. O. k. r. s. v.
[b] δεῖνες] τινες S. Y. O. r.
[c] τοῦ om. pr. k. γρ. σωθέντες
[d] ἐλευθερωθέντες] ἐλευθερωθέντες r. σωθέντες k. s.
[e] ἐπεγέγραπτο] ἐπιγέγραπτό r.
[f] πρότερον ζῆλον] ζῆλον πρότερον F. v.
[g] δὲ ταῖς φιάλαις] ταῖς φιάλαις δὲ F. v.
[h] ὑμῖν] ὑμῶν Y. O.
[i] ἐπιμελουμένου] ἐπιμελομένου ἐτυμήθησαν F. Y. O. k. r. s. v.
[k] γεγραμμένον] ἐπιγεγραμμένον F. k. v.

ἐστίν. ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς [1] προτέροις ἐπιγράμ-
207 μασιν, [m] ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. τρία τοίνυν ἐκ
[n] τούτων τὰ δεινότατ' ἄν τις ἴδοι πεπραγμέν' αὐτοῖς. τὴν
μὲν γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασι· τῆς [o] δὲ πό- 757
λεως τὸν ζῆλον ἠφανίκασι τὸν ἐκ τῶν ἔργων, ὧν [p] ὑπό-
μνημα ἦσαν [q] ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας δόξαν
οὐ μικρὰν ἀφήρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν ἐθέλειν
208 μεμνῆσθαι. καὶ τοιαῦτα καὶ τοσαῦτα τὸ πλῆθος [r] κακὰ 5
εἰργασμένοι εἰς τοῦτ' [s] ἀναισθησίας καὶ τόλμης [t] προελη-
λύθασιν, ὥσθ' ὁ μὲν οἴεται δι' [u] ἐκεῖνον ὑφ' [x] ὑμῶν σωθή-
σεσθαι, ὁ δὲ παρακάθηται καὶ οὐ καταδύεται τοῖς πε-
209 πραγμένοις. οὕτω δ' οὐ μόνον εἰς χρήματ' ἀναιδὴς ἀλλὰ
καὶ σκαιός [y] ἐστιν, ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι 10
μέν εἰσιν ἀρετῆς σημεῖον, φιάλαι δὲ [z καὶ ἐκπώματα]
καὶ τὰ τοιαῦτα πλούτου, καὶ στέφανος μὲν ἅπας, κἂν
μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ, ἐκπώ-
ματα δ' ἢ θυμιατήρια ἢ τὰ τοιαῦτα κτήματα, ἐὰν μὲν 15
[a] ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψα-
το τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ [b] σμικροῖς [c] σεμνύνηταί
τις, [d] τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν,
ὥστ' [e] ἀπειρόκαλος προσέδοξεν εἶναι. οὗτος τοίνυν ἀνελὼν
τὰ τῆς δόξης κτήματα [f] τὰ τοῦ πλούτου πεποίηται μι- 20

[1] προτέροις] πρότερον οἷς F.
[m] ἢ] ἣν Y. ἣν O.
[n] τούτων] τούτου F. S. Y. O. r.
[o] δὲ πόλεως S. ceteri πόλεως δέ.
[p] ὑπόμνημα] ὑπομνήματ' F. Y. O. k. r. s. v.
[q] ὄντες om. F. v.
[r] κακὰ εἰργασμένοι] εἰργασμένοι κακὰ Y. O. εἰργασμένοι κακὰ r. εἰργασάμενοι κακὰ k. s.
[s] ἀναισθησίας] ἀναισχυντίας F. v.
[t] προεληλύθασιν] προσεληλύθασιν s.
[u] ἐκεῖνον] ἐκείνων k. s. v.
[x] ὑμῶν] ἡμῶν v.
[y] ἐστιν post ἀναιδὴς ponunt F. v.
[z] [καὶ ἐκπώματα] om. S. Y. O. k. r. s.
[a] ὑπερβάλλῃ] ὑπερβάλῃ Y. O. k. s.
[b] σμικροῖς] μικροῖς S. Y. v.
[c] σεμνύνηταί τις] τις σεμνύνηται F. v.
[d] τοσοῦτ'] τοσοῦτον F.
[e] ἀπειρόκαλος] ἀπειρόκακος O.
[f] τὰ ante τοῦ om. omnes.

210 κρὰ καὶ [e] ἀνάξια ὑμῶν. καὶ οὐδ' ἐκεῖν' [h] εἶδεν, ὅτι πρὸς
μὲν χρημάτων κτῆσιν οὐδὲ πώποτε ὁ δῆμος ἐσπούδασε,
πρὸς δὲ δοξης ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμήριον δὲ·
χρήματα μὲν [i] γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ [k] σχὼν
[l] ἅπανθ' ὑπὲρ φιλοτιμίας [m] ἀνήλωσεν, ὑπὲρ δὲ δόξης εἰσ- 25
211 φέρων ἐκ τῶν ἰδίων οὐδένα πώποτε κίνδυνον ἐξέστη. ἀφ'
ὧν κτήματ' [n] ἀθάνατα αὐτῷ περίεστι, τὰ μὲν τῶν ἔργων
ἡ μνήμη, τὰ δὲ τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις στα-
θέντων τὸ κάλλος, προπύλαια ταῦτα, ὁ παρθενών, στοαί, 758
νεώσοικοι, οὐκ ἀμφορίσκοι δύο οὐδὲ χρυσίδες τέτταρες ἢ
τρεῖς, [o] ἄγουσα ἑκάστη μνᾶν, [p] ἄς, ὅταν σοι δοκῇ, πάλιν
212 [q] γράψεις καταχωνεύειν. οὐ γὰρ ἑαυτοὺς [r] δεκατεύοντες,
οὐδ', ἃ καταράσαιντ' ἂν οἱ ἐχθροί, ποιοῦντες, διπλᾶς 5
πράττοντες τὰς εἰσφοράς, ταῦτ' ἀνέθεσαν, οὐδ' [s] εἴσπερ
σὺ χρώμενοι συμβούλοις ἐπολιτεύοντο, ἀλλὰ τοὺς ἐχ-
θροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο,
τὴν πόλιν εἰς ὁμόνοιαν [t] ἄγοντες, ἀθάνατον [u] κλέος αὐτῶν
λελοίπασι, τοὺς [x] ἐπιτηδεύοντας οἷά σοι βεβίωται τῆς 10
213 ἀγορᾶς εἴργοντες. ὑμεῖς δ' εἰς [y] τοσοῦτον ὦ ἄνδρες Ἀθη-
ναῖοι [z] προηχθητ' εὐηθείας καὶ ῥᾳθυμίας, ὥστ' οὐδὲ τοιαῦτ'
ἔχοντες [a] παραδείγματα ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων
ὑμῖν πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. 15

[e] ἀνάξια ὑμῶν] οὐχ ὑμῶν ἄξια F. v.
[h] εἶδεν F. S. Y. O. ceteri ᾔδεσ.
[i] γὰρ om. O. k.
[k] σχὼν] ἔχων Y. O. k. r. s. et γρ. F.
[l] ἅπανθ'] πάνθ' Y. O. k. r. s.
[m] ἀνήλωσεν] ἀνάλωσεν v.
[n] ἀθάνατα αὐτῷ] αὐτῷ ἀθάνατα Y. O. r.
[o] ἄγουσα] ἄγουσαι F. v.
[p] ἄς—καταχωνεύειν om. S. k. r. s. et pr. Y.
[q] γράψεις] Libri γράφεις. Conf. Androtion. 95.
[r] δεκατεύοντες] δεκατεύσαντες F.
[s] εἴσπερ] Libri εἴωσπερ.
[t] ἄγοντες] ἀγαγόντες Y. O. k. r. s.
[u] κλέος αὐτῶν] αὐτῶν κλέος F. v. κλέος αὐτοῖς Y. O. k. r. s.
[x] ἐπιτηδεύοντας] ἐπιτηδεύσαντας F.
[y] τοσοῦτον] τοῦτο F. v. τοσοῦτο γρ. F.
[z] προήχθητ'] πρήχθε F.
[a] παραδείγματα] τὰ παραδείγματα F. Y.

καὶ τοῦτ' ἀσέβημα ἔλαττον τίνος ἡγεῖσθε; ἐγὼ μὲν [b]γὰρ [c]ἡγοῦμαι δεῖν τὸν εἰς ἱερὰ εἰσιόντα καὶ χερνίβων καὶ κανῶν ἁψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας [d]προστάτην ἐσόμενον οὐχὶ [e]τακτὸν ἡμερῶν ἀριθμὸν [f]ἀγνεύειν, ἀλλὰ τὸν βίον [g]ὅλον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων οἷα τούτῳ βεβίωται.

214 Καὶ περὶ μὲν [h]τούτων κατὰ σχολήν· ἃ δὲ Τιμοκράτει συνερεῖ, πολλὰ λέγειν ἔτι πρὸς τούτοις ἔχων παύσομαι. οἶδα δ' ὅτι, ὡς μὲν οὐκ ἀσύμφορος [i]ὑμῖν ἐστὶν ὁ νόμος καὶ παρὰ πάντας τοὺς νόμους εἰσενηνεγμένος καὶ κατὰ πάντ' ἀδίκως ἔχων, οὐχ ἕξει λέγειν· ἀκούω δ' αὐτὸν λέγειν ὡς [k]ἐκτέτισται τὰ χρήματα Ἀνδροτίωνι καὶ Γλαυκέτῃ καὶ Μελανώπῳ, καὶ ὅτι δεινότατ' ἂν πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων [l]ἐκείνων τὰ δίκαια, ὑπὲρ ὧν αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον, μηδὲν [m]ἧττον 759
215 αὐτὸς ἁλίσκοιτο. ἐγὼ δὲ τὸν λόγον [n]ἡγοῦμαι τοῦτον [o]οὐδὲ καθ' [p]ἓν λέγειν [q]ἐνεῖναι τούτῳ. εἰ μὲν γὰρ ὑπὲρ τούτων, οὓς τὰ προσήκοντα [r]φὴς πεποιηκέναι, θεῖναι τὸν νόμον [s]ὁμολογεῖς, [s]κατ' ἐκεῖνό προσήκει σε ἁλίσκεσθαι φανερῶς, [t]ὅτι μὴ τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις, ἄντικρυς οἱ κύριοι νόμοι [u]λέγουσι, καθ' οὓς
216 οὗτοι [x]δικάσειν ὀμωμόκασιν. εἰ δὲ τοῦ πᾶσι συμφέροντος

[b] γὰρ om. O.
[c] ἡγοῦμαι] οἶμαι v.
[d] προστάτην] πρὸς ταύτην s.
[e] τακτὸν] προειρημένων Y.O.k.s. προειρημένων τακτὸν F. προειρημένῶν τακτῶν v.
[f] ἀγνεύειν] ἄγνευσίν r. ἄγνευσιν Y.O.
[g] ὅλον om. S.v. in γρ. habet F.
[h] τούτων] τούτου S.
[i] ὑμῖν ἐστὶν] ἔσθ' ὑμῖν v.
[k] ἐκτέτισται] ἔκτισται O.
[l] ἐκείνων] τούτων F. v. om. s.
[m] ἧττον αὐτὸς] αὐτὸς ἧττον Y. O. r.
[n] ἡγοῦμαι τοῦτον] τοῦτον ἡγοῦμαι F. v.
[o] οὐδὲ] οὐδὲν s.
[p] ἓν] ἕνα S.
[q] ἐνεῖναι] εἶναι Y. O. k. r. s.
[r] φὴς] φῆις S. φήσεις Y.O.k.r.s.
[s] κατ'] καὶ κατ' O.
[t] ὅτι μὴ] ὅτι μηδὲ r.
[u] λέγουσι] ἄγουσι S.
[x] δικάσειν] δικάζειν v.

ἕνεκα ταῦτα [γ]νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων· οὐδὲν γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε· ἀλλ' ὡς ἐπιτήδειός ἐστι καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο διδασκε. τοῦτο γάρ ἐσθ' ὑπὲρ οὗ σὺ μὲν εἰσενεγκεῖν φῄς, ἐγὼ δὲ γέγραμμαι τἀναντία φάσκων, κρῖναι δὲ προσῆκει [β]τουτουσί. καίτοι καὶ τοῦτ' οὐκ [α]ἀπορήσαιμ' ἂν δεῖξαι, [δ]πάντα [ε]μᾶλλον ἢ κατὰ τοὺς νόμους πεποιημένους τὴν ἔκτισιν [δ]ἐκείνους τὴν τῶν χρημάτων· ἀλλὰ μὴ περὶ τούτων ὑμῶν οἰσόντων τὴν ψῆφον, τί δεῖ ταῦτα λέγοντα ἐνοχλεῖν με νυνί;

217 Οἶμαι τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὡς δεινὰ ἂν πάθοι, εἰ γράψας ὅπως [ε]Ἀθηναίων μηδεὶς δεθήσεται αὐτὸς [ζ]πείσεταί [η]τι κακόν, καὶ ὅτι τοὺς νόμους [θ]ὡς [ι]πραοτάτους καὶ μετριωτάτους εἶναι ὑπὲρ τῶν ἀδυνάτων μάλιστ' ἐστίν. πρὸς [κ]δὴ τοὺς τοιούτους λόγους βέλτιον [λ]προαχθήκεναι μικρὰ πάντας ὑμᾶς, ἵν' ἧττον ἐξ-
218 απατᾶσθε. ὅταν μὲν γὰρ λέγῃ, [μ]ὅπως μηδεὶς [ν]δεθήσεται Ἀθηναίων, μὴ λανθανέτω ψευδόμενος ὑμᾶς. οὐ γὰρ [ξ]τοῦτο τεθεικεν, ἀλλ' ὅπως ὑμεῖς ἄκυροι τῶν προστιμη- 760
μάτων [ο]ἔσεσθε· καὶ τὴν μεθ' ὅρκου καὶ λόγου καὶ κρίσεως ψῆφον ἐνηνεγμένην [π]ἀνάδικον καθιστησιν. μὴ δὴ

[γ] νομοθετῆσαι] νομοθετήσας Y. k. s.
[β] τουτουσί] τούτους Y. O. k. r. s.
[α] ἀπορήσαιμ'] ἀπορήσαιμεν F. S. v.
[δ] πάντα om. k.
ἄλλως
[ε] μᾶλλον] μᾶλλων k.
[δ] ἐκείνους] αὐτοὺς F. v.
[ε] Ἀθηναίων μηδεὶς] μηδεὶς ἀθηναίων F. v.
[ζ] πείσεται] πήσεται Y.
[η] τι κακὸν] τὸ κακὸν Y. O. τι τὸ κακὸν r.
[θ] ὡς] ὧς v.
[ι] πραοτάτους καὶ μετριωτάτους] μετριωτάτους καὶ πραοτάτους r.
[κ] δὴ] δὲ F. Y. O. k. r. s. v.
[λ] προακηκοέναι] ἀκηκοέναι F.
[μ] ὅπως om. s.
[ν] δεθήσεται Ἀθηναίων] δεθήσεται ἀθηναίων O. ἀθηναίων δεθήσεται F. v.
[ξ] τοῦτο τέθεικεν] τοῦτ' ἔθηκεν Y. O. k. r. s.
[ο] ἔσεσθε] γενήσεσθε F. v.
[π] ἀνάδικον] ἀν ἄδικον Y. k. r. s. ἄδικον F. v.

ταῦθ' ὑμῖν τῶν ἐκ τοῦ νόμου ῥημάτων ἐκλέξας λεγέτω, ἃ φιλανθρωπότατ' ἐστὶν ἀκοῦσαι· ἀλλ' ὅλον δεικνύτω τὸν νόμον [r]ἐξῆς, καὶ τὰ συμβαίνοντ' ἐξ αὐτοῦ σκοπεῖν ἐάτω. [s]εὑρήσετε γὰρ [t]ταῦτ' [u]ὄντα ἃ ἐγὼ λέγω, καὶ [x]οὐχ ἃ
219 φησιν οὗτος. ἀλλὰ μὴν πρός γε τὸ τοῖς πολλοῖς συμφέρειν τοὺς νόμους πράους καὶ μετρίους εἶναι τάδε χρὴ σκοπεῖν. ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι δύο εἴδη, περὶ ὧν εἰσὶν οἱ νόμοι [y]κατὰ πάσας τὰς πόλεις· ὧν τὸ μέν ἐστι, δι' ὧν χρώμεθα ἀλλήλοις καὶ συναλλάττομεν καὶ περὶ τῶν ἰδίων ἃ χρὴ ποιεῖν [z]διωρίσμεθα καὶ ζῶμεν ὅλως τὰ πρὸς ἡμᾶς αὐτούς, τὸ δ', ὃν τρόπον δεῖ τῷ κοινῷ τῆς πόλεως ἕνα ἕκαστον ἡμῶν χρῆσθαι, ἐὰν [a]πολιτεύεσθαι βούληται
220 καὶ φῇ κήδεσθαι τῆς πόλεως. ἐκείνους μὲν τοίνυν τοὺς νόμους, τοὺς περὶ τῶν ἰδίων, ἠπίως κεῖσθαι καὶ φιλανθρώπως ὑπὲρ τῶν πολλῶν ἐστί· [b]τούσδε δὲ [c]τοὺς περὶ τῶν πρὸς τὸ [d]δημόσιον τουναντίον, ἰσχυρῶς [e]καὶ χαλεπῶς ἔχειν ὑπὲρ ὑμῶν ἐστίν· οὕτω γὰρ [f]ἂν ἥκιστ' οἱ πολιτευόμενοι τοὺς πολλοὺς [g]ὑμᾶς ἀδικοῖεν. ὅταν δὴ τούτῳ τῷ λόγῳ χρῆται, ἐπὶ ταῦτα [h]ἀπαντᾶτε, ὅτι τοὺς νόμους οὐκ ἐκείνους τοὺς ὑπὲρ [i]ὑμῶν πράους ποιεῖ, ἀλλὰ τούσδε οἳ
25 τοῖς πολιτευομένοις [k]φόβον παρέχουσιν.

221 Πολλὰ δ' ἄν τις ἔχοι λέγειν, εἰ καθ' ἕκαστον ὧν ἐρεῖ δεικνύναι βούλοιτο φενακισμοῦ καὶ παρακρούσεως ἕνεκα

[r] ἐξῆς] τὸν ἐξῆς Y. O.
[s] εὑρήσετε] εὑρήσεται O.
[t] ταῦτ'] ταυτὰ s.
[u] ὄντα om. S.
[x] οὐχ—πολλοῖς om. s.
[y] κατὰ πάσας] καθ' ἁπάσας F. S. v.
[z] διωρίσμεθα] διοριζόμεθα F. v.
[a] πολιτεύεσθαι βούληται] βούληται πολιτεύεσθαι F. v.
[b] τούσδε] τοὺς F. v.
[c] τοὺς om. v.
[d] δημόσιον] δημόσιον προσιόντων F. v.
[e] καὶ χαλεπῶς ἔχειν] ἔχειν καὶ χαλεπῶς F. v.
[f] ἂν om. s.
[g] ὑμᾶς] ὑμῶν Y. O. k. r. s.
[h] ἀπαντᾶτε—ἐκείνους τοὺς om. s.
[i] ὑμῶν] ἡμῶν v.
[k] φόβον παρέχουσι] φόρον παρέχουσι F. παρέχουσι φόβον v.

ῥηθησόμενα. ἀλλὰ τὰ μὲν πολλὰ παρήσω, κεφάλαιον 761 1
δ' ὑμῖν [l]ὃ [m]μνημονεύσετε ἐρῶ. σκοπεῖτ' ἐν ἅπασι τοῖς
λόγοις, ὁπόσους ἂν λέγῃ, εἴ τι δυνήσεται τοιοῦτον εἰπεῖν,
δι' οὗ διδάξει ὡς ἔστι δίκαιον [n]τὸν τιθέντα [o]νόμον ταὐτὰ
προστάξαι [p]περὶ τῶν παρεληλυθότων καὶ [q]πρότερον τέλος 5
ἐσχηκότων ποιεῖν καὶ περὶ τῶν μελλόντων γενήσεσθαι·
222 πάντων γὰρ ὄντων αἰσχρῶν καὶ δεινῶν τῶν [r]γεγραμμένων
ἐν τῷ νόμῳ, τοῦτο δεινότατον καὶ μάλιστα παράνομον
γέγραπται. εἰ δὲ [s]τοῦτο μηθ' οὗτος μήτ' ἄλλος [t]μηδεὶς
δυνήσεται δεῖξαι, εἰδέναι χρὴ [z]καὶ συνιέναι [y]σαφῶς φε- 10
νακιζομένους [z]ὑμᾶς, καὶ [a]λογίζεσθαι πρὸς ὑμᾶς αὐ-
223 τοὺς ἐκ τίνος ποτὲ ἐπῆλθε τούτῳ [b]τοιαῦτα νομοθετεῖν. οὐ
προῖκα, ὦ Τιμόκρατες, πόθεν; οὐδ' ὀλίγου [c]δεῖ τοῦτον ἔθη-
κας τὸν νόμον· οὐδεμίαν [d]γὰρ [e]ἂν εἰπεῖν ἔχοις [f]ἄλλην 15
πρόφασιν, δι' ἣν τοιοῦτον ἐπήρθης εἰσενεγκεῖν νόμον, [g]ἢ τὴν
σεαυτοῦ θεοῖς [h]ἐχθρὰν [i]αἰσχροκέρδειαν· οὔτε γὰρ [k]συγ-
γενὴς οὔτ' οἰκεῖος οὔτ' ἀναγκαῖος ἦν σοι τούτων οὐδείς.
224 [l]οὐδ' [m]ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὡς ἐλεήσας δεινὰ πάσχον- 20
τας ἀνθρώπους εἶλου διὰ ταῦτα βοηθεῖν αὐτοῖς. οὔτε γὰρ

[l] ἃ] ὧν F. s. v.
[m] μνημονεύσετε] μνημονεύτε k. r. s.
[n] τὸν ante τιθέντα om. s.
[o] νόμον] τὸν νόμον Y. O. k. r. s.
[p] περὶ om. s.
[q] πρότερον om. Y. O. k. r. s.
[r] γεγραμμένων ἐν τῷ νόμῳ] ἐν τῷ νόμῳ γεγραμμένων F. v.
[s] τοῦτο post μηδεὶς ponunt Y. O. k. r. om. s.
[t] μηδεὶς] τοῦτο μηδεὶς S. τῶν συναγορευόντων αὐτῷ μηδεὶς r.
μηδεὶς δυνήσεται δεῖξαι] δεῖξαι δυνήσεται μηδεὶς v.
[z] καὶ συνιέναι om. Y. O. k. r. s.
[y] σαφῶς] σαφῶς καὶ O.
[z] [ὑμᾶς] om. F. Y. O. k. r. s. v.
[a] λογίζεσθαι] λογίσασθαι k. s.
[b] τοιαῦτα] ταῦτα F. v.
[c] δεῖ] δὴ Y. O. k. r. s.
[d] γὰρ om. O.
[e] ἂν εἰπεῖν] εἰπεῖν ἂν Y. r. ἂν εἰπεῖν ἂν O. ἂν εἶπος F. v.
[f] ἄλλην πρόφασιν] πρόφασιν ἄλλην r.
[g] ἢ] ἀλλὰ Y. O. k.
[h] ἐχθρὰν] αἰσχρὰν s.
[i] αἰσχροκέρδειαν] αἰσχροκερδίαν O.
[k] συγγενὴς οὔτ' οἰκεῖος] οἰκεῖος οὔτε συγγενὴς F. Y. O. k. r. s. v.
[l] οὔθ'] οὔτε F. S. Y. r.
[m] ἐκεῖνο] ἐκεῖνον k.

[n]τὸ τὰ τούτων πολλοστῷ χρόνῳ [o]μόλις ἄκοντας, ἐν τρισὶν ἐξελεγχθέντας δικαστηρίοις, [p]κατατιθέναι, τοῦθ' ἡγήσω τὸ δεινὰ πάσχειν εἶναι· [q]ποιεῖν γάρ ἐστι τοῦτό γε δεινά, καὶ [r]παροξύνειε μᾶλλον ἄν τινα [s]μισεῖν ἢ προτρέψειεν ἐλεεῖν· οὔτ' [t]ἄλλως πρᾶος καὶ φιλάνθρωπος σύ τις τῶν
225 ἄλλων [u]διαφόρως [x]ὧν ἐλεεῖς αὐτούς· οὐ γάρ ἐστι τῆς αὐτῆς ψυχῆς Ἀνδροτίωνα μὲν καὶ [y]Γλαυκέτην καὶ Μελάνωπον ἐλεεῖν, ἃ κλέψαντες εἶχον, εἰ καταθήσουσι, τουτωνὶ δὲ τοσούτων ὄντων καὶ τῶν ἄλλων πολιτῶν, ὧν 762
ἐπὶ τὰς οἰκίας ἐβάδιζες σὺ τοὺς ἕνδεκα καὶ τοὺς [z]ἀποδέκτας ἔχων καὶ τοὺς ὑπηρέτας, μηδένα πώποτ' ἐλεῆσαι, ἀλλὰ θύρας [a]ἀφαιρεῖν καὶ [b]στρώματ' ὑποσπᾶν καὶ διάκονον, [c]εἴ τις ἐχρῆτο, ταύτην ἐνεχυράζειν· ἃ σὺ πάντ'
226 ἐποίεις ἐνιαυτὸν ὅλον μετ' Ἀνδροτίωνος. πολλῷ γὰρ δήπου [d]σχετλιώτερα ἐπάσχεθ' ὑμεῖς, καὶ [e]πολὺ μᾶλλον ἂν εἰκότως ἠλέεις τούτους, [f]οἳ δι' [g]ὑμᾶς, ὦ κατάρατε, τοὺς λέγοντας οὐδ' ὁτιοῦν εἰσφέροντες παύονται. καὶ οὐκ ἀπόχρη τοῦτ', ἀλλὰ καὶ διπλᾶ πράττονται, καὶ ταῦθ'
[h]ὑπὸ σοῦ καὶ Ἀνδροτίωνος, οἳ μίαν εἰσφορὰν [i]οὐδεπώποτε
227 εἰσενηνόχατε. [k]τηλικοῦτο [l]τοίνυν ἐφρόνησεν οὗτος ὡς ἄρ'

[n] τὸ om. S. Y. k. r. s. v.
[o] μόλις] μόγις v.
[p] κατατιθέναι] καταθεῖναι Y. O. k. r. s.
[q] ποιεῖν γάρ ἐστι τοῦτό γε δεινά] δεινὰ γὰρ ποιεῖν ἐστὶ τοῦτό γε F. v.
[r] παροξύνειε] παροξύνειν S. παροξύνει O.
[s] μισεῖν ante παροξ. ponit v.
[t] ἄλλως] ἄλλω k. s. ἄλλο r.
[u] διαφόρως] Libri διάφορος.
[x] ὧν ἐλεεῖς] ὥστε ἐλεεῖν γρ. S. ὧν μᾶλλον ἐλεεῖς F. v.
[y] Γλαυκέτην καὶ Μελάνωπον] μελάνωπον καὶ γλαυκέτην F. S. v.
[z] ἀποδέκτας] ἀποδεκάτας k. r.
[a] ἀφαιρεῖν] ὑφαιρεῖν F. S. Y. O. k. r. v.
[b] στρώματ'] στρῶμα S.
[c] εἴ] ἤ Y. ἥ F. r. s.
[d] σχετλιώτερα] σχετλιώτερον Y. O. r. s.
[e] πολὺ] πολλῷ v.
[f] οἳ] ἢ r.
[g] ὑμᾶς] ἡμᾶς v.
[h] ὑπὸ] ὑπό τε Y. O. k. r. s.
[i] οὐδεπώποτε] μίαν οὐδεπώποτε S. οὐδέποτε v.
[k] τηλικοῦτο] τηλικοῦτον r. v.
[l] τοίνυν] οὖν r.

οὐδὲ δίκην τούτων οὐδεμίαν δώσων, ὥστε μόνος δέκα τῶν συναρχόντων ὄντων κοινῇ τὸν λόγον [m] ἐγγράψαι μετ' Ἀνδροτίωνος ἐτόλμησε· προῖκα γάρ, οὐδὲν ὠφελούμενος, ὑμῖν Τιμοκράτης ἀπεχθάνεται καὶ νόμους εἰσφέρει πᾶσιν ἐναντίους, τὸ τελευταῖον δὲ καὶ [n] ἑαυτῷ νόμῳ προτέρῳ, [o] ὃ μὰ τὴν Ἀθηνᾶν οὐδ' ὑμᾶς οἴομαι λανθάνειν.

228 Ὁ τοίνυν [p] ἔμοιγε δοκεῖ μάλιστ' [q] ὀργῆς ἄξιον εἶναι, φράσω καὶ οὐκ [r] ἀποκρύψομαι, ὅτι ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, πράττων ἐπ' ἀργυρίῳ, καὶ προῃρημένος ὡς ἀληθῶς μισθαρνεῖν, οὐκ εἰς ἃ καὶ συγγνώμην [s] ἀκούσας ἄν τις [t] ἔσχε, ταῦτ' ἀναλίσκει. ταῦτα δὲ ἐστὶ τί; ὁ πατήρ, ὦ ἄνδρες δικασταί, [u] ὁ τούτου τῷ δημοσίῳ ὀφείλει· καὶ οὐκ ὀνειδίζων ἐκείνῳ λέγω, ἀλλ' ἀναγκαζόμενος· καὶ 229 οὗτος ὁ χρηστὸς περιορᾷ. καίτοι ὅστις μέλλων κληρονομήσειν τῆς ἀτιμίας, ἂν ἐκεῖνός τι [x] πάθῃ, μὴ [y] οἴεται δεῖν ἐκτῖσαι, ἀλλὰ κερδαίνειν, ὃν ἐκεῖνος ζῇ χρόνον, ἀξιοῖ τοῦτο τὸ κέρδος, τίνος ἂν ὑμῖν [z] ἀποσχέσθαι δοκεῖ; καὶ τὸν μὲν πατέρα οὔτ' ἐλεεῖς οὔτε δεινά σοι [a] δοκεῖ πάσχειν, 763 εἰ σῶ λαμβάνοντος καὶ χρηματιζομένου ἀπὸ τῶν εἰσφορῶν ὧν εἰσέπραττες, ἀπὸ [b] τῶν ψηφισμάτων ὧν γράφεις, [c] ἀφ' ὧν εἰσφέρεις [d] νόμων, διὰ μικρὸν ἀργύριον μὴ [e] μετέχει τῆς πόλεως, ἑτέρους δ' ἐλεῆσαί τινας φῄς; 230 ἀλλὰ νὴ Δία τὴν ἀδελφὴν καλῶς διῴκηκεν. ἀλλ' [f] εἰ

[m] ἐγγράψαι F. v.
[n] ἑαυτοῦ] τῷ ἑαυτοῦ O. k.
[o] ἅ] ἃν O. r. v. et correctus k.
[p] ἔμοιγε δοκεῖ μάλιστ'] μάλιστα ἔμοιγε δοκεῖ r.
[q] ὀργῆς ἄξιον] ἄξιον ὀργῆς S. v.
[r] ἀποκρύψομαι] ἀποτρέψομαι S.
[s] ἀκούσας ἄν τις] ἀκούσας τις k. s. ἄν τις ἀκούσας F. v.
γρ. ἴσχυ
[t] ἔσχε] ἔχῃ r.
[u] ὁ ante τούτου om. v.
[x] πάθῃ] πάθοι s.
[y] οἴεται] οἴηται s.
[z] ἀποσχ. δοκεῖ] ἀποσχ. δοκῇ r. v.
[a] δοκεῖ πάσχειν] πάσχειν δοκεῖ Y. O. k. r. s.
[b] τῶν ante ψηφισμάτων om. S. v.
[c] ἀφ' ὧν] ἀμφὸν r.
[d] νόμων] νόμων r.
[e] μετέχει] μετέχειν F. v.
[f] εἰ καὶ] καὶ εἰ F. v.

καὶ μηδὲν ἄλλο [g]ἠδίκει, κατὰ τοῦτο ἄξιός ἐστιν ἀπολωλέναι· πέπρακε γὰρ αὐτήν, [h]οὐκ ἐκδέδωκε. τῶν γὰρ ὑμετέρων ἐχθρῶν ἑνί, Κερκυραίῳ τινὶ τῶν νῦν ἐχόντων τὴν πόλιν, καταλύοντι παρ' αὐτῷ, ὅτε δεῦρο πρεσβεύοι, καὶ βουληθέντι λαβεῖν αὐτήν (ἐξ οὗ δὲ τρόπου, παραλείψω)
231 λαβὼν ἀργύριον [i]δέδωκε· καὶ νῦν ἐστὶν ἐν [k]Κερκύρᾳ. ὃς οὖν τὴν μὲν ἀδελφὴν ἐπ' ἐξαγωγῇ [l]φησὶ μὲν ἐκδοῦναι, πέπρακε δὲ τῷ ἔργῳ, τὸν δ' ἑαυτοῦ πατέρα οὕτω γηροτροφεῖ, κολακεύει δὲ καὶ μισθοῦ γράφει καὶ πολιτεύεται, τοῦτον ὑμεῖς λαβόντες οὐκ ἀποκτενεῖτε; δόξετε ἄρα, ὦ ἄνδρες Ἀθηναῖοι, κρίσεις βούλεσθαι καὶ πράγματ' ἔχειν, ἀλλ' οὐκ ἀπηλλάχθαι τῶν πονηρῶν.
232 Καὶ μὴν ὅτι μὲν προσήκει πάντας κολάζειν τοὺς ἀδικοῦντας, εὖ οἶδ' ὅτι πάντες ἄν, εἴ [m]τις ἔροιτο, [n]φήσαιτε· ὅσῳ δὲ [o]μάλιστα τοῦτον, ὃς [p]νόμον εἰσενήνοχεν ἐπὶ βλάβῃ τοῦ πλήθους, ἐγὼ [q]πειράσομαι διδάξαι. τῶν μὲν γὰρ κλεπτῶν [r]καὶ λωποδυτῶν καὶ τὰ τοιαῦτα κακουργούντων ἕκαστος πρῶτον μὲν ὡς ἀληθῶς τὸν ἐντυχόντ' ἀδικεῖ, καὶ οὐκ ἂν [s]οἷός τ' εἴη πάντας ἐκδύειν οὐδὲ [t]τὰ [u]πάντων ὑφελέσθαι, εἶτα καταισχύνει τὴν ἑαυτοῦ δόξαν καὶ τὸν
233 βίον μόνον. εἰ δέ τις εἰσφέρει νόμον ἐξ οὗ τοῖς [x]ὑμᾶς βουλομένοις ἀδικεῖν ἡ πᾶσα ἐξουσία καὶ ἄδεια γενήσεται, οὗτος [y]ὅλην ἀδικεῖ τὴν πόλιν καὶ καταισχύνει 764

[g] ἠδίκει] ἠδικήκει F.
[h] οὐκ] καὶ οὐκ Y. O. k. r. s.
[i] δέδωκε S. ceteri ἔδωκε.
[k] Κερκύρᾳ] κορκύραι S. δερκύραι F.
[l] φησὶ] φήσει S. φησὶ σει F.
[m] τις] τις ἂν r.
[n] φήσαιτε S. ceteri φήσετε.
[o] μάλιστα] μᾶλλον F. v.
[p] νόμον] τὸν νόμον Y. O$_2$ k. r. s.
[q] πειράσομαι διδάξαι] διδάξαι πειράσομαι vulg.
[r] καὶ λωποδυτῶν καὶ] καὶ τῶν λωποδυτῶν καὶ τῶν v.
[s] οἷός τ' εἴη] δύναιτο F. v. οἷός τ' ἂν ᾖ Y. O. k. r. s.
[t] τὰ om. O.
[u] πάντων] πάντα v. τούτων r.
[x] ὑμᾶς βουλομένοις] βουλομένοις ὑμᾶς F. Y. O. k. r. s. v.
[y] ὅλην post ἀδικεῖ F. om. v.

πάντας· νόμος γὰρ αἰσχρὸς ὅταν κύριος ᾖ, τῆς πόλεως ὄνειδός ἐστι τῆς θεμένης, καὶ βλάπτει πάντας ὅσοι περ [a]ἂν αὐτῷ χρῶνται. τὸν οὖν καὶ βλάπτειν [a]ὑμᾶς καὶ δόξῃς ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα, τοῦτον οὐ τι-
234 μωρήσεσθε λαβόντες; καὶ τί φήσετε; γνοίη δ' ἄν τις οὕτω μᾶλισθ' ἡλίκα πράγματα συσκευάσας γέγραφεν αὐτόν, καὶ ταῦθ' ὡς [b]ὑπεναντία τῇ καθεστώσῃ πολιτείᾳ, [c]εἰ λογίσαιτο ὅτι πάντες, [d]ὅταν που καταλύοντες τὸν δῆμον πράγμασιν [e]ἐγχειρῶσι νεωτέροις, τοῦτο ποιοῦσι
235 πρῶτον ἁπάντων, ἔλυσαν [f]τοὺς πρότερον νόμῳ δι' ἁμαρτίαν τινὰ ταύτην [g]ὑπέχοντας τὴν δίκην. πῶς οὖν οὐκ ἄξιος οὗτος, εἰ δυνατόν [h]ἐστι, τρὶς, οὐχ ἅπαξ ἀπολωλέναι, ὃς εἷς ὢν καὶ οὐ δήπου μέλλων [i]καταλύειν ὑμᾶς, ἀλλὰ τοὐναντίον αὐτὸς ἐν ὑμῖν, ἂν τὰ δίκαια [k]καὶ τὰ προσήκοντα ποιῆτε, [l]ἀπολέσθαι, ὅμως ἐμιμήσατο τοῦτο τἀδίκημα, καὶ διὰ τοῦ νόμου λύειν ἠξίωσεν οὓς [m]δέδεκε τὰ δικαστήρια, γράψας ἀναιδῶς, εἴ τινι προστέτιμηται δεσμοῦ κἂν τὸ [n]λοιπόν τινι [o]προστιμηθῇ, τοῦτον ἀφεῖ-
236 σθαι. καὶ μὴν [p]εἰ αὐτίκα δὴ μάλα κραυγὴν [q]ἀκούσαιτε πρὸς τῷ δικαστηρίῳ, εἶτ' [r]εἴποι τις ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶται φεύγουσιν, οὐδεὶς [s]οὔτε γέρων

[a] ἂν om. k. s.
[a] ὑμᾶς om. k.
[b] ὑπεναντία] ἐναντία F. v.
[c] εἰ λογίσαιτο] ἐλογίσατο S.
[d] ὅταν που κ. τ. λ. πράγμασιν S. vulg. οἱ κ. τ. λ. ὅταν πράγμασιν.
[e] ἐγχειρῶσι] ἐπιχειρῶσιν r. v.
[f] τοὺς] τοὺς ὅρκους Y. O. k. r. s.
[g] ὑπέχοντας] ὑπέχοντες k. r.
[h] ἐστι om. S. v.
[i] καταλύειν] καταλύσειν Y. O. r. s.
[k] καὶ τὰ προσήκοντα ποιῆτε] ποιῆτε καὶ προσήκοντα F.
[l] ἀπολέσθαι] ἀπολεῖσθαι Y. O. k. r. s.
[m] δέδεκε] δέδωκε F. ἔδησε correctus r.
[n] λοιπόν τινι] λοιπὸν Y. O. k. r. s.
[o] προστιμηθῇ] προστιμήσητε F. S. v.
[p] εἰ] εἴ τις F. r. v.
[q] ἀκούσαιτε] ἀκούσητε Y. O. r. ἀκούσεται S. k. s. ἀκούσαι F. v.
[r] εἴποι] εἴπῃ k.
[s] οὔτε γέρων οὔτ' ἀλίγαρχος] οὔτε νέος οὔτε γέρων ἀλίγαρχος F. v.

οὔτ' ὀλίγωρος οὕτως [t] ἐστίν, ὅστις οὐχὶ βοηθήσειεν ἂν καθ' ὅσον δύναται. εἰ δὲ δή τις εἴποι παρελθὼν [u] ὡς ὁ τούτους [x] ἀφιείς [y] ἐστιν οὑτοσί, οὐδὲ λόγου τυχὼν [z] εὐθὺς ἂν
237 ἀπαχθεὶς θανάτῳ ζημιωθείη. νῦν τοίνυν ἔχετε ὦ ἄνδρες Ἀθηναῖοι τοῦτον, ὃς οὐχὶ λάθρᾳ πεποίηκε τοῦτο, ἀλλὰ φενακίσας καὶ παρακρουσάμενος [a] ὑμᾶς νόμον [b] τέθεικε φανερῶς, ὃς οὐκ [c] ἀνοίγνυσι τὸ δεσμωτήριον, [d] ἀλλὰ [e] καθ- 765
αιρεῖ, προσπεριειλῆφε δὲ καὶ [f] τὰ δικαστήρια. τίς γὰρ ἡ τούτων ἢ [g] ἐκείνων χρεία, ὅταν οἷς τετίμηται δεσμοῦ λύωνται, κἂν τὸ λοιπὸν τιμήσητέ τῳ, μηδὲν ὑμῖν ᾖ [h] πλεῖον; 5
238 Δεῖ τοίνυν ὑμᾶς κἀκεῖνο σκοπεῖν, ὅτι πολλοὶ τῶν Ἑλλήνων πολλάκις εἰσὶν ἐψηφισμένοι τοῖς νόμοις χρῆσθαι τοῖς ὑμετέροις, ἐφ' ᾧ φιλοτιμεῖσθε ὑμεῖς, εἰκότως. ὁ γὰρ εἰπεῖν τινά φασιν ἐν ὑμῖν, ἀληθὲς εἶναί μοι δοκεῖ, ὅτι τοὺς νόμους ἅπαντες [i] ὑπειλήφασιν, ὅσοι σωφρονοῦσι, τρό- 10
239 πους τῆς πόλεως [k] εἶναι. χρὴ τοίνυν σπουδάζειν ὅπως [l] ὡς [m] βέλτιστοι δόξουσιν εἶναι, καὶ τοὺς λυμαινομένους καὶ διαστρέφοντας αὐτοὺς κολάζειν, ὡς εἰ [n] καταῤῥᾳθυμήσετε, τῆς φιλοτιμίας [o] τε ταύτης [p] ἀποστερήσεσθε καὶ
240 κατὰ τῆς πόλεως δόξαν οὐ χρηστὴν ποιήσετε. καὶ μὴν εἰ 15

[t] ἐστὶν om. O. k. r. s.
[u] ὡς ὁ] ὡς ὅτι ὁ S. v.
[x] ἀφιείς] ἀφείς r.
[y] ἐστιν οὑτοσὶ] ἐστὶν οὑτοσὶν r. οὑτοσί ἐστι F. v.
[z] εὐθὺς ἂν] ἂν εὐθὺς F. v.
[a] ὑμᾶς] καὶ F. om. S. v.
[b] τέθεικε] ἔθηκε S.
[c] ἀνοίγνυσι] ἀνοίγνυσι μόνον F. O. k. r. s. v.
[d] ἀλλὰ] ἀλλὰ καὶ F. v.
[e] καθαιρεῖ] καθαίρει S.
[f] τὰ om. k. s.
[g] ἐκείνων] ἐκείνου F. v.
[h] πλεῖον] πλέον F.
[i] ὑπειλήφασιν] ὑπειλήφασιν ἐν ὑμῖν F. Y. O. r. v. ἐν ὑμῖν ὑπειλήφασιν rec. k. qui pr. ὑμῶν vel ὑμᾶς ὑπειλήφασιν. ὑμεῖς ὑπειλήφασιν s.
[k] εἶναι om. S. O. k. r. s.
[l] ὡς om. F. S. v.
[m] βέλτιστοι δόξουσιν] δόξουσι βέλτιστοι v. βέλτιστοι δόξωσιν Y. O. r.
[n] καταῤῥᾳθυμήσετε] ραθυμήσετε F. v.
[o] τε om. s.
[p] ἀποστερήσεσθε] ἀποστερηθήσεσθε F. Y. O. r. v.

Σόλωνα καὶ Δράκοντα δικαίως [q]ἐπαινεῖτε, οὐκ ἂν ἔχοντες εἰπεῖν οὐδετέρου κοινὸν εὐεργέτημ' οὐδὲν πλὴν ὅτι συμφέροντας ἔθηκαν καὶ [r]καλῶς ἔχοντας νόμους, δίκαιον δήπου καὶ τοῖς [s]ὑπεναντίως [t]τιθεῖσιν ἐκείνοις ὀργίλως ἔχοντας καὶ κολάζοντας φαίνεσθαι. οἶδα δὲ Τιμοκράτην, ὅτι τὸν νόμον εἰσενηνοχε τοῦτον οὐχ ἥκιστθ ὑπὲρ αὐτοῦ· πολλὰ γὰρ ἠγεῖτο πολιτεύεσθαι [u]παρ' ὑμῖν ἄξια δεσμοῦ.

241 Βούλομαι τοίνυν ὑμῖν [x]κἀκεῖνο διηγήσασθαι, ὃ φασί ποτ' εἰπεῖν Σόλωνα κατηγοροῦντα νόμον τινὸς οὐκ ἐπιτήδειον θέντος. λέγεται γὰρ τοῖς δικασταῖς αὐτὸν εἰπεῖν, ἐπειδὴ τἆλλα κατηγόρησεν, ὅτι νόμος ἐστὶν ἁπάσαις ὡς [y]ἔπος εἰπεῖν ταῖς πόλεσιν, ἐάν τις τὸ νόμισμα διαφθείρῃ,

242 θάνατον τὴν ζημίαν εἶναι. ἐπερωτήσας δὲ εἰ δίκαιος αὐτοῖς καὶ καλῶς ἔχων ὁ νόμος φαίνεται, ἐπειδὴ φῆσαι 766 [z]τοὺς δικαστάς, εἰπεῖν ὅτι αὐτὸς [a]ἠγεῖται ἀργύριον μὲν [b]νόμισμ' εἶναι τῶν ἰδίων συναλλαγμάτων ἕνεκα τοῖς ἰδιώταις εὑρημένον, τοὺς δὲ νόμους [c]ἠγοῖτο νόμισμα τῆς πόλεως εἶναι. [d]δεῖν [e]δὴ τοὺς δικαστὰς πολλῷ μᾶλλον, εἴ τις, ὃ τῆς πόλεώς ἐστι νόμισμα, τοῦτο διαφθείρει καὶ παράσημον εἰσφέρει, μισεῖν καὶ κολάζειν, ἢ εἴ τις ἐκεῖνο,

243 ὃ τῶν ἰδιωτῶν ἐστίν. προσθεῖναι δὲ τεκμήριον τοῦ [f]καὶ μεῖζον εἶναι [g]τἀδίκημα τὸ τοὺς νόμους διαφθείρειν ἢ τὸ ἀργύριον, ὅτι ἀργυρίῳ μὲν πολλαὶ τῶν πόλεων καὶ φανερῶς πρὸς χαλκὸν καὶ [h]μόλιβδον κεχραμένῳ χρώμεναι

[q] ἐπαινεῖτε] ἐτιμᾶτε r.
[r] καλῶς] καλοὺς pr. O.
[s] ὑπεναντίως] ἐναντίως F. v. ὑπεναντίους Y. O. k. r. s.
[t] τιθεῖσιν] τεθεῖσιν S.
[u] παρ' om. v.
[x] κἀκεῖνο διηγήσασθαι] διηγήσασθαι κακεῖνο F. v.
[y] ἔπος om. O.
[z] τοὺς δικαστὰς] πάντας τοὺς δικαστὰς F. v.
[a] ἠγεῖται ἀργύριον μὲν] ἀργύριον μὲν ἡγεῖται v.
[b] νόμισμ' εἶναι] εἶναι νόμισμα F. v.
[c] ἠγοῖτο] ἡγεῖτο S. k. r. s. v.
[d] δεῖν] δεῖ k.
[e] δὴ] δὲ r.
[f] καὶ post τοῦ om. F. v.
[g] τἀδίκημα] vulg. ἀδίκημα.
[h] μόλιβδον] μόλυβδον S. Y. v.

σώζονται καὶ οὐδ' ὁτιοῦν παρὰ [i]τοῦτο πάσχουσι, [k]νόμοις δὲ πονηροῖς χρώμενοι καὶ διαφθείρεσθαι τοὺς ὄντας ἐῶντες οὐδένες πώποτ' ἐσώθησαν. ταύτῃ [l]μέντοι τῇ κατηγορίᾳ [m]Τιμοκράτης ἔνοχος καθέστηκε νυνί, καὶ δικαίως ἂν ὑφ' ὑμῶν τοῦ προσήκοντος τύχοι τιμήματος.

244 [n]Χρὴ μὲν [o]οὖν [p]πᾶσιν ὀργίλως ἔχειν, ὅσοι τιθέασι νόμους αἰσχροὺς καὶ πονηρούς, μάλιστα δὲ τούτοις [q]οἳ τοὺς τοιούτους τῶν νόμων διαφθείρουσι, δι' ὧν ἔστιν ἢ μικρὰν ἢ μεγάλην εἶναι τὴν πόλιν. εἰσὶ δ' οὗτοι τίνες; οἵ τε τοὺς ἀδικοῦντας τιμωρούμενοι, καὶ ὅσοι τοῖς ἐπιεικέσι
245 [r]τιμὰς διδόασιν. εἰ γὰρ ἅπαντες [s]προθυμηθεῖεν ποιεῖν [t]ἀγαθόν τι τὸ [u]κοινόν, τὰς τιμὰς καὶ τὰς δωρεὰς τὰς ὑπὲρ τούτων ζηλώσαντες, καὶ πάντες ἀποσταῖεν τοῦ [x]κακουργεῖν [ἢ κακόν τι πράττειν], [y]τὰς βλάβας καὶ τὰς ζημίας τὰς ἐπὶ τούτοις κειμένας φοβηθέντες, ἔσθ' ὅ τι κωλύει τὴν πόλιν μεγίστην εἶναι; οὐ τριήρεις [z]ὅσας [a]οὐδεμία [b]πόλις Ἑλληνὶς κέκτηται; οὐχ ὁπλίτας; οὐχ ἱππέας; οὐ προσόδους; οὐ [c]τόπους; οὐ λιμένας; ταῦτα 767
δὲ πάντα [d]τί σώζει καὶ συνέχει; οἱ νόμοι· κατὰ γὰρ τούτους οὔσης τῆς πολιτείας ἔστι [e]ταῦτα χρήσιμα [f]τῷ
246 κοινῷ. εἰ δὲ τοὐναντίον [g]γένοιτο τοῖς [h]χρηστοῖς μὲν [i]μηδ'

[i] τοῦτο] τούτου r.

[k] νόμοις δὲ πονηροῖς] ὁμοίως δὲ νόμοις πονηροῖς Y. O. k. s. ὅμως δὲ νόμοις πονηροῖς correctus r. νόμοις δὲ ὁμοίως πονηροῖς correctus v.

[l] μέντοι] μὲν v.

[m] Τιμοκράτης] καὶ τιμοκράτης O.

[n] Χρὴ] χρῆν Y. O. k. r. s.

[o] οὖν] οὖν ἐν k.

[p] πᾶσιν] ἅπασιν F. Y. O. k. r. s. v.

[q] οἳ] οἵ r.

[r] τιμὰς] τιμάς τινας F. v.

[s] προθυμηθεῖεν] προτιμηθεῖεν k. προθυμηθεῖεν

[t] ἀγαθόν τι] ἀγαθὸν v.

[u] κοινὸν] κοινὸν καὶ Y. O.

[x] κακουργεῖν [ἢ κακόν τι πράττειν] κακόν τι ποιεῖν Leptin. 171.

[y] τὰς βλάβας] καὶ τὰς βλάβας O.

[z] ὅσας om. pr. O.

[a] οὐδεμία] μηδεμία F. οὐ μηδεμία v.

[b] πόλις] ἄλλη πόλις F. Y. O. k. r. s. v.

[c] τόπους] τόπον S.

[d] τί] τίς s. om. F.

[e] ταῦτα] τὰ τοιαῦτα F. v.

[f] τῷ κοινῷ om. v.

[g] γένοιτο] γένοιτο τῷ κοινῷ F. v.

[h] χρηστοῖς μὲν] μὲν χρηστοῖς F. v.

[i] μηδ'] οὐδ' r.

ὁτιοῦν πλέον, τοῖς [k] δ' ἀδικοῦσιν ἄδεια ὅσην Τιμοκράτης γέγραφε, πόση ταραχὴ γένοιτ' ἂν εἰκότως. εὖ γὰρ ἴσθ' ὅτι τούτων ὧν διεξῆλθον κτημάτων, οὐδ' [l] εἰ [m] δὶς γένοιθ' ὅσα νῦν ἐστίν, οὐδ' ὁτιοῦν ἂν ὄφελος εἴη. οὗτος τοίνυν ἐν τούτῳ τῷ νόμῳ φαίνεται κακῶς ἐπιχειρῶν ὑμᾶς ποιεῖν, δι' οὗ τοῖς ἀδικεῖν ἐπιχειροῦσιν [n] εἰσὶν αἱ τιμωρίαι.

247 Πάντων οὖν ἕνεκα τῶν εἰρημένων [o] ἄξιον [p] ὀργισθῆναι καὶ κολάσαι καὶ παράδειγμα ποιῆσαι [q] τοῦτον τοῖς ἄλλοις· ὡς τὸ πράως ἔχειν τοῖς τοιούτοις, καὶ καταψηφίζεσθαι μέν, ὀλίγου δὲ τιμᾶν, ἐθίζειν καὶ [r] προδιδάσκειν ἔστ' ἀδικεῖν ὑμᾶς ὡς πλειστους.

[k] δ' ἀδικοῦσιν] ἀδικοῦσι δὲ v.
[l] εἰ] ἂν εἰ Y. O. k. r. s.
[m] δὶς] δὶς τόσα F. O. v.
[n] εἰσὶν] εἶν εἰσὶν margo O.
[o] ἄξιον] ἐστὶν ἄξιον F. v.
[p] ὀργισθῆναι καὶ] τοῦτον F.
[q] τοῦτον om. S. k. s. post ἄλλοις ponit r.
[r] προδιδάσκειν ἔστ'] προσδιδάξαι ἔσται F.

ΚΕ.

ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ Α.

ΥΠΟΘΕΣΙΣ.

Πυθάγγελος καὶ Σκάφων ἰδόντες Ἱεροκλέα φέροντα ἱερὰ ἱμάτια, ἐφ' οἷς καὶ χρυσᾶ γράμματα ἦν δηλοῦντα τοὺς ἀναθέντας, ἀπάγουσι πρὸς τοὺς πρυτάνεις ὡς ἱερόσυλον, οἱ δὲ τῇ ὑστεραίᾳ καθιστᾶσιν εἰς τὴν ἐκκλησίαν. κἀκεῖνος ὑπὸ τῆς ἱερείας ἔφη πεμφθεὶς λαβεῖν τὰ ἱμάτια, ἵνα κομίσῃ πρὸς τὸ ἱερὸν κινηγέσιον. ἐνταῦθα Ἀριστογείτων γράφει ψήφισμα πρῶτον μὲν ἀπροβούλευτον, [a] ἔπειτα δεινότατον, [b] κελεῦον, ἐὰν μὲν ὁμολογῇ τὰ ἱμάτια ἐξενεγκεῖν, ἀποθανεῖν αὐτὸν αὐτίκα, ἐὰν δ' ἀρνῆται, κρίνεσθαι· ἐξ οὗ συνέβαινεν 768
αὐτῷ ὁμολογήσαντι μὲν τἀληθὲς παραχρῆμα τεθνάναι, ἐξάρνῳ δὲ γενομένῳ μετ' ὀλίγον τοῦτο παθεῖν. τοῦτο τὸ ψήφισμα γραψάμενος παρανόμων [c] Φανόστρατος [d] ὁ Ἱεροκλέους τοῦ κινδυνεύοντος πατήρ, συγκατηγορήσαντος [e] τοῦ Δημοσθένους, αἱρεῖ παρανόμων, καὶ τιμᾷ τὸ δικαστήριον Ἀριστογείτονι πέντε ταλάντων. τοῦτο μὲν δὴ πρῶτον [f] ὄφλημα Ἀριστογείτονι γίνεται· ἔπειτα Ἡγέμονα γραψάμενος καὶ τὸν ἀγῶνα ἀποδόμενος, τὸ πέμπτον μέρος μὴ [g] λαβὼν τῶν ψήφων, ὤφλε χιλίας. οὐκ ἀποδόντος δ' αὐτοῦ κατὰ τὴν ὡρισμένην προθεσμίαν διπλοῦται τὰ ὀφλήματα κατὰ τὸν νόμον, καὶ γίνεται δέκα τάλαντα καὶ δισχίλιαι δραχμαί. ὑπὲρ τούτων τῶν χρημάτων ἀπογράφει τι εἰς τὸ δημόσιον χωρίον ἑαυτοῦ, [h] καὶ τὸ χωρίον τοῦτο Εὔνομος [i] ὠνεῖται ὁ ἀδελφὸς αὐτοῦ, τάξιν [k] αἰτησάμενος τοῦ ὀφλήματος, ὥστε ἐν δέκα ἔτεσιν ἐκτῖσαι τὸ σύμπαν, καθ' ἕκαστον ἔτος τιθεὶς τὸ ἐπιβάλλον μέρος. δύο μὲν δὴ καταβολὰς ἀπήνεγκε, τάλαντα δύο καὶ δραχμὰς τετρακοσίας· τὸ δὲ λοιπὸν ὀφείλεται, τάλαντα ἑκτὼ καὶ δραχμαὶ χίλιαι καὶ ἑξακόσιαι. δοκῶν οὖν ἔχειν ὁ Ἀριστογείτων τοῦ λέγειν ἐξουσίαν καὶ μηκέτι ὀφείλειν, ἐπειδὴ [l] χρήστην ἀντέδωκε τῇ πόλει, καὶ ἐγράφετο πολλοὺς καὶ ἐδημηγόρει, τῶν νόμων τὸν ὀφείλοντα τῷ

[a] ἔπειτα] vulg. ἔπειτα δέ.
[b] κελεῦον] κελεύων F. v.
[c] Φανόστρατος] φωνόκρατος v.
[d] ὁ ante Ἱεροκλέους om. F. v.
[e] τοῦ Δημοσθένους] αὐτοῦ δημοσθένους F.
[f] ὄφλημα] vulg. ἀπόφλημα.
[g] λαβὼν] μεταλαβὼν F.
[h] καὶ om. v. qui hæc τὸ χωρίον —αὐτοῦ infra ponit post illa τὸ ἐπιβάλλον μέρος.
[i] ὠνεῖται] ὠνεῖτο v.
[k] αἰτησάμενος] vulg. αἰτιασάμενος.
[l] χρηστὴν] χρήστην Y.

δημοσίᾳ, [m] μέχρι ἂν ἐκτίσῃ, [n] τοσούτων ἄτιμον. δεύτερ' αὐτὸν οἱ περὶ Λυκοῦργον ἐνέδειξαν ὡς οὐκ ἐξὸν λέγοντα. οὐκ ἐξαλειμμένου τοίνυν ἐξ ἀκροπόλεως Ἀριστογείτονος, ἀλλ' ὅτι τοῦ [o] ὀφλήματος ἐγγεγραμμένου, [p] χρόνου δὲ καταστάντος τοῦ τὸ χωρὶν ὀνησαμένου, ζήτημα συνίσταται πότερον ὁ τριά- 769
μενος τὸ χωρὶν ὀφείλει μόνον ἢ καὶ ὁ πρῶτος ὄφλων, [q] ἄχρι ἂν ἐκτισθῇ τὸ χρέος. περὶ μὲν δὴ τὰ δύο ὀφλήματα τοῦτο συνίσταται τὸ ζήτημα· φασὶ δὲ αὐτὸν οἱ κατήγοροι καὶ τρίτον [r] ὀφείλειν ὄφλημα τῇ δημοσίᾳ. πρὸς τοῦτο Ἀριστογείτων ἀθυστάμενος φησὶν ἀδίκως ἐγγεγράφθαι καὶ διὰ τοῦτο δίκην λαχεῖν Ἀρίστωνι τῷ ἐγγράψαντι. Δημοσθένης δὲ καὶ Λυκοῦργος περὶ μὲν τοῦ δικαίαν ἢ μὴ γεγενῆσθαι τὴν [s] ἐγγραφὴν οὐδὲν λέγουσι, φασὶ δὲ "ὅταν ἕλῃ "τὸν Ἀρίστωνα, τότε Ἀριστογείτων μὲν ἐξαλειφθήσεται, ἐκεῖνος δὲ ἐγγρα- "φήσεται κατὰ τὸν νόμον· πρὶν δὲ κριθῆναι τὸ πρᾶγμα, οὐ προσήκει λέγειν "τὸν τάχα [t] δικαίως ἐγγεγραμμένον καὶ ψευδῶς ἐγκαλοῦντα [u] τῷ Ἀρίστωνι." ταῦτα μὲν δὴ τὰ ζητήματα τῆς ὑποθέσεως. ἐνηγώνισται δ' αὐτοῖς ὁ Λυκοῦρ- 15
γος, ἅτε πρότερος λέγων· τῷ Δημοσθένει δὲ περὶ μὲν τούτων βραχὺς πάνυ λόγος γέγονεν ὡς [x] προειλημμένων, ὁ δὲ ὅλος αὐτῷ λόγος τοῦ Ἀριστογείτονος βίου κατηγορίαν περιέχει.

Διονύσιος δὲ ὁ [y] Ἁλικαρνασεὺς οὐ δέχεται τούτους τοὺς λόγους Δημοσθένους 20
εἶναι, ἐκ τῆς ἰδίας τεκμαιρόμενος. οἱ δὲ φασιν ἐπίτηδες τὸν ῥήτορα τοιοῦτῳ χαρακτῆρι κεχρῆσθαι, ζηλώσαντα Λυκοῦργον [z] εὐδοκιμοῦντα παρὰ τοῖς Ἀθη- 25
ναίοις. οἱ δέ, ἐπειδὴ τὸν κατὰ τῆς ἡλικίας χρόνον εἰς τὴν πρωτολογίαν ἔλαβε Λυκοῦργος καὶ πᾶσι τοῖς κεφαλαίοις [a] αὐτὸς ἐχρήσατο, ὁ Δημοσθένης ἠναγκάσθη λοιπὸν φιλοσοφώτερον μετελθεῖν καὶ περιοδικῶς. ἄλλοι δὲ τὸν μὲν [b] πρότερον λέγονται Δημοσθένους εἶναι, τὸν δὲ δεύτερον οὐδαμῶς, οὐδὲν ἄξιον 770
ἔχοντα τοῦ ῥήτορος.

ΠΑΛΑΙ καθήμενος, ὦ ἄνδρες [c] δικασταί, καὶ κατηγοροῦντος ἀκούων, ὥσπερ ὑμεῖς, Λυκούργου, τὰ μὲν ἄλλα καλῶς αὐτὸν ἡγούμην λέγειν, ἐν δὲ τεθαύμακα ὁρῶν ὑπερδιατεινόμενον, εἰ ἀγνοεῖ [d] τοῦθ', ὅτι οὔτε [e] παρὰ 5

[m] μέχρι] μέχρις F. v.
[n] τοσούτων] τοιοῦτον v.
[o] ὀφλήματος] vulg. ὀφλήματος.
[p] χρόνου] χρόνου Y.
[q] ἄχρι] ἄχρις F. v.
[r] ὀφείλειν] ὀφλεῖν v.
[s] ἐγγραφὴν] ἔγγραφον F. ἔγγραφον v.
[t] δικαίως] δικαίως ἂν v.
[u] τῷ vulg. om.
[x] προειλημμένων] προειλημμένον v.
[y] Ἁλικαρνασεὺς] ἁλικαρνασσεὺς v.
[z] εὐδοκιμοῦντα παρὰ τοῖς Ἀθηναίοις] παρ' ἀθηναίοις εὐδοκιμοῦντα v.
[a] αὐτὸς] αὐτῶς F.
[b] πρότερον] πρῶτον v.
[c] δικασταί] ἀθηναῖοι F. k. v.
[d] τοῦθ' om. pr. Y. k.
[e] παρὰ τοὺς] τοὺς παρὰ τοῦ O.

τοὺς ὑφ' ἑαυτοῦ λόγους εἰρημένους οὔτε παρὰ τοὺς ὑπ' ἐμοῦ μέλλοντας ῥηθήσεσθαι τὰ τουτουὶ τοῦ ἀγῶνος [f]δίκαιά ἐστιν ἰσχυρά, ἀλλ' ὡς ἂν ἕκαστος [g]ὑμῶν [h]ἔχῃ
2 πρὸς τὸ [i]ἢ δυσχεραίνειν ἢ προσίεσθαι πονηρίαν. καὶ ἔγωγ' ὑπολαμβάνω τὴν μὲν κατηγορίαν καὶ τὸ τῶν λόγων πλῆθος ἔθους ἕνεκα καὶ τῆς ὑμετέρας ἀκροάσεως δεῖν ποιήσασθαι, κεκρίσθαι δὲ τοῦτο τὸ πρᾶγμα πάλαι [k]ὑπὸ τῆς ἑκάστου φύσεως οἴκοθεν, καὶ [l]νυνὶ εἰ μέν [m]εἰσιν ὑμῶν οἱ πλείους οἷοι τοὺς πονηροὺς φιλεῖν [n]καὶ σώζειν, μάτην ἐρραψῳδηκότας ἡμᾶς ἔσεσθαι, εἰ δ' οἷοι μισεῖν, δίκην,
[o]ἂν θεὸς [p]θέλῃ, [q]τουτονὶ δώσειν.

3 Πολλῶν δὲ λόγων εἰρημένων καὶ πάντων καλῶς, οὐκ ὀκνήσω πρὸς ὑμᾶς εἰπεῖν ἃ γ' ἐμοὶ φαίνεται. ἐμοὶ γὰρ οὐδ' ὁτιοῦν ἐοικέναι δοκεῖ τοῖς ἄλλοις ὁ παρὼν ἀγών. σκοπεῖτε δ' [r]οὑτωσί. πρὸς ἅπαντ' ἔρχονται τὰ δικαστήρια οἱ μὲν δικασταὶ παρὰ τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος τὸ πρᾶγμα μαθησόμενοι, περὶ οὗ δέησει τὴν ψῆ- 771
φον ἐνεγκεῖν αὐτούς, οἱ δ' ἀντίδικοι [s]μεθ' ἑαυτοῦ δείξων
4 ἑκάτερος ὄντα [t]τὰ τῶν νόμων δίκαια [u]ἰσχυρά. τὰ δὲ [x]τούτου τοῦ ἀγῶνος πῶς ἔχει; οἱ μὲν [y]δικάζοντες ὑμεῖς ἥκετε μᾶλλον ἡμῶν τῶν κατηγόρων εἰδότες καὶ ὀφείλοντα τῷ δημοσίῳ τοῦτον καὶ [z]ἐγγεγραμμένον ἐν ἀκροπόλει [καὶ] οὐκ ἔξον αὐτῷ λέγειν· [a]ὥσθ' ἕκαστον ὑμῶν κατη-

[f] δίκαιά ἐστιν] ἐστι δίκαια S. Y.
[g] ὑμῶν] ἡμῶν F.
[h] ἔχῃ] ἔχοι ἢ F. v. ἔχοι k.
[i] ἢ post τὸ om. Y.
[k] ὑπὸ] ἐπὶ F. ἐπὶ v.
[l] νυνὶ] νῦν F. Y. O. k. v.
[m] εἰσὶν ὑμῶν] ὑμῶν εἰσὶν v.
[n] καὶ σώζειν in γρ. S.
[o] ἂν] ἐὰν O. k.
[p] θέλῃ] ἐθέλῃ k.
[q] τουτονὶ] τοῦτον S.
[r] οὑτωσί] οὕτως pr. Y.
[s] μεθ' delet k.
[t] τὰ om. F.
[u] ἰσχυρά om. k.
[x] τούτου] τουτουΐ F. v.
[y] δικάζοντες] δικάσοντες S. Y. O.
[z] ἐγγεγραμμένον] γεγραμμένον F.
[a] ὥσθ'] ὡς k.

γόρου τάξιν [b]ἔχειν καὶ τὸ πρᾶγμα εἰδέναι, μὴ μαθεῖν 10
5 [c]δεῖσθαι. ὁ δὲ κρινόμενος τῶν μὲν εἰς σωτηριαν [d]φερόν-
των [e]ἀλλ' οὐδ' ὁτιοῦν πάρεστιν ἔχων, [f]οὐ τοὺς ὑπὲρ αὐτοῦ
τοῦ πράγματος λόγους δικαίους, οὐ τὸν ἑαυτοῦ βίον ἀν-
θρώπινον, οὐκ ἄλλ' οὐδ' ὁτιοῦν ἀγαθόν· δι' ἃ δ' ἂν καὶ
μηδ' ὁτιοῦν ἀδικῶν τις ἕδεισε, διὰ ταῦθ' [g]οὗτος εἴσεται 15
σωθήσεσθαι· ἐν γὰρ τῇ τῆς πονηρίας ὑπερβολῇ τὴν ἐλ-
6 πίδα τῆς σωτηρίας ἔχει. οὕτω δ' [h]ἐχόντων τούτων, δοκεῖ
μοι τις οὐκ ἂν ἁμαρτεῖν εἰπὼν ὅτι νυνὶ κρίνεται μὲν Ἀρι-
στογείτων, δοκιμάζεσθε δὲ καὶ κινδυνεύετε ὑμεῖς περὶ
δόξης. εἰ μὲν γὰρ ὀφθήσεσθε ἐπὶ τοῖς οὕτω φανεροῖς καὶ 20
μεγάλοις ἀδικήμασιν ὀργιζόμενοι καὶ τιμωρούμενοι, δό-
ξετε τοῦθ', ὅπερ ἐστέ, δικασταὶ καὶ φύλακες τῶν νόμων
7 εἰσεληλυθέναι· εἰ δ' ἕτερόν τι [i]περιέσται τούτων, ὃ μηδεὶς
μὲν [k]ἂν αὐτὸς πεποιηκέναι φήσειεν, ἐν δὲ ταῖς ψηφοις 25
εὑρεθήσεται, δεδοικα μὴ [l]δόξητέ τισι τὸν ἀεὶ βουλόμενον
εἶναι πονηρὸν τῶν ἐν τῇ πόλει παιδοτριβεῖν. ἀσθενὴς [m]μὲν
γάρ [n]ἐστιν ἅπας [o]ὁ πονηρὸς καθ' ἑαυτόν· ᾧ δ' ἂν ὑμεῖς
προσθησθε, οὗτος ἰσχυρὸς γίγνεται. ἔστι δὲ τοῦτο τῷ μὲν
λαβοντι παρ' ὑμῶν ἐργασία καὶ δυναστεία, ὑμῖν δὲ τοῖς 772
8 δοῦσιν ὄνειδος. βουλοίμην δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸ
τοῦ περὶ [p]τῶν ἰδίων ἐμὲ τῶν [q]τουτουὶ [r]λέγειν, σπουδά-

[b] ἔχειν καὶ τὸ πρᾶγμα εἰδέναι μὴ S. Y. O. ἔχειν καὶ τὰ δίκαια εἰδέναι καὶ μὴ F. v. ἔχειν καὶ τὸ πρᾶγμα εἰδέναι μηδὲν (οὐδὲν F. Y.) ἧττον ἡμῶν καὶ μὴ γρ. F. S. Y. ἔχειν καὶ τὰ δίκαια εἰδέναι καὶ τὸ πρᾶγμα οὐδὲν ἧττον ἐμοῦ καὶ μὴ k.

[c] δεῖσθαι] δεῖσθε pr. k.

[d] φερόντων] αὐτῷ φερόντων F. Y. O. k. v.

[e] ἀλλ' om. F. O. v.

[f] οὐ τοὺς] οὐχὶ τοὺς F. k. v.

[g] οὗτος] οὕτως O.

[h] ἐχόντων τούτων] τούτων ἐχόντων F. k. v.

[i] περιέσται τούτων] τούτων περιέσται F. k. v.

[k] ἂν om. F. v.

[l] δόξητε] δόξετε k.

[m] μὲν om. pr. S. Y.

[n] ἐστιν ἅπας] ἐστι πᾶς F. v. πᾶς ἐστὶν k.

[o] ὁ om. Y. O.

[p] τῶν om. O.

[q] τουτουί] τούτου F. k. τούτου ἀδικημάτων v.

[r] λέγειν] λέγειν ἀδικημάτων γρ. F.

σαντας ὑμᾶς ἐξετάσαι διὰ βραχέων εἰς ὅσην αἰσχύνην καὶ ἀδοξίαν προῆχε τὴν πόλιν δημοσίᾳ πάντα τὰ τοιαῦτα θηρία, ὧν μέσος καὶ τελευταῖος καὶ πρῶτός ἐστιν
9 οὗτος. [a]καὶ τὰ μὲν ἄλλα ἐάσω· ἀλλ' εἰς τὰς ἐκκλησίας ἀναβαίνουσιν, ἐν αἷς ὑμεῖς γνώμης ἀπόδειξιν, οὐ πονηρίας τοῖς λέγουσι [t]προτίθετε, τόλμαν καὶ κραυγὴν
10 καὶ ψευδεῖς αἰτίας καὶ [u]συκοφαντίαν καὶ ἀναισχυντίαν καὶ πάντα τὰ τοιαῦτα συνεσκευασμένοι, ὧν οὐκ ἂν εὕροι τις ἐναντιώτερα τῷ [x]βουλεύεσθαι, νομίζω δὲ [y]μὰ τοὺς θεοὺς] οὐδ' ἂν αἰσχίω. καὶ τούτοις τοῖς αἰσχροῖς [z]ἁπάντων [a]τῶν τῆς πόλεως καλῶν περίεισι, τῶν νόμων, τῶν
10 προέδρων, τοῦ [b]προγράμματος, τῆς εὐκοσμίας. εἰ μὲν οὖν ὑμεῖς ταῦτα βούλεσθε καὶ μετὰ τῆς ὑμετέρας γνώμης οὗτοι ταῦτα ποιοῦσιν, ὁδῷ [c]βαδίζει καὶ ἐᾶν δεῖ. εἰ δ' ἐπανορθώσασθαι ταῦτ' ἔτι καὶ νῦν οἴεσθε χρῆναι, καὶ τὰ προειμένα πόρρω καὶ πολὺν ἤδη χρόνον αἰσχρῶς καὶ
20 κακῶς ὑπὸ τούτων διακείμενα βελτίω ποιῆσαι, πάντα τὰ τοιαῦτα ἔθη παριδόντας [d]ὑμᾶς τήμερον ὀρθῶς [e]δεῖ διι κάσαι, τὴν τὰ δίκαια ἀγαπῶσαν Εὐνομίαν περὶ πλείστου ποιησαμένους, ἣ πάσας καὶ πόλεις καὶ χώρας σώ-
25 ζει, καὶ τὴν ἀπαραίτητον καὶ σεμνὴν Δίκην, ἣν ὁ τὰς ἁγιωτάτας [f]ἡμῖν τελετὰς καταδείξας Ὀρφεὺς παρὰ τὸν τοῦ Διὸς θρόνον φησὶ καθημένην πάντα τὰ τῶν ἀνθρώπων
12 ἐφορᾶν, [g]εἰς ἑαυτὸν ἕκαστον νομίσαντα [h]βλέπειν οὕτω

[a] καὶ τὰ μὲν] ἂν τὰ μὲν F. v.
[t] προτίθετε] προστιθετε k.
[u] συκοφαντίαν] συκοφαντίας k.
[x] βουλεύεσθαι] βούλεσθαι O.
[y] [μὰ τοὺς θεοὺς] om. F.Y.O.v. in γρ. habet S.
[z] ἁπάντων] πάντων F. v.
[a] τῶν τῆς πόλεως καλῶν] τῶν καλῶν τῶν τῆς πόλεως F. k. v.
[b] προγράμματος] πράγματος v.
[c] βαδίζει καὶ ἐᾶν] βαδίζειν ἐᾶν γρ. S. et correctus k. βαδίζειν καὶ ἐᾶν F. v.
[d] ὑμᾶς om. v. in γρ. habet F.
[e] δεῖ om. k.
[f] ἡμῖν τελετὰς] τελετὰς ἡμῖν k. ὑμῖν τελετὰς S. Y. O.
[g] εἰς] ἢν εἰς F. Y. O. k. v.
[h] βλέπειν] ἂν βλέπειν k.

[k]ψηφίζεσθαι, φυλαττόμενον [l]καὶ προορώμενον μὴ καταισχῦναι ταύτην, ἧς ἐπώνυμός ἐστιν ὑμῶν ἕκαστος [m]ὁ ἀεὶ δικάζειν λαχών, [n]πάντα τὰ [o]ἐν τῇ πόλει καλὰ καὶ δίκαια καὶ συμφέροντα [p]φυλάττειν [q]ταύτην τὴν ἡμέραν παρακαταθήκην ἔνορκον εἰληφὼς παρὰ τῶν νόμων καὶ τῆς πολιτείας καὶ τῆς πατρίδος. ὡς εἰ μὴ τοῦτον ἕξετε τὸν τρόπον, ἀλλ' ἀπὸ τῆς συνήθους εὐηθείας [r]εἰσεληλυθότες καθεδεῖσθε, φοβοῦμαι μὴ τὸ πρᾶγμα εἰς τοὐναντίον περιστῇ καὶ δοκοῦντες ἡμεῖς Ἀριστογείτονος κατηγορεῖν ὑμῶν κατηγορῶντες φανῶμεν· ὅσῳ γὰρ ἂν μᾶλλον [s]ἡμῶν δειξάντων τὴν τούτου πονηρίαν [t]μηδὲν ὑμεῖς φροντίσητε, τοσούτῳ [u]μείζων ἡ καθ' ὑμῶν αἰσχύνη [x]γενήσεται. καὶ περὶ μὲν τούτων ἱκανά. 773

14 Πάνυ δ', ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ πάσης οἰκειότητος ἐρῶ τἀληθῆ πρὸς ὑμᾶς. ἐγὼ γὰρ ἐν ταῖς ἐκκλησίαις ὁρῶν ὑμᾶς κατατάττοντάς με καὶ προχειριζομένους ἐπὶ τὴν τούτου κατηγορίαν, ἠχθόμην καὶ μὰ τὸν Δία καὶ πάντας [y]θεοὺς οὐκ ἠβουλόμην. οὐ γὰρ ἠγνόουν ὅτι [z]ὁ ποιήσας τι τοιοῦτον παρ' [a]ὑμῖν καὶ παθὼν ἀπέρχεται. εἰ δὲ μὴ τηλικοῦτον ὥστε εὐθὺς αἰσθέσθαι, ἀλλ' ἐὰν πολλὰ τοιαῦτα ποιῇ καὶ μὴ [b]παύηται, ταχὺ [c]γνώσεται. ὅμως δὲ ἀναγκαῖον ἡγούμην [d]εἶναι πειθεσθαι [e]τοῖς ὑμετέροις βουλή-

[k] ψηφίζεσθαι] ἓν ψηφίζεσθαι k.
[l] καὶ προορώμενον om. pr. Y.
[m] ὁ om. S.
[n] πάντα τὰ] τὰ πάντων τῶν F. k. v. et γρ. S.
[o] ἐν τῇ πόλει] ἐν τῇ πολιτείᾳ γρ. S. ἐν ταύτῃ τῇ πόλει F.
[p] φυλάττειν Y. O. ceteri φυλάττων.
[q] ταύτην] καὶ ταύτην S. Y. O.
[r] εἰσεληλυθότες] ἐληλυθότες k.
[s] ἡμῶν δειξάντων] δειξάντων ἡμῶν k. ὑμῶν δειξάντων v.
[t] μηδὲν] μηδὲν μᾶλλον k.
[u] μείζων] μείζων F. S. Y. k.
[x] γενήσεται] γήγνεται F. k. s.
[y] θεοὺς] τοὺς θεοὺς F. O. k. v.
[z] ὁ om. S.
[a] ὑμῖν] ἡμῖν k.
[b] παύηται] παύσηται F. Y. O. v.
[c] γνώσεται] γνωσθήσεται F.
[d] εἶναι om. Y.
[e] τοῖς ὑμετέροις βουλήμασιν in γρ. S. τοῖς ὑμετέρως βουλεύμασι k.

15 μασι. τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δί- 25
καια αὐτόν, ὅπερ πεποίηκε, Λυκοῦργον ἐρεῖν ἡγούμην, καὶ
τοὺς μάρτυρας τῆς πονηρίας τῆς τούτου τοῦτον ἐώρων
[f]προσκαλούμενον· ἃ δὲ καὶ λογίζεσθαι [g]τοὺς ὑπὲρ πό-
λεως καὶ νόμων βουλευομένους προσήκει καὶ σκοπεῖσθαι 774
[h]δεῖ, ταῦτα προηρούμην εἰπεῖν, καὶ νῦν ἐπὶ ταῦτα πο-
16 ρεύσομαι. δότε δ', ὦ ἄνδρες Ἀθηναῖοι, [i]δότε καὶ συγχω-
ρήσατέ μοι πρὸς Διός, ὡς πέφυκα καὶ προήρημαι, περὶ
τούτων διαλεχθῆναι πρὸς ὑμᾶς· καὶ γὰρ οὐδ' ἂν ἄλλως 5
δυναίμην.

17 Ἅπας ὁ τῶν ἀνθρώπων βίος, [k]ὦ ἄνδρες Ἀθηναῖοι, κἂν
μεγάλην πόλιν οἰκῶσι κἂν μικράν, φύσει καὶ νόμοις δι-
οικεῖται. [l]τούτων δ' ἡ μὲν φύσις ἐστὶν ἄτακτον [m]καὶ
ἀνώμαλον καὶ κατ' [n]ἄνδρα ἴδιον τοῦ ἔχοντος, οἱ δὲ νόμοι 10
18 [o]κοινὸν [p]καὶ τεταγμένον καὶ ταὐτὸ πᾶσιν. ἡ μὲν οὖν φύ-
σις, ἂν ᾖ πονηρά, πολλάκις φαῦλα [q]βούλεται· διόπερ
τοὺς τοιούτους [r]ἐξαμαρτάνοντας εὑρήσετε. [s]οἱ δὲ νόμοι τὸ
[t]δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον βούλονται, καὶ
τοῦτο ζητοῦσι, καὶ ἐπειδὰν εὑρεθῇ, κοινὸν τοῦτο [u]πρόσταγμα 15
19 ἀπεδείχθη, πᾶσιν ἴσον καὶ ὅμοιον, καὶ τοῦτ' ἔστι νόμος,
ᾧ πάντας [x]πείθεσθαι προσήκει διὰ πολλά, καὶ μάλισθ'
ὅτι πᾶς ἐστὶ νόμος εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα

[f] προσκαλούμενον] προκαλούμενον k.

[g] τοὺς—βουλευομένους] τοῖς—βουλευομένοις F. O. v.

[h] δεῖ] Reiskius ἀεί.

[i] δότε om. F.

[k] ὦ ἄνδρες Ἀθηναῖοι om. v.

[l] τούτων] τούτου S. τῶν k.

[m] καὶ ἀνώμαλον om. S. Y.

[n] ἄνδρα] ἄνδρα ἕκαστον F. v.

[o] κοινὸν] κοινοὶ F. v.

[p] καὶ τεταγμένον καὶ ταὐτὸ] καὶ τεταγμένον τοῦτο F. v. καὶ τὸ τεταγμένον ταυτὸ S. καὶ τεταγμένον ταυτὸ Y. O.

[q] βούλεται] βουλεύεται F. k. v.

[r] ἐξαμαρτάνοντας] βαδίως ἐξαμαρτάνοντας Y. O. πλεῖστ' ἁμαρτάνοντας k.

[s] οἱ δὲ] διόπερ O.

[t] δίκαιον καὶ τὸ καλὸν] καλὸν καὶ τὸ δίκαιον k.

[u] πρόσταγμα] πρᾶγμα O.

[x] πείθεσθαι προσήκει] προσήκει πείθεσθαι F. v.

δ' [y] ἀνθρώπων φρονίμων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, πόλεως δὲ συνθήκη κοινή, καθ' ἣν [z] πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει. ἀλλὰ μὴν ὅτι νῦν [a] Ἀριστογείτων τοῖς μὲν τῆς ἐνδείξεως δικαίοις [b] ἅπασιν ἐάλωκεν, ἕτερος δ' οὐδεὶς ἔστιν [c] ἀνεκτὸς αὐτῷ λόγος, περὶ τούτων ῥᾴδιον διδάξαι. δυοῖν γὰρ [d] ὄντοιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ἕνεκα πάντες [e] τίθενται οἱ νόμοι, τοῦ τε μηδένα μηδὲν ὃ μὴ δίκαιόν ἐστι ποιεῖν, καὶ τοῦ τοὺς παραβαίνοντας ταῦτα κολαζομένους βελτίους τοὺς ἄλλους ποιεῖν, ἀμφοτέροις [f] τούτοις οὗτος ἔνοχος ὢν φανήσεται. ἐπὶ μὲν γὰρ οἷς ἐξ ἀρχῆς παρέβη τοὺς νόμους, τὰ ὀφλήματ' αὐτῷ γέγονεν· ἐπὶ δ' οἷς οὐκ ἐμμένει τούτοις, νῦν ἐπὶ τὴν παρ' ὑμῶν ἄγεται τιμωρίαν, ὥστε μηδεμίαν καταλειπεσθαι πρόφασιν δι' ἣν ἄν τις αὐτὸν [g] ἀφείη. οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἄρ' ἐκ τούτων [h] οὐδὲν ἡ πόλις βλάπτεται. ἐγὼ γάρ, ὅτι μὲν πάντ' [i] ἀπόλλυται τὰ [k] τῆς πόλεως ὀφλήματα, εἰ τὰ τούτου σοφίσματα προσδέξεσθε, καὶ ὅτι, εἰ ἄρα δεῖ τινὰς ἐκ τῶν ὀφειλόντων [l] ἀφιέναι, τοὺς ἐπιεικεστάτους καὶ [m] βελτίστους καὶ τοὺς ἐπὶ τοῖς ἥκιστα δεινοῖς ὠφληκότας, τούτους ἀφιέναι δεῖ, οὐχὶ τὸν πονηρότατον καὶ πλεῖσθ' ἡμαρτηκότα καὶ δικαιότατ' ὠφληκότα καὶ ἐπὶ [n] τοῖς δεινοτάτοις (τί γὰρ ἂν γένοιτο συκοφαντίας καὶ παρανομίας δεινότερον, ἐφ' οἷς ἁμφοτέροις οὗτος ὤφληκεν;) καὶ ὅτι οὐδ' εἰ πᾶσι τοῖς ἄλ-

[y] ἀνθρώπων φρονίμων] φρονίμων ἀνθρώπων Y.
[z] πᾶσι supra versum ponit Y.
[a] Ἀριστογείτων] ὁ ἀριστογείτων k.
[b] ἅπασιν] πᾶσιν F. v.
[c] ἀνεκτὸς om. k.
[d] ὄντοιν] ὄντων k.
[e] τίθενται οἱ νόμοι] οἱ νόμοι τίθενται k.
[f] τούτοις] τούτοις F. v.
[g] ἀφείη k. ceteri ἀφῇ vel ἀφοῖ.
[h] οὐδὲν ἡ τοὺς] ἡ πόλις οὐδὲν F. v.
[i] ἀπόλλυται] ἀπολεῖται k.
[k] τῆς πόλεως om. F.
[l] ἀφιέναι] ἀφεῖναι F. v. et γρ. Y.
[m] βελτίστους] τοὺς βελτίστους k.
[n] τοῖς ante δεινοτάτοις om. F. k. v.

λοις [o]ἀφίετε, οὐχὶ τῷ βιαζομένῳ δήπου συγχωρῆσαι προσήκει (ὕβρις γὰρ [p]δὴ τοῦτό γε), [q]καὶ πάντα τὰ τοιαῦτα ἐάσω· ἀλλ' ὅτι [r]καὶ πᾶς ὁ τῆς πόλεως καὶ τῶν νόμων κόσμος ὦ ἄνδρες Ἀθηναῖοι συνταράττεται καὶ διαφθείρεται κατὰ [s]τοῦτον, καὶ τοῦτ' οἶμαι σαφῶς [t]ὑμῖν 23 ἐπιδείξειν. λέξω δὲ οὔτε [u]καινὸν οὔτε περιττὸν οὐδὲν οὔτ' ἴδιον, ἀλλ' ὃ πάντες ὑμεῖς ἴστε ὁμοίως ἐμοί. εἰ γάρ τις ὑμῶν ἐξετάσαι βούλεται, τί ποτ' ἐστὶ τὸ αἴτιον καὶ τὸ ποιοῦν τὴν βουλὴν συλλέγεσθαι, τὸν δῆμον εἰς τὴν ἐκκλησίαν ἀναβαίνειν, τὰ δικαστήρια πληροῦσθαι, τὰς [x]ἕνας ἀρχὰς ταῖς νέαις ἐκούσας ὑπεξιέναι, [y]καὶ πάντα δι' ὧν ἡ πόλις [z]οἰκεῖται καὶ σώζεται γίγνεσθαι, τοὺς νόμους εὑρήσει [a]τούτων αἰτίους καὶ τὸ τούτοις ἅπαντας πείθεσθαι, 24 ἐπεὶ λυθέντων γε τούτων, καὶ ἑκάστῳ δοθείσης ἐξουσίας ὅ τι βούλεται ποιεῖν, οὐ μόνον ἡ πολιτεία οἴχεται, ἀλλ' 776 οὐδ' ὁ βίος ἡμῶν [b]τοῦ τῶν θηρίων οὐδὲν ἂν [c]διενέγκαι. τί γὰρ ἂν τοῦτον αὐτὸν οἴεσθε [d]ποιεῖν λυθέντων τῶν νόμων, 25 [e]ὃς ὄντων κυρίων τοιοῦτός ἐστιν; ἐπειδὴ τοίνυν οἱ νόμοι μετὰ τοὺς θεοὺς ὁμολογοῦνται σώζειν τὴν πόλιν, δεῖ πάντας ὑμᾶς τὸν αὐτὸν τρόπον, ὥσπερ [f]ἂν εἰ [g]καθῆσθε ἐράνου πληρωταί, τὸν μὲν πειθόμενον τούτοις ὡς φέροντα τὴν τῆς σωτηρίας φορὰν πλήρη τῇ πατρίδι τιμᾶν καὶ ἐπαινεῖν, 26 τὸν δ' ἀπειθοῦντα κολάζειν. ἔρανος γάρ [h]ἐστι πολιτικὸς

[o] ἀφίετε] ἀφίητε S. ἀφίεται k. delet Taylorus.
[p] δὴ] δήπου γρ. S. om. F. v.
[q] καὶ ante πάντα in γρ. S.
[r] καὶ post ὅτι om. Y.
[s] τοῦτον] τοῦτο k.
[t] ὑμῖν ἐπιδείξειν] ἐπιδείξειν ὑμῖν k.
[u] καινὸν] κοινὸν F.
[x] ἕνας] νέας k.
[y] καὶ ante πάντα om. F. v.
[z] οἰκεῖται] διοικεῖται Y. O.
[a] τούτων αἰτίους om. v. in γρ. habent F. k.
[b] τοῦ] τὸν F.
[c] διενέγκαι] διενέγκοι F. Y. O. v.
[d] ποιεῖν F. ceteri ποιήσειν.
[e] ὃς ὄντων κυρίων om. S. εἰ κυρίων γρ. S. ὃς ὄντων κυρίων αὐτῶν k.
[f] ἂν om. F. v.
[g] καθῆσθε S. Y. ceteri ἐκάθησθε.
[h] ἐστὶ om. v.

καὶ κοινὸς πάνθ' ὅσα, [i]ταξάντων [k]τῶν νόμων, ἕκαστος [l]ἡμῶν ποιεῖ. ὃν ὁ [m]λείπων, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ καὶ καλὰ καὶ σεμνὰ καὶ μεγάλα ὑμῶν ἀφαιρεῖται καὶ διαφθείρει τὸ καθ' αὑτόν. ὧν ἓν ἢ δύο ἐρῶ παραδείγμα- 15
27 τος ἕνεκα, τὰ γνωριμώτατα. τὸ τὴν βουλὴν τοὺς πεντακοσίους ἀπὸ τῆς ἀσθενοῦς [n]ταυτησὶ κιγκλίδος τῶν ἀπορρήτων κυρίαν εἶναι, καὶ μὴ τοὺς ἰδιώτας ἐπεισιέναι· τὸ τὴν ἐξ Ἀρείου πάγου βουλήν, ὅταν ἐν τῇ βασιλείῳ στοᾷ 20 καθεζομένη [o]περισχοινίσηται, κατὰ πολλὴν ἡσυχίαν ἐφ' ἑαυτῆς εἶναι, καὶ ἅπαντας ἐκποδὼν [p]ἀποχωρεῖν· τὸ τὰς ἀρχὰς ἁπάσας, ὅσας οἱ λαχόντες ἄρχουσιν ὑμῶν, [q]ἅμα [r]τῷ τὸν ὑπηρέτην εἰπεῖν "μετάστητε ἔξω" [s]τῶν νόμων κρατεῖν, ἐφ' οἷς εἰσεπέμφθησαν, καὶ μὴ τοὺς ἀτελεγεστά- 25
28 τους βιάζεσθαι· ἄλλα μυρία. πάντα γὰρ [t]τὰ [u]σεμνὰ καὶ καλά, [x]καὶ δι' ὧν ἡ πόλις κοσμεῖται καὶ σῴζεται, [y]οὗτοι φυλάττουσιν·] ἡ σωφροσύνη, [z]ἡ πρὸς τοὺς γονέας καὶ τοὺς πρεσβυτέρους ὑμῶν [a]παρὰ τῶν νέων αἰσχύνη, ἡ 777
εὐταξία, τῇ τῶν νόμων προσθήκῃ τῶν αἰσχρῶν περίεστι,
29 τῆς ἀναισχυντίας, τῆς θρασύτητος, τῆς ἀναιδείας. ἰταμὸν γὰρ ἡ πονηρία καὶ [b]τολμηρὸν καὶ πλεονεκτικόν, καὶ τοὐναντίον ἡ καλοκαγαθία ἡσύχιον καὶ ὀκνηρὸν καὶ βραδὺ 5 καὶ δεινὸν ἐλαττωθῆναι. τοὺς νόμους οὖν δεῖ τηρεῖν καὶ τούτους ἰσχυροὺς ποιεῖν τοὺς ἀεὶ δικάζοντας ὑμῶν· μετὰ

[i] ταξάντων] πρισταξάντων γρ. S.
[k] τῶν in γρ. S.
[l] ἡμῶν] ὑμῶν v.
[m] λείπων] λιπὼν k.
[n] ταυτησὶ] τοιαυτησὶ S.
[o] περισχοινίσηται] περισχοινίζηται v. ὑπο
[p] ἀποχωρεῖν] ἀποχωρεῖν F. ὑποχωρεῖν Y.O. ἀναχωρεῖν v.
[q] ἅμα om. F. v.
[r] τῷ] τὸ v.
[s] τῶν νόμων] τοὺς νόμους correctus v.
[t] τὰ om. F. v.
[u] σεμνὰ καὶ καλὰ] καλὰ καὶ σεμνὰ F. v.
[x] καὶ ante δι' om. v.
[y] οὗτοι φυλάττουσιν om. F. k. s.
[z] ἡ ante πρὸς om. F. v.
[a] παρὰ] ἡ παρὰ F. S. Y. O. v. et pr. k.
[b] τολμηρὸν] τομὸν k.

γὰρ τούτων οἱ χρηστοὶ τῶν πονηρῶν περίεισιν. εἰ δὲ μή, λέλυται πάντα, ἀνέῳκται, [c]συγκέχυται, τῶν πονηροτά- 10
30 των καὶ ἀναιδεστάτων ἡ πόλις [d]γίγνεται. φέρε γὰρ πρὸς θεῶν, εἰ [e]εἷς ἕκαστος τῶν ἐν τῇ πόλει τὴν Ἀριστογείτονος [f]τόλμαν καὶ ἀναισχυντίαν λαβών, καὶ διαλογισάμενος ταῦθ' ἅπερ οὗτος, ὅτι ἔξεστι καὶ λέγειν καὶ ποιεῖν μέχρι [g]παντὸς ὅ τι ἂν βούληταί τις ἐν δημοκρατίᾳ, 15
ἐάνπερ τοῦ ποίου τις εἶναι [h]δόξει ὁ ταῦτα ποιῶν ὀλιγωρήσῃ, καὶ οὐδεὶς ἐπ' οὐδενὶ τῶν ἀδικημάτων εὐθὺς [i]αὐτὸν
31 [k]ἀποκτείνει· εἰ ταῦτα διανοηθεὶς ὁ μὴ λαχὼν τῷ λαχόντι καὶ ὁ μὴ χειροτονηθεὶς τῷ χειροτονηθέντι ἐξ ἴσου ζητοίη εἶναι καὶ τῶν αὐτῶν μετέχειν, καὶ ὅλως μὴ νέος, μὴ πρεσ- 20
βύτερος τὰ προσήκοντα πράττοι, ἀλλὰ πᾶν τὸ τεταγμένον ἐξελάσας ἕκαστος ἐκ τοῦ βίου τὴν [l]ἑαυτοῦ βούλησιν νόμον, ἀρχήν, πάνθ' ὑπολαμβάνοι· εἰ ταῦτα ποιοῖμεν, ἔστιν [m]ἔτι [n]τὴν πόλιν οἰκεῖσθαι; τί δέ; τοὺς νόμους κυρίους εἶ- 25
ναι; πόσην δ' ἂν οἴεσθε βίαν καὶ ὕβριν καὶ παρανομίαν ἐν ἁπάσῃ τῇ πόλει καθ' ἑκάστην τὴν ἡμέραν γίγνεσθαι καὶ βλασφημίαν ἀντὶ τῆς νῦν εὐφημίας καὶ τάξεως;
32 καὶ τί δεῖ λέγειν ὅτι τοῖς νόμοις ἅπαντα κοσμεῖται καὶ τῷ τούτοις πείθεσθαι; ἀλλ' ὑμεῖς αὐτοὶ πάντων ἄρτι κλη- 778
ρουμένων Ἀθηναίων, καὶ πάντων εὖ οἶδ' ὅτι βουλομένων εἰς [o]τοῦτο λαχεῖν τὸ δικαστήριον, μόνοι δικάζεθ' ἡμῖν. διὰ τί; ὅτι ἐλάχετε, εἶτ' ἀπεκληρώθητε· ταῦτα [p]δὲ οἱ 5
νόμοι λέγουσιν. εἶθ' ὑμεῖς αὐτοὶ κατὰ τοὺς νόμους εἰσ-

[c] συγκέχυται] ὁ βίος συγκέχυται k. et γρ. S.
[d] γίγνεται] μεστὴ γίγνεται k.
[e] εἷς om. F. S. O. v.
[f] τόλμαν] τόλμᾶν F.
[g] παντὸς] τινὸς F. v.
[h] δόξει] δόξῃ F. Y. O. k. v.
[i] αὐτὸν om. F.
[k] ἀποκτείνει] ἀποκτείνῃ Y.O. et correctus v. ἀποκτενεῖ F.k. et pr. v.
[l] ἑαυτοῦ] ἑαυτῶν Y.
[m] ἔτι om. S. Y. k.
[n] τὴν om. F. v.
[o] τοῦτο] τουτὶ F. k. v.
[p] δὲ] γὰρ F. k. v.

ελληλυθότες τὸν παρὰ τοὺς νόμους λέγειν ἢ πράττειν τι βι-
αζόμενον λαβόντες ἀφήσετε; καὶ οὐδεὶς ὑμῶν χολὴν οὐδὲ
ὀργὴν ἔχων φανήσεται ἐφ' οἷς ὁ βδελυρὸς καὶ ἀναιδὴς ἄν-
33 θρωπος [q] οὑτοσὶ βιάζεται τοὺς νόμους; ὅς, ὦ μιαρώτατε [r] πάντων τῶν ὄντων ἀνθρώπων, [s] κεκλειμένης [t] σοι τῆς [u] παῤῥησίας οὐ κιγκλίσιν οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασι, καὶ τούτων παρὰ τῇ [x] θεῷ κειμένων, [y] ἐς τὸ ἐντὸς [z] τούτων βιάζῃ καὶ προσέρχῃ πρὸς ταῦτ', ἀφ' ὧν ἀπελαύνουσί σε οἱ νό-
34 μοι· ἀπεσχοινισμένος πᾶσι τοῖς ἐν τῇ πόλει δικαίοις, γνώσεσι [a] δικαστηρίων τριῶν, [b] ἐγγραφῇ θεσμοθετῶν, ἑτέρᾳ πρακτόρων, τῇ τῆς [c] βουλεύσεως, ἣν αὐτὸς διώκεις, [d] γραφῇ, [e] μόνον οὐχ [f] ἁλύσει σιδηρᾷ, [g] ὑποδύει παρὰ ταῦτα καὶ διασπᾷς, καὶ προφάσεις [h] πλάττων καὶ ψευδεῖς
35 αἰτίας συντιθεὶς τὰ κοινὰ [i] δίκαι' ἀνατρέψειν οἴει. καὶ μὴν μέγα καὶ σαφὲς ὑμῖν ἐρῶ παράδειγμα, ὅτι ταῦτ' οὐδὲ καθ' ἓν προσήκει παριδεῖν. εἰ γάρ τις αὐτίκα δὴ μάλα εἴποι ὡς ἐκ τῶν νεωτάτων ἢ τῶν πλουσιωτάτων ἢ τῶν λελειτουργηκότων ἢ τῶν τοιούτων [k] τινὸς μερῶν, ἀφορίσας, τοὺς λέγοντας εἶναι δεῖ, ἀποκτείναιτ' ἂν αὐτὸν εὖ οἶδ' ὅτι, ὡς καταλύοντα τὸν δῆμον. καὶ δικαίως ἂν
36 τοῦτο ποιήσαιτε. καὶ μὴν ὅ τι βούλεσθε τούτων ἧττον 779

[q] οὑτοσὶ in γρ. S.
[r] πάντων] ἁπάντων k.
[s] κεκλειμένης] κεκλιμένης S. κε-κλεῖμένης v. κεκλεισμένης F. k.
[t] σοι] σου F. Y. O. v.
[u] παῤῥησίας] ἐξουσίας S. Y. O.
[x] θεῷ] θεᾷ v.
[y] εἰς—βιάζῃ in γρ. S.
[z] τούτων] τούτῳ S.
[a] δικαστηρίων τριῶν] τριῶν δικαστηρίων F. k. v.
[b] ἐγγραφῇ] ἐν γραφῇ v.
[c] βουλεύσεως] βουλήσεως F. v.
[d] γραφῇ] γραφὴν F. v.
[e] μόνον] καὶ μόνον k.
[f] ἁλύσει σιδηρᾷ] ἁλύσεσι σιδηραῖς k. quod vulg. addunt δεδεμένος, omisi cum S.
[g] ὑποδύει παρὰ ταῦτα O. παρὰ ταῦτα ὑποδύῃ v. ὑποδύῃ παρὰ ταῦτα ceteri.
[h] πλάττων] πράττων O. k.
[i] δίκαι' om. F. v.
[k] τινὸς] τι F. k.

ἐστι δεινόν, ἢ εἴ τις, ἐξ ὧν [l] οὗτός ἐστι [m] μερῶν, εἴποι τοῖς βιαζομένοις ἐξεῖναι [n] λέγειν, ἢ τοῖς ἐκ τοῦ δεσμωτηρίου, ἢ τοῖς ὧν [o] ἀπέκτεινεν ὁ δῆμος τοὺς πατέρας, ἢ τοῖς ἀποδεδοκιμασμένοις ἄρχειν λαχοῦσιν, ἢ τοῖς ὀφείλουσι τῷ δημοσίῳ, ἢ τοῖς καθάπαξ ἀτίμοις, ἢ τοῖς πονηροτάτοις
37 καὶ [p] οὖσι καὶ δοκοῦσιν· πάντα γὰρ ταῦθ' ὑπάρχει τούτῳ, καὶ [q] πρόσεστι [r] τοῖς οἷος οὗτός ἐστι τὴν φύσιν. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω μὲν αὐτὸν καὶ ἐφ' οἷς [s] νυνὶ ποιεῖ δικαίως ἂν ἀποθανεῖν, πολὺ μέντοι μᾶλλον, ἢ οὐδέν γε ἧττον, ἐφ' οἷς δῆλός ἐστι ποιήσων, εἰ τὴν παρ' ὑμῶν
38 ἐξουσίαν λήψεται καὶ καιρόν· ὃ μὴ γένοιτο. ὃ καὶ θαυμαστόν ἐστιν, εἴ τις ὑμῶν ἀγνοεῖ ὅτι ἐπὶ μὲν καλὸν ἢ χρηστὸν ἢ τῆς πόλεως ἄξιον πρᾶγμα οὐδὲν οὗτός ἐστι χρήσιμος (μὴ γάρ, ὦ Ζεῦ καὶ θεοί, τοσαύτη σπάνις ἀνδρῶν γένοιτο τῇ πόλει, ὥστε παρὰ Ἀριστογείτονος τῶν καλῶν τι ποιήσασθαι)· ἐφ' ἃ δ' ἂν καὶ χρήσαιτό τις τοιούτῳ θηρίῳ, ἀπεύχεσθαι τοῖς θεοῖς μὴ γενέσθαι δεῖ. εἰ
δ' ἄρα [t] συμβαίη, μεῖζόν ἐστιν εὐτύχημα τῇ πόλει ἀπορῆσαι τοὺς βουλομένους ἐξαμαρτεῖν, δι' οὗ τοῦτο ποιήσου-
39 σιν, ἢ τοῦτον ἀφειμένον αὐτοῖς ἕτοιμον ὑπάρξαι. τί γὰρ οὗτος οὐκ ἐνήσειεν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, [u] τῶν ἀνηκέστων ἢ δεινῶν, ἄνθρωπος μιαρὸς καὶ πατρικῆς ἔχθρας πρὸς τὸν δῆμον ἀνάμεστος; τίς δ' ἂν ἄλλος [x] μᾶλλον, ὃ μὴ γέ-
40 νοιτο, [y] ἀνατρέψειε τὴν πόλιν, εἰ λάβοιτ' ἐξουσίας; οὐχ ὁρᾶτε ὅτι τῆς φύσεως αὐτοῦ καὶ [z] τῆς πολιτείας οὐ λογισ-

[l] οὗτός ἐστι] ἐστὶν οὗτος F. v.
[m] μερῶν] μέτρων O.
[n] λέγειν] λέγει Y. O.
[o] ἀπέκτεινεν ὁ δῆμος] ὁ δῆμος ἀπέκτεινε F. k. v.
[p] οὖσι καὶ δοκοῦσι] δοκοῦσι καὶ οὖσι S. Y. O.
[q] πρόσεστι] προσετι Y.
[r] τοῖς om. S.Y.O. τούτοις rec. k.
[s] νυνὶ] νῦν F. v.
[t] συμβαίη] συμβαίη τι γρ. S.
[u] τῶν] ποιῆσαι τῶν γρ. S.
[x] μᾶλλον om. k.
[y] ἀνατρέψειε] πᾶσαν ἀνατρέψειε k.
[z] τῆς post καὶ om. S. Y.

μὸς οὐδ' αἰδὼς οὐδεμία, ἀλλ' ἀπόνοια ἡγεῖται; μᾶλλον
δ' ὅλον ἐστὶν ἀπόνοια ἡ [a]τούτου πολιτεία; ἢ μέγιστον
μέν ἐστιν αὐτῷ τῷ ἔχοντι κακόν, δεινὸν δὲ καὶ χαλεπὸν 780
[b]πᾶσι, [c]πόλει δ' [d]οὐκ [e]ἀνεκτόν. ὁ γὰρ ἀπονενοημένος
ἅπας αὑτὸν μὲν [f]προεῖται καὶ τὴν ἐκ λογισμοῦ σωτηρίαν,
ἐκ δὲ τοῦ παραδόξου καὶ [g]παραλόγου, ἐὰν ἄρα σωθῇ, 5
41 σώζεται. τίς [h]ἂν οὖν εὖ φρονῶν ἑαυτὸν ἂν ἢ τὰ τῇ πα-
τρίδι συμφέροντα [i]ταύτῃ συνάψειε; τίς [k]οὐκ ἂν εἰς ὅσον
δυνατὸν [l]φεύγοι, καὶ τὸν ἔχοντα [m]ταύτην ἐκποδὼν ποιή-
σαιτο, ἵνα [n]μηδ' ἄκων [o]αὐτῇ ποτὲ περιπέσῃ; οὐκ ἀπο-
νοίας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ὑπὲρ πατρίδος βουλευο- 10
μένους δεῖ ζητεῖν [p]ὅτῳ κοινωνήσουσιν, ἀλλὰ νοῦ καὶ φρε-
νῶν ἀγαθῶν καὶ προνοίας πολλῆς. ταῦτα μὲν γὰρ εἰς
εὐδαιμονίαν ἄγει πάντας ἀνθρώπους, [q]ἐκείνη δέ, οἵ [r]τα-
42 τον ἀπελθεῖν δεῖ. θεωρεῖτε δὲ μὴ πρὸς τὸν ἐμὸν λόγον, 15
ἀλλ' εἰς [s]ἅπαντα τὰ τῶν ἀνθρώπων [t]ἔθη βλέποντες. εἰσὶ
ταῖς πόλεσι πάσαις βωμοὶ καὶ νεὼ πάντων τῶν θεῶν, ἐν
δὲ τούτοις καὶ Προνοίας Ἀθηνᾶς ὡς [u]ἀγαθῆς καὶ μεγά-
λης θεοῦ, καὶ παρὰ τῷ Ἀπόλλωνι ἐν Δελφοῖς κάλλι-
στος καὶ μέγιστος νεὼς εὐθὺς εἰσιόντι εἰς τὸ ἱερόν, ὃς ὢν 20
θεὸς καὶ μάντις [x]κατ' ἀμφότερα οἴδε τὸ βέλτιστον· ἀλλ'
43 οὐκ ἀπονοίας οὐδ' ἀναισθείας. καὶ δίκης γε καὶ εὐνομίας

[a] τούτου] τούτων O.
[b] πᾶσι] καὶ πᾶσι S. Y. O.
[c] πόλει] τῇ πόλει k.
[d] οὐκ] οὔθ' γρ. Y.
[e] ἀνεκτὸν] ἀνεκτέον v.
[f] προεῖται] προσίεται k.
[g] παραλόγου] τοῦ παραλόγου F. k. v.
[h] ἂν post τίς om. v.
[i] ταύτῃ συνάψειε] τούτῳ ἐπιτρέψειε F. k. v.
[k] οὐκ] δ' οὐκ F. O. k. v.
[l] φεύγοι] φύγοι F. Y. O. k. v.
[m] ταύτην] αὐτὴν Y. k.
[n] μηδ'] μηδ' ἂν k.
[o] αὐτῇ] αὐτῷ F. et γρ. Y. k.
[p] ὅτῳ] ὅτου v.
[q] ἐκείνη] ἐκεῖνα γρ. S.
[r] τοῦτον] τούτων v.
[s] ἅπαντα] πάντα F. v.
[t] ἔθη om. O.
[u] ἀγαθῆς καὶ μεγάλης] μεγάλης καὶ ἀγαθῆς F. k. v.
[x] κατ' ἀμφότερα om. O. in γρ. habet S. in margine Y.

καὶ αἰδοῦς εἰσὶ [y]πᾶσιν ἀνθρώποις βωμοί, οἱ μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκάστου καὶ τῇ φύσει, οἱ δὲ [z]καὶ κοινῇ τοῖς πᾶσι τιμᾶν ἱδρυμένοι· ἀλλ' οὐκ ἀναισχυντίας οὐδὲ συκοφαντίας οὐδ' ἐπιορκίας οὐδ' [a]ἀχαριστίας, ἃ πάντα τούτῳ πρόσεστιν.

44 Οἶδα τοίνυν ὅτι τὴν μὲν ὀρθὴν καὶ δικαίαν ὁδὸν τῆς ἀπολογίας οὗτος φεύξεται, ἔξωθεν δὲ κύκλῳ περίεισι λοιδορούμενος καὶ διαβάλλων καὶ ὑπισχνούμενος κρινεῖν, εἰσ- 781
άξειν, παραδώσειν, [b]τὰ τοιαῦτα δή. ἔστι δὲ πάντ' αὐτῷ ταῦτα, ἐάνπερ ὑμεῖς ὀρθῶς [c]ἀκούητε, ἀδόκιμα. τί γὰρ οὐκ ἐξελήλεγκται τούτων ἐπὶ πάντων πολλάκις; καὶ τὰ 5
45 μὲν ἄλλα ἐάσω· ἀλλ', [d]Ἀριστογείτων, ἑπτὰ γραφὰς κεχρικάς με, τοῖς ὑπὲρ Φιλίππου τότε πράττουσι σαυτὸν μισθώσας, [e]καὶ εὐθύνας διδόντος δὶς [f]κατηγόρησας. καὶ Ἀδράστειαν [g]μὲν ἄνθρωπος ὢν [h]ἔγωγε προσκυνῶ, καὶ ἔχω τοῖς θεοῖς καὶ [i]πᾶσιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς 10
σώσασί [k]με [l]πολλὴν χάριν· σὺ [m]δ' οὐδὲ πώποτε οὐδὲν ἀληθὲς λέγων ἐφάνης, ἀλλ' ἀεὶ συκοφαντῶν ἠλέγχου.
46 ἐὰν οὖν [n]ἀκύρους τοὺς νόμους οὗτοι ποιήσαντες ἀφῶσί σε τήμερον, νῦν με ἐξελέγξεις; [o]περὶ τοῦ; σκοπεῖτε γὰρ 15
[p]οὑτωσί. δύο ἔτη βιάζεται λέγειν οὗτος οὐκ ἔχον αὐτῷ,

[y] πᾶσιν] ἅπασιν F. k. v.

[z] καὶ κοινῇ] καὶ κοινῇ οἱ Y. καὶ κοινοὶ F. O. k. v. καὶ νόμῳ κοινοὶ καὶ γρ. F. S.

[a] ἀχαριστίας] ἀχαριστείας S. v.

[b] τὰ τοιαῦτα δή om. k. et pr. Y. in γρ. habet S.

[c] ἀκούητε] ἀκούσητε F. Y. O. v.

[d] Ἀριστογείτων] ἀριστογείτων F. S. et pr. v.

[e] καὶ om. S.

[f] κατηγόρησας] κατηγορήσας k.

[g] μὲν ἄνθρωπος] ἄνθρωπος μὲν v.

[h] ἔγωγε] ἐγὼ k. om. S.

[i] πᾶσιν] ἅπασιν F. v.

[k] με S. k. ceteri ἐμέ.

[l] πολλὴν χάριν post ὑμῖν ponunt F. k. v.

[m] δ' οὐδεπώποτε οὐδὲν k. οὐδεπώποτε δ' οὐδὲν S. δ' οὐπώποτε οὐδὲν γρ. S. δὲ πώποτε οὐδὲν Y. O. δὲ πώποτε δ' οὐδὲν F. v.

[n] ἀκύρους τοὺς νόμους] τοὺς νόμους ἀκύρους F. v.

[o] περὶ τοῦ om. pr. k. περὶ τούτων v. et correcti S. k. et γρ. F. Y.

[p] οὑτωσί] οὕτως pr. S.

ἀλλὰ λέγει [q]γ' ὅμως. ἔπειτ' ἐν τούτοις τὸν μὲν ταλαίπωρον Φωκίδην καὶ τὸν [r]χαλκοτύπον τὸν ἐκ Πειραιῶς καὶ τὸν [s]σκυλόδεψον, καὶ ὅσων ἄλλων κατηγόρηκε παρ'
47 ὑμῖν, εἶδεν ἀδικοῦντας τὴν πόλιν, ἐμὲ δ' οὐχ ἑώρα τὸν ῥήτορα, ᾧ ἐπολέμει, οὐδὲ τὸν Λυκοῦργον, οὐδὲ τοὺς ἄλλους, περὶ ὧν αἰτίκα δὴ τὰ πολλὰ ἐρεῖ. καὶ μὴν κατ' ἀμφότερ' ἄξιός ἐστ' ἀπολωλέναι, τοῦτο μέν, εἴ τι καθ' ἡμῶν ἔχων [t]ἀδίκημα δεικνύναι ἡμᾶς [u]μὲν [x]ἠφίει, ἐπὶ δὲ τοὺς ἰδιώτας ἐπορεύετο, τοῦτο δ', εἰ μηδὲν ἔχων ἕνεκα τοῦ
48 [y]παρακρούσασθαι καὶ φενακίσαι ὑμᾶς ταῦτ' ἐρεῖ. εἰ τοίνυν ἄρα καὶ [z]τοιοῦτός τίς ἐστιν ἄνθρωπος ἐν τῇ πόλει, οἷος ἐκ παντὸς τρόπου τὸν κρινοῦντά [a]τινας καὶ συκοφαντήσοντα ζητεῖν, εἰ δὲ δικαίως ἢ ἀδίκως μηδὲν φροντίζειν, 782
[b]οὐδένα ἂν ἧττον εὕροι χρήσιμον [c]ὄντα ἢ τοῦτον ἑαυτῷ. [d]διὰ τί; ὅτι τὸν κατηγορήσοντα τῶν ἄλλων καὶ πάντας κρινοῦντα αὐτὸν ἀνεξέλεγκτον ὑπάρχειν δεῖ, ἵνα μὴ διὰ τὴν τούτου πονηρίαν [e]ἀποφεύγωσιν ἐκεῖνοι. τούτου δ' οὔτε
πλειόνων οὔτε μειζόνων ἁμαρτημάτων οὐδεὶς μᾶλλόν ἐστι
49 μεστὸς ἐν τῇ πόλει. [f]τί οὖν οὗτός ἐστι; κύων νὴ Δία, φασί τινες, τοῦ δήμου. [g]ποδαπός; οἷος, οὓς μὲν αἰτιᾶται λύκους εἶναι, μὴ δάκνειν, ἃ δὲ φησι φυλάττειν πρόβατα, αὐτὸς κατεσθίειν. τίνα [h]γὰρ τῶν ῥητόρων οὗτος
εἴργασταί τι κακὸν τοσοῦτον, [i]ἡλίκον τοὺς ἰδιώτας, περὶ

[q] γ'] γὰρ v.
[r] χαλκοτύπον O.k.v. vulg. χαλκότυπον.
[s] σκυλόδεψον] σκυλοδεψὸν k.
[t] ἀδίκημα om. k.
[u] μὲν om. v.
[x] ἠφίει] ἀφίει k.
[y] παρακρούσασθαι καὶ φενακίσαι ὑμᾶς] φενακίσαι ὑμᾶς καὶ παρακρούσασθαι k.
[z] τοιοῦτός τις] τοιοῦτος k.
[a] τινας] τινα S. Y.
[b] οὐδένα] οὐδὲν v.
[c] ὄντα om. F. k. v.
[d] διὰ τί om. S.
[e] ἀποφεύγωσιν] διαφεύγωσιν F. k. v.
[f] τί] τίς O. k.
[g] ποδαπός] ποταπός correctus k.
[h] γὰρ] γὰρ δὴ k.
[i] ἡλίκον] ὅσον k. ἡλίκον ὅσον Y.

ὧν [k]ψηφίσματα [l]γράψας ἐάλω; τίνα δ', ἐξ οὗ [m]νῦν πάλιν λέγει, κέκρικε ῥήτορα; οὐδένα. ἀλλ' ἰδιώτας πολλούς. ἀλλὰ μὴν τοὺς γευομένους κύνας τῶν προβάτων κατακόπτειν φασὶ δεῖν, ὥστ' οὐκ ἂν φθάνοι κατακοπτόμενος. [n]οὐδέν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήσιμός ἐστιν ὧν φησίν, ἀλλ' οὗτος πρᾶγμ' ἑώρακε μιαρὸν καὶ ἀναιδές. λοιδορούμενος γὰρ ἐν ταῖς ἐκκλησίαις καὶ προπετῶς [o]ἅπασι προσκρούων, ὧν ἂν ἐκ τούτων [p]ἀθρόους πάντας ὑμᾶς ἐκεῖ παρακρούσηται, τούτων καταβὰς καθ' ἕνα ὑμῶν [q]παρ' ἑκάστου δίκην λαμβάνει συκοφαντῶν, [r]αἰτῶν, εἰσπράττων [s]ἀργύριον. οὐχὶ μὰ Δία [t]τοὺς [u]λέγοντας (οὗτοι [x]μὲν γὰρ ἐπίστανται τούτῳ [y]διαβαπτίζεσθαι) ἀλλὰ τοὺς ἰδιώτας καὶ τοὺς ἀπείρους· ἴσασι δὲ οἱ πεπληγμένοι. ἀλλὰ νὴ Δία ταῦτα μὲν οὕτως ἔχειν ὁμολογήσετε, χρήσιμον δ' ἄνθρωπον τῇ πόλει κρίνειν, ὥστε [z]πάντα ταῦτα παριδόντας δεῖν αὐτὸν σώζειν. ἀλλ' ὧν [a]ἔργῳ πεῖραν εἰ- 783
λήφατε, [b]ὦ ἄνδρες Ἀθηναῖοι, μηδέποτ' ἐκ λόγου ταῦτα [c]σκοπεῖσθε. οὗτος ὑμῖν οὐχὶ προσῆλθε πέντε ἐτῶν, ὧν ἐτι-
μήθη μὴ λέγειν αὐτῷ. τίς οὖν ἐν τούτῳ τῷ χρόνῳ τοῦτον ἐπόθησε; τί τῶν τῆς πόλεως ἐλλειφθὲν διὰ τὴν ἀπουσίαν

[k] ψηφίσματα] τὰ ψήφισματα k. ψήφισμα F.O.k.v. et γρ. S.Y.
[l] γράψας ἐάλω] γράφων ἐάλωκεν F. O. v. qui totum hoc περὶ—ἐάλωκεν infra ponunt post πολλούς, suffectis post τοὺς ἰδιώτας his οἷς συκοφαντῶν περιέρχεται: quæ pronomine τούτους a principio aucta habet etiam γρ. S.
[m] νῦν πάλιν] πάλιν νῦν F. k. v.
[n] οὐδὲν] οὐδὲν γάρ F.v.
[o] ἅπασι] πᾶσι k.
[p] ἀθρόους Y. ceteri ἀθρόους.
[q] παρ' ἑκάστου om. k.
[r] αἰτῶν, εἰσπράττων] εἰσπράττων αἰτῶν Y. O. k. v.
[s] ἀργύριον] ἀργύρια F.
[t] τοὺς om. O.
[u] λέγοντας] λέγοντας οὔ F. v.
[x] μὲν om. F. v.
[y] διαβαπτίζεσθαι] συνδιαβαπτίζεσθαι k. v. οἶμαι συνδιαπληκτίζεσθαι margo γ.
[z] πάντα ταῦτα] ταῦτα πάντα k. v.
[a] ἔργῳ] ἔργων F.
[b] ὦ om. k. v.
[c] σκοπεῖσθε] σκοπεῖτε F. v.

εἶδε τὴν τούτου, τί δέ, ἀφ' οὗ νῦν λέγει, βέλτιον [d]γεγενές; ἐμοὶ μὲν γὰρ δοκεῖ τοὐναντίον, ὃν μὲν οὐ προσῆκε χρόνον [e]ὑμῖν, ἀναπαύσασθαι τῶν κακῶν ἡ πόλις ὧν ἅπασιν οὗτος παρεῖχεν, ἀφ' οὗ δὲ πάλιν δημηγορεῖ, πολιορκεῖσθαι, λόγους στασιώδεις καὶ ταραχώδεις ἐν ἁπάσαις [f]ἀεὶ ταῖς ἐκκλησίαις λέγοντος τούτου.

53 Βούλομαι τοίνυν καὶ παρακινδυνευτικοῦ τινὸς ἅψασθαι λόγου καὶ διαλεχθῆναι τοῖς διὰ ταῦτα φιλοῦσιν αὐτόν· οὓς ὁποίους μέν τινας χρὴ [g]νομίζειν, αὐτοὶ σκοπεῖσθε, ἐγὼ δ' οὐδὲν ἂν εἴποιμι, πλὴν ὅτι γ' οὐ σωφρονοῦσι προσνέ- 15
54 μοντες αὐτοὺς τούτῳ. τῶν μὲν οὖν ἐν τῷ δικαστηρίῳ νῦν ὄντων ὑμῶν οὐδεὶς εἶναι τοιοῦτον τίθεμαι· καὶ γὰρ δίκαιον, [h]ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καλὸν καὶ συμφέρον οὕτω καὶ λέγειν ἐμὲ καὶ φρονεῖν περὶ ὑμῶν. ἐκ δὲ τῶν ἄλλων πολιτῶν, ἵν' ὡς εἰς ἐλαχίστους τὴν βλασφημίαν [i]ἀγάγω, 20
55 τὸν μαθητήν, εἰ δὲ βούλεσθε, τὸν διδάσκαλον αὐτοῦ, Φιλοκράτην τὸν Ἐλευσίνιον, μόνον εἶναι τοιοῦτον τίθεμαι, [k]οὐχ ὡς [l]οὐχὶ πλειόνων ὄντων (ὤφελε γὰρ μηδεὶς ἄλλος Ἀριστογείτονι χαίρειν) ἀλλ' ὃ καθ' ὑμῶν ὡς ὄνειδος ὀκνῶ 25
λέγειν, [m]οὐδὲ τῶν ἄλλων πολιτῶν δικαιός εἰμι δημοσίᾳ κατηγορεῖν· εἶτα καὶ ταὐτὸ ποιήσει καὶ πρὸς ἕνα ῥηθὲν
56 ὁ λόγος. τὸ μὲν οὖν ἐξετάζειν ἀκριβῶς οἷον ἀνάγκη τὴν φύσιν [n]εἶναι τὸν Ἀριστογείτονι χαίροντα, ἐάσω, ἵνα μὴ πολλὰ [o]καὶ βλάσφημα ἀναγκάζωμαι [p]λέγειν καὶ] δι- 784
εξιέναι. ἀλλ' ἐκεῖνο λέγω. εἰ πονηρός ἐστιν Ἀριστογείτων ἁπλῶς καὶ πικρὸς καὶ συκοφάντης καὶ τοιοῦτος οἷος

[d] γεγενές] γέγονεν F. v.
[e] ὑμῖν] ἡμῖν k. om. F. v.
[f] ἀεὶ ante λέγοντος ponunt F.v.
[g] νομίζειν] νομίζειν εἶναι Y.
[h] ὦ om. v.
[i] ἀγάγω] ἀναγάγω k. v.
[k] οὐχ] οὐδ' F.
[l] οὐχὶ πλειόνων ὄντων] ὄντων οὐχὶ πλειόνων k.
[m] οὐδὲ] οὐδ' ἐπὶ F.k. οὐδὲ δὴ v.
[n] εἶναι] εἶναι δεῖ k.
[o] καὶ ante βλάσφημα om. F. v.
[p] [λέγειν καὶ] om. F. v.

ὑπισχνεῖται, δίδωμι, συγχωρῶ, Φιλόκρατες, σοὶ τῷ τοιούτῳ τὸν ὅμοιον σώζειν· τῶν γὰρ ἄλλων ἁπάντων καὶ
[q] ποιούντων ἃ δεῖ καὶ φυλαττόντων τοὺς νόμους, οὐδὲν [r] ἂν
57 παρὰ τοῦτ' οἴομαι γενέσθαι. εἰ δὲ κάπηλός ἐστι πονηρίας καὶ παλιγκάπηλος καὶ μεταβολεύς, καὶ μόνον οὐ ζυγὰ καὶ σταθμὰ ἔχων [s] πάνθ', ὅσα πώποτ' ἔπραξεν, ἐπώλει, τί τοῦτον, ὦ μάταιε, ἀκονᾷς; οὔτε γὰρ μαγείρῳ μαχαίρας οὐδέν ἐστ' ὄφελος δήπουθεν, ἥτις μὴ τέμνει· οὔτε τῷ βουλομένῳ δι' αὐτοῦ πᾶσι πράγματα καὶ κακὰ γίγνεσθαι ὁ ταῦτ' ἀποδωσόμενος συκοφάντης οὐδέν ἐστι
58 χρήσιμος. ἀλλὰ μὴν ὅτι τοιοῦτος [t] οὗτός ἐστιν, εἰδότι σοι φράσω. τὴν καθ' Ἡγήμονος εἰσαγγελίαν μέμνησαι ὡς ἀπέδοτο· τὰς κατὰ Δημάδου γραφὰς [u] οἶσθ' ὡς [x] ἐξέλιπεν. τὸν ἐλαιοπώλην Ἀγάθωνα ([y] ταυτὶ γὰρ [z] τὰ πρώην) βοῶν [a] καὶ κεκραγὼς καὶ ἰοὺ ἰού, [b] πάντ' ἄνω τε καὶ κάτω ποιῶν ἐν ταῖς ἐκκλησίαις ὡς δέον στρεβλοῦν, λαβὼν ὁτιδήποτε, παρὼν ὅτ' ἠφίετο, ἄφωνος ἐγένετο. τὴν κατὰ Δημοκλέους εἰσαγγελίαν ἀνασείσας ποῖ [c] ἔτρεψεν; ἄλλα μυρία, ὧν ἐμοὶ μὲν ἔργον [d] ἁπάντων μνησθῆναι, σὺ δ' [e] εὖ οἶδ' ὅτι καὶ τὰ ἀντίγραφα αὐτῶν ἔχεις, ἐργολα-
59 βῶν αὐτῷ. τίς οὖν ὁ τὸν τοιοῦτον [f] σώσων ἢ πονηρὸς ἢ χρηστός; ἢ διὰ τί; τῶν μὲν γὰρ ὁμοίων προδότης, τῶν δὲ χρηστῶν [g] ἐχθρὸς ἐκ φύσεως καὶ γένους ἐστί· πλὴν εἰ συκοφάντου τις καὶ πονηροῦ σπέρμα καὶ ῥίζαν, [h] ὥσπερανεὶ

[q] ποιούντων] φρονούντων F. k. v.
[r] ἂν om. pr. k.
[s] πάνθ'] ἅπανθ' k.
[t] οὗτός ἐστιν] ἐστιν οὗτος F. v.
[u] οἶσθ'] εἶθ' v.
[x] ἐξέλιπεν] ἐξέλειπε S. k.
[y] ταυτὶ] ταῦτα v.
[z] τὰ om. F. k. v.
[a] καὶ ante κεκραγὼς om. F. v.
[b] πάντ'] καὶ πάντ' k. v.
[c] ἔτρεψεν] ἔστρεψεν O.
[d] ἁπάντων] ἁπάντων ἐστὶ S. Y. om. v.
[e] εὖ om. F. k. v.
[f] σώσων] σώζων v.
[g] ἐχθρὸς ἐκ φύσεως] ἐκ φύσεως ἐχθρὸς v.
[h] ὥσπερανεὶ] ὥσπερ F. v.

γεωργός, [i]οἴεται δεῖν ὑπάρχειν τῇ πόλει. τοῦτο δ' οὐ κα- 785
λόν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω δὲ μὰ τοὺς θεοὺς οὐδ' ὅσιον· οὐδὲ [k]γὰρ τοὺς προγόνους ὑπολαμβάνω τὰ δικα-
στήρια ταῦθ' [l]ὑμῖν οἰκοδομῆσαι, ἵνα τοὺς τοιούτους ἐν
[m]αὐτοῖς μοσχεύητε, ἀλλὰ τοὐναντίον ἵν' ἀνείργητε καὶ κο- 5
λάζητε καὶ μηδεὶς ζηλοῖ μηδ' [n]ἐπιθυμῇ κακίας.

60 Δυσκατάπαυστον δέ τι κινδυνεύει πρᾶγμ' εἶναι πονη-
ρία. ὅπου [o]γὰρ Ἀριστογείτων ἐπὶ τοῖς [p]ὡμολογημένοις
[q]ἀδικήμασι κρίνεται καὶ οὐκ ἀπόλωλε πάλαι, τί χρὴ
ποιεῖν ἢ λέγειν; ὃς εἰς ταῦθ' ἥκει πονηρίας, ὥστ' ἐνδε- 10
δειγμένος ἤδη βοῶν, συκοφαντῶν, ἀπειλῶν οὐκ ἐπαύετο,
οἷς μὲν ὑμεῖς τὰ μέγιστα [r]ἐνεχειρίζετε στρατηγοῖς, ὅτι
αὐτῷ ἀργύριον αἰτοῦντι οὐκ ἔδοσαν, οὐδὲ τῶν [s]κοπρώνων
ἂν ἐπιστάτας ἐλέσθαι φάσκων, οὐκ ἐκείνους ὑβριζων, οὗ
61 (ἐκείνοις μὲν γὰρ ἐξῆν μικρὸν ἀργύριον δοῦσι τούτῳ μὴ 15
ἀκούειν ταῦτα), ἀλλὰ τὴν ὑμετέραν χειροτονίαν προπηλα-
κίζων καὶ τῆς ἑαυτοῦ πονηρίας ἐπίδειξιν ποιούμενος, τὰς
δὲ κληρωτὰς ἀρχὰς σπαράττων, [t]αἰτῶν, εἰσπράττων ἀρ-
γύριον, τί [u]κακὸν οὐ παρέχων; τὰ τελευταῖα δὲ ταυτὶ 20
πάντας εἰς ταραχὴν καὶ στάσιν [x]ἐμβαλεῖν ζητήσας,
γράμματ' ἐκτίθεις ψευδῆ, ὅλως δ' ἐπὶ τῷ πάντων κακῷ
πεφυκώς, καὶ πρόδηλος ὤν, [y]ὅτι τοιοῦτος ἐστι, τῷ βίῳ.
62 σκοπεῖτε γάρ. [z]εἰσὶν ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι.
τούτων ἕκαστος ἔν γέ τι πράττων κατὰ τὴν ἀγορὰν περι- 25

[i] οἴεται δεῖν ὑπάρχειν] ὑπάρχειν οἴεται δεῖν F. v.
[k] γὰρ in γρ. F. v.
[l] ἐμῖν] ἡμῖν v.
[m] αὐτοῖς] τούτοις S.
[n] ἐπιθυμῇ] ἐπιθυμοῦ v.
[o] γὰρ om. F.
[p] ὡμολογημένοις] ὁμολογουμένοις k.
[q] ἀδικήμασι] ἀδικήμασιν εἶναι F. k. v.
[r] ἐνεχειρίζετε] ἐνεχειρίζεται S. ἐγχειρίζετε F. v.
[s] κοπρώνων] κόπρων δν O. et correctus Y.
[t] αἰτῶν om. k. vulg. post εἰσπράττων ponunt.
[u] κακὸν] κακῶν F.
[x] ἐμβαλεῖν] ἐμβάλλειν S. Y. O.
[y] ὅτι] ὁ v.
[z] εἰσὶν] ἐστὶν O.

ἔρχεται ἤτοι νὴ τὸν Ἡρακλέα τῶν κοινῶν ἢ τῶν ἰδίων. ἀλλ' οὐχ οὗτος οὐδέν, οὐδ' [a]ἂν ἔχοι δεῖξαι πρὸς ὅτῳ τὸν βίον ἐστὶ τῶν μετρίων ἢ [b]καλῶν. οὐχὶ τῶν πολιτικῶν ἀγαθῶν ἐπ' οὐδενὶ [c]τῇ ψυχῇ διατρίβει· οὐ τέχνης, οὐ γε- 786
ωργίας, οὐκ ἄλλης ἐργασίας οὐδεμιᾶς ἐπιμελεῖται· οὐ φιλανθρωπίας, οὐχ ὁμιλίας οὐδεμιᾶς οὐδενὶ κοινωνεῖ·
63 ἀλλὰ πορεύεται διὰ τῆς ἀγορᾶς, ὥσπερ [d]ἔχις ἢ σκορπίος, ἡρκὼς τὸ κέντρον, ἄττων δεῦρο κἀκεῖσε, σκοπῶν τίνι συμφορὰν ἢ βλασφημίαν ἢ κακόν τι προστριψάμενος καὶ καταστήσας εἰς φόβον ἀργύριον [e]εἰσπράξεται. οὐδὲ προσφοιτᾷ πρός τι τούτων τῶν ἐν τῇ πόλει κουρείων ἢ [f]μυροπωλείων ἢ τῶν ἄλλων ἐργαστηρίων οὐδὲ πρὸς ἕν· ἀλλ' [g]ἄσπειστος, ἀνίδρυτος, ἄμικτος, οὐ χάριν, οὐ φιλίαν, οὐκ ἄλλ' οὐδὲν ὧν [h]ἄνθρωπος μέτριος γιγνώσκων. μεθ' ὧν δ' [i]οἱ ζωγράφοι τοὺς ἀσεβεῖς [k]ἐν Ἅιδου γράφουσιν, μετὰ τούτων, μετ' ἀρᾶς καὶ βλασφημίας καὶ φθόνου καὶ στά-
64 σεως καὶ νείκους, περιέρχεται. εἶθ' ὃν οὐδὲ τῶν ἐν Ἅιδου θεῶν εἰκός ἐστι τυχεῖν [l]ἵλεων, ἀλλ' εἰς τοὺς ἀσεβεῖς [m]ὠσθῆναι διὰ τὴν πονηρίαν τοῦ βίου, τοῦτον ὑμεῖς ἀδικοῦντα λαβόντες οὐ μόνον οὐ τιμωρήσεσθε, ἀλλὰ καὶ μειζόνων ἀξιώσαντες δωρεῶν ἀφήσετε, [n]ὡς τοὺς εὐεργέτας; τίνι γὰρ πώποτε ὑμεῖς ἔδοτε, ἐὰν ὄφλῃ τι τῷ δημοσίῳ, [o]τοῦτο μὴ [p]καταθέντι τῶν ἴσων μετέχειν; οὐδενί. μὴ τοί-

[a] ἂν om. S.
[b] καλῶν] τῶν καλῶν O.
[c] τῇ ψυχῇ] τὴν ψυχὴν F. O. k. v.
[d] ἔχις] ὄφις F. v. k.
[e] εἰσπράξεται] πράξεται F. v.
[f] μυροπωλείων] μυροπωλίων F. v. et pr. k.
[g] ἄσπειστος] ἄπιστος v.
[h] ἄνθρωπος μέτριος] μέτριος ἄνθρωπος v.
[i] οἱ ζωγράφοι] Conf. Valcken. ad Adon. p. 374. B.
[k] ἐν Ἅιδου γράφουσιν] γράφουσιν ἐν ᾅδου v. γράφουσιν εἰς ᾅδου F.
[l] ἵλεων] ἵλεω F. S. Y.
[m] ὠσθῆναι] rec. v. addito post βίου verbo τάττεται.
[n] ὡς] ὥσπερ k.
[o] τοῦτο] τούτῳ F. v.
[p] καταθέντι] καθέντι F. v.

νυν μηδὲ τούτῳ [q] δῶτε νῦν, ἀλλὰ τιμωρήσασθε καὶ παράδειγμα [r] ποιήσατε τοῖς ἄλλοις.

65 [v] Ἄξιον δ' ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ λοιπ' ἀκοῦσαι· δεινῶν γὰρ ὄντων, [s] οὐ μὲν οὖν ἐχόντων ὑπερβολήν, ὧν ἠκούσατε ἄρτι λέγοντος Λυκούργου, τὰ λοιπὰ ἐνάμιλλα τούτοις καὶ τῆς αὐτῆς φύσεως εὑρεθήσεται. πρὸς μὲν γὰρ τῷ τὸν πατέρα ἐν τῷ δεσμωτηρίῳ προδοὺς ἀπελθεῖν ἐξ Ἐρετρίας, ὥσπερ ἠκούσατε Φαίδρου, ἀποθανόντα ὁ 787
ἀσεβὴς οὗτος καὶ μιαρὸς οὐκ ἔθαψεν, οὐδὲ τοῖς θάψασι
66 τὴν ταφὴν ἀπέδωκεν, ἀλλὰ καὶ δίκην προσέλαχεν. πρὸς δὲ τῷ τῆς μητρὸς μὴ [t] ἀπεσχῆσθαι τὼ χεῖρε, ὥσπερ ἀρτίως ἠκούσατε [u] τῶν [x] μαρτύρων, καὶ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ οὐχ ὁμοπατρίαν μὲν [y] οὖσαν, θυγατέρα δ' ἐκείνης ὁπωσδήποτε γενομένην (ἐὼ γὰρ τοῦτο), ἀλλ' ἀδελφήν γε, ἐπ' ἐξαγωγῇ ἀπέδοτο, ὡς φησι τὸ ἔγκλημα τῆς δίκης ἣν ὑπὲρ [z] τούτων ἔλαχεν αὐτῷ ὁ χρηστὸς ἀδελφὸς οὑτοσί, ὁ
67 [a] νῦν συναπολογησόμενος. πρὸς δὲ τούτοις τοιούτοις οὖσιν ἕτερον δεινόν, ὦ γῆ καὶ θεοί, πρᾶγμ' ἀκούσεσθε. ὅτε γὰρ τὸ δεσμωτήριον διορύξας ἀπέδρα, τότε πρὸς γυναῖκά τιν' ἔρχεται Ζωβιαν ὄνομα, ἣ ἐτύγχανεν, ὡς ἔοικε, κεχρημένος ποτέ· καὶ κρύπτει καὶ διασῴζει τὰς πρώτας [b] ἡμέρας αὐτὸν ἐκεινη, ἃς ἐζήτουν καὶ ἐκήρυττον οἱ ἔνδεκα, καὶ μετὰ ταῦτα δοῦσα [c] δραχμὰς ὀκτὼ ἐφόδιον καὶ χιτωνί-
68 σκον καὶ ἱμάτιον ἐξέπεμψεν εἰς Μέγαρα. ταύτην τὴν ἄνθρωπον, τὴν [d] τοιαῦτ' εὐεργετήσασαν αὐτόν, ὡς πολὺς

[q] δῶτε] δότε S. k. et pr. v.
[r] ποιήσατε] ποιήσασθε S. Y. O.
[s] οὐ μὲν οὖν] καὶ οὐκ S. adscripta vulgata.
[t] ἀπεσχῆσθαι] ἀπεσχεῖσθαι S. ἀπεσχίσθαι F. v.
[u] τῶν] καὶ τῶν S. Y.
[x] μαρτύρων] μαρτυριῶν Y.
[y] οὖσαν om. F. v.
[z] τούτων] τούτου correctus k.
[a] νῦν] νυνὶ k.
[b] ἡμέρας αὐτὸν] αὐτὸν ἡμέρας F. v.
[c] δραχμὰς ὀκτὼ] ὀκτὼ δραχμὰς F. v.
[d] τοιαῦτ'] τὰ τοιαῦτα F. k.

παρ' [e] ὑμῖν ἔπνει καὶ λαμπρὸς [f] ἦν, μεμφομένην τι καὶ τούτων ὑπομιμνήσκουσαν καὶ ἀξιοῦσαν εὖ παθεῖν τὸ μὲν πρῶτον ῥαπίσας καὶ ἀπειλήσας ἀπέπεμψεν ἀπὸ τῆς οἰκίας, ὡς δ' οὐκ [g] ἐπαύετο ἡ ἄνθρωπος, ἀλλὰ γυναίου πρᾶγμ' ἐποίει καὶ πρὸς τοὺς γνωρίμους προσιοῦσα [h] ἐνεκάλει, λαβὼν αὐτὸς αὐτοχειρίᾳ πρὸς τὸ πωλητήριον τοῦ μετοικίου ἀπήγαγε· καὶ εἰ μὴ κείμενον αὐτῇ τὸ μετοίκιον ἔτυχεν, ἐπέπρατ' ἂν διὰ τοῦτον, ᾧ τῆς σωτηρίας [i] αὐτὴ
69 [k] αἰτία ἐγεγόνει. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, κάλει [l] μοι 788
τὸν τὴν [m] ταφὴν τοῦ πατρὸς οὐκ ἀπειληφότα, καὶ τὸν τῆς δίκης διαιτητήν, ἣν ὑπὲρ τῆς πράσεως τῆς ἀδελφῆς ἔλαχεν αὐτῷ [n] ὁ χρηστὸς ἀδελφὸς] οὑτοσί, καὶ τὸ ἔγκλημα φέρε. κάλει δέ [o] μοι [p] πρῶτον πάντων τὸν τῆς Ζωβίας προστάτην, τῆς ὑποδεξαμένης αὐτόν, καὶ τοὺς πωλητάς, πρὸς οὓς [q] ἀπήγαγεν αὐτήν. ὑμεῖς δ' ἠγανακτεῖτε ἀρτίως, εἰ τῶν τὸν ἔρανον φερόντων εἰς τὴν σωτηρίαν αὐτῷ [r] κατηγορεῖ. μιαρόν, μιαρόν, [s] ὦ ἄνδρες Ἀθηναῖοι, τὸ θηρίον,
70 καὶ ἄμικτον. λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Τίς οὖν ἱκανὴ κατὰ τοῦ τοσαῦτα καὶ [t] τοιαῦτα πεποιηκότος γένοιτ' ἂν δίκη; τίς ἀξία τιμωρία; θάνατος μὲν [u] γὰρ ἔμοιγε μικρὰ φαίνεται.

71 Ἐν τοίνυν εἰπὼν ἔτι τῶν ἰδίων αὐτοῦ πονηρευμάτων τὰ

[e] ὑμῖν] ἡμῖν S. Y. O.
[f] ἦν om. S.
[g] ἐπαύετο] ἐπαύσατο O.
[h] ἐνεκάλει] ἀνεκάλει O.
[i] αὐτὴ] αὕτη O. k. v.
[k] αἰτία om. pr. S. k.
[l] μοι] μοι πρῶτον μὲν k.
[m] ταφὴν] γραφὴν F. v.
[n] [ὁ χρηστὸς ἀδελφὸς] om. F. Y. O. v. in γρ. habet S.
[o] μοι om. F. v.
[p] πρῶτον πάντων] πάντων πρῶτον F. v.
[q] ἀπήγαγεν] προσήγαγεν F. v.
[r] κατηγορεῖ] κατηγόρει Y. O.
[s] ὦ ἄνδρες Ἀθηναῖοι τὸ θηρίον] τὸ θηρίον ὦ ἄνδρες Ἀθηναῖοι F. τὸ θηρίον ἄνδρες Ἀθηναῖοι v. τὸ θηρίον ἄνθρες Ἀθηναῖοι τοῦτο k.
[t] τοιαῦτα] τοιαῦτα πονηρὰ F. v.
[u] γὰρ om. O.

λοιπὰ ἐάσω. πρὶν γὰρ ἐξελθεῖν ἐκ τοῦ δεσμωτηρίου, ἐμπεσόντος ἀνθρώπου τινὸς Ταναγραίου πρὸς κατεγγύην, γραμματεῖον ἔχοντος, προσελθὼν καὶ [x] λαλῶν ὅ τι δὴ ποθ' ὑφαιρεῖται τὸ γραμματεῖον. αἰτιωμένου δὲ καὶ δεινὰ ποιοῦντος τἀνθρώπου, καὶ λέγοντος ὅτι [y] οὐδεὶς ἄλλος ὑφήρηται, εἰς τοῦτο ἀφικνεῖται βδελυρίας ὥστε τύπτειν ἐπε-
72 χείρησε τὸν ἄνθρωπον. νεαλὴς δὲ καὶ πρόσφατος ὢν ἐκεῖνος περιῆν αὐτοῦ τεταριχευμένου καὶ πολὺν χρόνον ἐμπεπτωκότος. ὡς δ' εἰς τοῦθ' ἦκεν, ἀπεσθίει τὴν ῥῖνα τἀνθρώπου. καὶ τότε μὲν περὶ τὴν γεγονυῖαν συμφορὰν [z] ἄνθρωπος γενόμενος ἀπέστη [a] τοῦ τὸ γραμματεῖον ἐρευνᾶν [b] ἢ ζητεῖν]· ὕστερον δ' εὑρίσκουσι τὸ γραμματεῖον ἐν χι-
73 βωτίῳ τινί, οὗ τὴν κλεῖν οὗτος εἶχεν. καὶ μετὰ [c] ταῦτα ψηφίζονται περὶ αὐτοῦ ταῦτα οἱ ἐν τῷ οἰκήματι, μὴ πυρός, μὴ λύχνου, μὴ ποτοῦ, μὴ βρωτοῦ [d] μηδενὸς μηδένα [e] τούτῳ κοινωνεῖν, μηδὲ λαμβάνειν, μηδ' αὐτὸν τούτῳ δι-
δόναι. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τὸν ἄνθρω-
πον [f] αὐτόν, οὗ τὴν ῥῖνα ὁ μιαρὸς οὗτος ἐσθίων κατέφαγεν.

74 ΜΑΡΤΥΡΙΑ.

Καλῶν γε ἔργων ὁ ῥήτωρ δημιουργὸς ὑμῖν γέγονεν. ἄξιόν [g] γ' ἐκ τοῦ [h] τὰ τοιαῦτα πεποιηκότος στόματος λόγον ἢ συμβουλήν τιν' ἀκοῦσαι. Ἀνάγνωθι [i] δὴ καὶ τουτὶ τὸ καλὸν περὶ αὐτοῦ δόγμα.

ΔΟΓΜΑ.

75 Εἶτ' οὐκ αἰσχύνεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οἱ μὲν ἐπὶ

[x] λαλῶν] λαβὼν Y. O. k. s. F. v.
[y] οὐδεὶς ἄλλος] ἄλλος οὐδεὶς v.
[z] ἄνθρωπος] ὁ ἄνθρωπος rec. k.
[a] τοῦ τὸ] τοῦτο τὸ O.
[b] ἢ] καὶ S. Y. O. et γρ. k.
[c] ταῦτα] ταυτὶ F. k. v.
[d] μηδενὸς μηδένα] μηδένα μηδενὸς
[e] τούτῳ] τούτων Y. O.
[f] αὐτόν om. S.
[g] γ' om. S. Y.
[h] τὰ om. Y. O.
[i] δὴ] δὲ F. k. v.

πονηρίᾳ καὶ τοῖς [k] αἰσχίστοις ἐμπεπτωκότες εἰς τὸ οἴκημα [l] τοσούτῳ τοῦτον ἡγήσαντο ἑαυτῶν [m] εἶναι πονηρότερον, ὥστ' ἄμικτον ἑαυτοῖς καταστῆσαι, ὑμεῖς δ' ἐξεληλακότων τῶν νόμων αὐτὸν ἐκ τῆς πολιτείας εἰς ὑμᾶς αὐτοὺς καταμίξετε; τί τῶν πεπραγμένων ἢ βεβιωμένων ἐπαινέσαντες, ἢ τί τῶν πάντων οὐχὶ δυσχεράναντες; οὐκ ἀσεβής; οὐκ ὠμός; οὐκ ἀκάθαρτος; οὐ συκοφάντης;

76 Ἀλλ' ὅμως τοιαῦτα ποιῶν καὶ τοιοῦτος ὢν ἐν ἁπάσαις ἀεὶ βοᾷ ταῖς ἐκκλησίαις "ἐγὼ μόνος [n] εὔνους [o] ὑμῖν· "πάντες οὗτοι [p] συνεστᾶσι· προδέδοσθε· ἡ παρ' ἐμοὶ μό-"νον εὔνοια λοιπή." βούλομαι [q] δὴ τὴν [r] σφοδρὰν καὶ μεγάλην εὔνοιαν αὐτοῦ ταύτην ἐξετάσαι, πόθεν ἐστὶ καὶ ἐκ [s] τίνος αὐτῷ γεγονυῖα, ἵν' εἰ μέν ἐστι τοιαύτη, χρῆσθε αὐ-

77 τῇ καὶ πιστεύητε, εἰ δὲ μή, φυλάττησθε. πότερον γάρ, ὅτι [t] τοῦ πατρὸς αὐτοῦ θάνατον κατέγνωτε καὶ τὴν μητέρα αὐτοῦ ὄφλουσαν ἀποστασίου ἀπέδοσθε, διὰ ταῦτα αὐτὸν ὑμῖν [u] ὑπολαμβάνετε εὔνουν εἶναι; ἀλλ' ἄτοπον νὴ τὸν Δία καὶ [x] πάντας θεοὺς τοῦτό γε. εἰ μὲν γὰρ εὔνους ἐστὶν ἐκείνοις καὶ τὸν τῆς φύσεως διασώζει νόμον, ὃς καὶ [y] ἀνθρώποις καὶ θηρίοις εἷς [z] καὶ [a] ὁ αὐτὸς ἅπασιν ὥρισται,

78 στέργειν τοὺς γονεῖς, κακόνους ἐστὶ τοῖς ἐκείνους ἀπολωλεκόσι δῆλον ὅτι καὶ νόμοις καὶ πολιτείᾳ τῇ τούτων. εἰ δὲ μηδένα τούτων [b] ὑπόλογον ποιεῖται, ἡδέως ἂν εἰδείην

[k] αἰσχίστοις] ἐσχάτοις S. Y. O.
[l] τοσούτῳ] οὕτω k.
[m] εἶναι om. F. v.
[n] εὔνους] ἔτι λοιπὸς F.v. om. pr. k. rec. et ipse εὔνους.
[o] ὑμῖν] ὑμῖν διαμένω k.
[p] συνεστᾶσι] συνεστᾶσιν ἐπ' ἐμέ k.
[q] δὴ] δὲ F. k. v.
[r] σφοδρὰν] σφόδρα F. v.
[s] τίνος] τίνος ὡς ἀληθῶς F.O.k.v.
[t] τοῦ om. O.
[u] ὑπολαμβάνετε εὔνουν] εὔνουν ὑπολαμβάνετε Y. O. k.
[x] πάντας om. S. Y. O. k.
[y] ἀνθρώποις καὶ θηρίοις] θηρίοις καὶ ἀνθρώποις k.
[z] καὶ post εἷς om. F.v. et pr. k.
[a] ὁ om. v.
[b] ὑπόλογον] λόγον k.

τίς ἐστιν ὁ τὴν πρὸς τοὺς [c] γονέας [d] εὔνοιαν ὁρῶν προδεδωκότα τοῦτον, ἢν πρὸς τὸν δῆμον ὧν ἔχειν ὑπισχνεῖται, πιστεύων· ἐγὼ μὲν γὰρ [e] ἄπιστον καὶ θεοῖς ἐχθρόν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν τῶν γονέων ἀμελοῦντα.

79 ἀλλὰ νὴ Δία ὅτι τὰς ἐνδείξεις αὐτοῦ κατεψηφίσασθε, καὶ δις εἰς τὸ δεσμωτήριον κατεθεσθε καὶ αὐτὸν καὶ τὸν ἀδελφόν, διὰ ταῦθ' ὑμῖν εὔνους ἐστίν. ἀλλὰ καὶ τοῦτ' ἄτοπον. ἀλλ' ὅτι [f] τὴν ἀρχὴν ἣν ἔλαχεν ἀπεδοκιμάσατε; ἀλλ' ὅτι παρανόμων αὐτοῦ [g] κατέγνωτε; ἀλλ' ὅτι πέντε ταλάντων προσετιμήσατε; ἀλλ' ὅτι [h] δακτυλοδειχτεῖτε ἐπὶ

80 τῷ πονηρότατον τῶν ὄντων ἁπάντων δεικνύναι; ἀλλ' ὅτι τῶν ὑπαρχόντων νόμων καὶ πολιτείας μενόντων οὐκ ἔνι τῶν αἰσχρῶν αὐτῷ τούτων [i] ἀπαλλαγῆναι; ἀλλὰ διὰ τί [k] ὑμῖν οὗτος εὔνους ἐστίν; ὅτι, φησίν, ἀναιδής ἐστιν. ὁ δ' ἀναιδὴς ἐκ τίνος ὠνομάσθη τῶν ἄλλων, ἀλλ' ἢ ὅταν [l] τὰ μήτε ὄντα μήτ' ἂν [m] γενόμενα ταῦτα τολμᾷ λέγειν δι' ἀναισχυντίαν, ὅπερ οὗτος ποιεῖ;

81 Ἡγοῦμαι τοίνυν καὶ περὶ τῆς ἐνδείξεως, ἃ μοι [n] παραλείπειν ἔδοξε Λυκοῦργος, βέλτιον [o] εἶναι πρὸς ὑμᾶς εἰπεῖν. 791 ἐγὼ [p] γὰρ οἶομαι δεῖν ὑμᾶς ὥσπερ ἂν εἰ χρέος ἐσκοπεῖτε ἴδιον, οὕτως [q] ἐξετάσαι τοῦτον καὶ τὰ [r] τουτουὶ τοῦ ἀγῶνος δίκαια. εἰ τοίνυν [s] τις ὀφείλειν τιν' ἠτιᾶτο χρήματα, ὁ δ' 5

[c] γονέας] γονεῖς S. Y. O. k.
[d] εὔνοιαν ὁρῶν] ὁρῶν εὔνοιαν k.
[e] ἄπιστον — ἐχθρόν] ἀπίστων — ἐχθρῶν S. ἀπιστῶ — ἐχθρὸν k.
[f] τὴν] καὶ τὴν k.
[g] κατέγνωτε] κατεγνώκατε Y. O. k.
[h] δακτυλοδειχτεῖτε] δακτυλοδεικτεῖτε k.
[i] ἀπαλλαγῆναι] ἀπαλλαγὴ F. Y. O. v. et correctus k.
[k] ὑμῖν οὗτος εὔνους ἐστίν] ὑμῖν οὗτός ἐστιν εὔνους F. v. εὔνους οὗτός ἐστιν ὑμῖν k.
[l] τὰ om. pr. Y.
[m] γενόμενα] γενήμενα μήτ' ἂν γενησόμενα S. O. γενόμενα μήτ' ἂν γενήμενα Y.
[n] παραλείπειν S. k. παραλιπεῖν Y. supra scr. περιλιπεῖν F.
[o] εἶναι post εἰπεῖν ponit v.
[p] γὰρ] μὲν γὰρ F. k. v.
[q] ἐξετάσαι] ἐξετάζειν k.
[r] τουτουὶ] τούτου k.
[s] τις om. pr. Y.

ἠρνεῖτο, εἰ μὲν ἐφαίνοντο αἵ τε συνθῆκαι καθ' ἃς [t] ἐδανείσατο κείμεναι καὶ οἱ τεθέντες ὅροι ἑστηκότες, τὸν ἀρνούμενον ἡγεῖσθ' ἂν ἀναιδῆ δηλονότι, εἰ δ' [u] ἀνῃρημένα [x] ταῦτα, τὸν ἐγκαλοῦντα· οὕτω ταῦτα πέφυκεν. εἰσὶ τοίνυν, ὧν Ἀριστογείτων ὀφείλει τῇ πόλει, συνθῆκαι μὲν οἱ νόμοι, καθ' οὓς ἐγγράφονται πάντες οἱ ὀφλισκάνοντες, ὅρος δ' ἡ σανὶς ἡ παρὰ τῇ θεῷ κειμένη. εἰ μὲν οὖν ἀνῄρηται [y] ταῦτα καὶ [z] ἐξαλήλιπται τὸ ὄφλημα, ἡμεῖς ληροῦμεν, μᾶλλον δὲ ψευδόμεθα· εἰ [a] δ' ἔτι ἔστι καὶ ἔσται [b] τέωσπερ ἂν ἐκτίσῃ καὶ μενεῖ, οὗτος οὐδὲν ἀληθὲς λέγει, ἀλλ' ἀδικεῖ καὶ δεινὰ ποιεῖ τὰ [c] κοινὰ δίκαια ἀφανίζειν ἐπιχειρῶν. οὐ γάρ, εἰ μὴ [d] πᾶν ὅσον ὤφλεν ὀφείλει, νῦν ἡ κρίσις [e] οὐδ' ὁ λόγος ἐστίν, [f] ἀλλ' εἰ ὀφείλει. ἢ δεινά γ' ἂν πάθοιεν οἱ [g] δραχμὴν ἐγγεγραμμένοι μόνην, εἰ, [h] διότι μικρὰ καὶ οὐδὲν [i] ἠδικήκασιν, ἰσχύσει τὸ ὀφείλειν κατ' αὐτῶν· [k] ἐὰν δέ τις μεγάλα ἠδικηκὼς [l] ᾖ, μίαν θεὶς ἢ δύο καταβολὰς ἐπίτιμος ἔσται. ἔτι τοίνυν τρία ἐστὶ τὰ ὀφλήματα, ἃ [m] ἐγγέγραπται καὶ ἐφ' οἷς ἐνδέδεικται. τὰ μὲν δὴ δύο ἐν ἀπογραφῇ πεποίηται, τὸ [n] δ' ἓν [o] οὐκ ἀπογέγραπται, ἀλλὰ βουλεύσεως τὸν Ἀλωπεκῆθεν Ἀρίστωνα [p] διώκει. ναί, φησίν· ἀδίκως γάρ [q] μ' ἐγγέγρα-

[t] ἐδανείσατο] ἐδανείσαντο S.
[u] ἀνῃρημένα] ἀνῃρημένοι F.
[x] ταῦτα om. pr. k.
[y] ταῦτα om. S.
[z] ἐξαλήλιπται] ἐξαλήλειπται S. ἐξήλειπται F.
[a] δ' ἔτι] δέ τις S. et γρ. F.
[b] τέωσπερ] ἔωσπερ O.k. et correctus Y.
[c] κοινὰ] κοινὰ καὶ O.
[d] πᾶν] τί ἂν S.
[e] οὐδ' ὁ λόγος ἐστὶν om. k. ἐστὶν solum om. S.
[f] ἀλλ' εἰ ὀφείλει in γρ. S.
[g] δραχμὴν] διὰ δραχμὴν F.Y.O. v. διὰ δραχμὴν μίαν k.
[h] διότι] δ' ὅτι F.
[i] ἠδικήκασιν] ἠδικηκόσιν k.
[k] ἐὰν] εἰ k.
[l] ᾖ O. et correctus v. om. k. vulg. ἦ.
[m] ἐγγέγραπται] γέγραπται pr. k.
[n] δ' ἓν] δ' οὖν ἓν S. in Y. litura est post δ'.
[o] οὐκ] οὐδὲ S. Y.
[p] διώκει] διώκειν S.
[q] μ' ἐγγέγραφεν] με γέγραφεν F. v.

φεν. δεῖ δή σε, ὡς ἔοικε, δίκην λαβεῖν. οὐκοῦν ὑποσχεῖν πρῶτον καὶ μεῖναι ἐν οἷς πέπονθας ἀνάγκη. ἢ τίνος λήψει δίκην; εἰ γὰρ ἔξεστί [r] σοι πάντα [s] ποιεῖν ἅπερ τοῖς 792
85 ἄλλοις, τί ἠδίκησαι; φέρε δὴ πρὸς θεῶν, κἀκεῖνο σκέψασθε. ἂν ἕλῃ τὸν Ἀριστωνα τῆς βουλεύσεως, τί ἔσται; ἐξαλειφθησεται νὴ Δία, ὁ δ' ἀντεγγραφήσεται· ταῦτα γὰρ οἱ νόμοι λέγουσι. καλῶς. πότερον οὖν ἀπὸ ταύτης 5 τῆς ἡμέρας ὀδὶ μὲν [t] ὀφειλήσει τῷ δημοσίῳ ὁ ἐξαλειφθείς, ἐκεῖνος δ' ἐπίτιμος ἔσται ὁ [u] ἐγγραφείς; ἐκ γὰρ ὧν [x] νῦν οὐδ' ἀξιοῖ, ταῦτα συμβαίνει· εἰ γὰρ ὅτ' ἐγγέγραπται μὴ ὀφειλει, ἐπειδὰν ἐξαλειφθῇ, [y] ὀφειλήσει [z] δηλονότι. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλ' ὅταν ἐξα- 10
86 λειφθῇ, τοτ' οὐκ [a] ὀφειλήσει. οὐκοῦν νῦν ὀφείλει. τί δ'; [b] ἂν αὐτὸν ἀποφύγῃ, παρὰ τοῦ κομιεῖται [c] ταῦθ' ἡ πόλις, ἃ νῦν οὐκ ἔχον [d] οὗτος ποιεῖ; πόθεν δ', οἷς οὗτος θανάτου τιμᾶται καὶ δεσμοῦ [e] περιὼν ἐν τῷ δικαστηρίῳ, οἱ μὲν τας ψυχὰς οἱ δὲ τὸ μὴ δεινὰ πεπονθέναι κομιοῦνται; ᾧ 15
γὰρ οὐδὲ τῶν ἴσων οὐδὲ τῶν ἐγκυκλίων δικαίων μετουσίαν διδοασιν οἱ νόμοι, οὗτος τῶν ἀνηκέστων ἑτέροις αἴτιος γίγνεται, οὐκ ὀρθῶς οὐδὲ πολιτικῶς οὐδ' ὡς συμφέρει [γι-
87 γνομένων τούτων.] ἀλλ' [f] ἔγωγε ταῦθ' ὁρῶν θαυμάζω, [g] τὸ 20
τἄνω κάτω [h] γεγενῆσθαι τί ποτ' εἴεσθ' εἶναι. ἐὰν ἡ γῆ

[r] σοι om. v.
[s] ποιεῖν om. v. in margine habet F.
[t] ὀφειλήσει] ὀφλήσει F. v. et margo Y.
[u] ἐγγραφείς] ἐγγραφθεὶς v.
[x] νῦν] νυνὶ O. k.
[y] ὀφειλήσει] ὀφλήσει F. τότε ὀφειλήσει k.
[z] δηλονότι—οὐκ ὀφειλήσει om. pr. k.
[a] ὀφειλήσει] ὀφλήσει v. ὀφείλει F. et γρ. Y.
[b] ἂν] ἐὰν O.
[c] ταῦθ' om. S.
[d] οὗτος] οὗτος αὐτῷ F. v.
[e] περιὼν] περιὼν F. et correctus v.
[f] ἔγωγε] ἐγὼ F. v.
[g] τὸ τἄνω] τὸ δ' ἄνω Y. et correctus v. τό, τ' ἄνω k.
[h] γεγενῆσθαι] γίγνεσθαι v. γίνεσθαι F.

μὲν ἄνω, τὰ δ' ἄστρα κάτω γένηται; οὐκ ἔστι τοῦτο γενέσθαι, μηδὲ γένοιτο. ἀλλ' ὅταν, οἷς ἐκ τῶν νόμων μὴ ἔξεστιν, ἐκ τῶν ὑμετέρων βουλήσεων ἐξῇ, ὅταν ἡ μὲν πονηρία τιμᾶται, τὰ χρηστὰ δ' ἀπορρίπτηται, καὶ [i] ὅταν τὸ δίκαιον καὶ τὸ συμφέρον ἡττᾶται τοῦ φθόνου, τότε ἄνω [k] καὶ κάτω πάντα χρὴ νομίζειν τετράφθαι.

88 Ἤδη τοίνυν τινὰς εἶδον τῶν ἀγωνιζομένων, οἳ τοῖς πράγμασιν αὐτοῖς ἁλισκόμενοι, καὶ [l] οὐκ ἔχοντες ὡς οὐκ ἀδικοῦσι δεῖξαι, οἱ μὲν εἰς τὴν τοῦ βίου μετριότητα 793
καὶ σωφροσύνην [m] κατέφυγον, οἱ δ' εἰς τὰ τῶν προγόνων ἔργα καὶ λειτουργίας, οἱ δ' εἰς ἕτερα τοιαῦτα δι' ὧν εἰς ἔλεον καὶ φιλανθρωπίαν τοὺς δικάζοντας ἤγαγον. τούτῳ δ' οὐδένα [n] ὁρῶ τῶν τόπων τούτων βάσιμον ὄντα, ἀλλὰ
89 πάντα ἀπόκρημνα, φάραγγας, βάραθρα. τί γὰρ ὡς ἀληθῶς ἐρεῖ; ὧν ὁ [o] πατήρ [p] τι πεποίηκε νὴ Δία. ἀλλὰ κατεγνώκαθ' ὑμεῖς ἐν [q] τουτοισὶ τοῖς δικαστηρίοις [r] αὐτοῦ θάνατον, [s] ὡς πονηροῦ δηλονότι καὶ ἀξίου τεθνάναι. ἀλλὰ νὴ Δία, εἰ ταῦτ' ἐστὶν αὐτῷ δυσχερῆ τὰ περὶ τὸν πατέρα, εἰς τὸν ἑαυτοῦ βίον καταφεύξεται ὡς σώφρονα καὶ μέτριον. ποῖον; ὃν [t] ποῦ βεβίωκεν; [u] ὃν μὲν γὰρ [x] ἅπαντες
90 ὑμεῖς ἑωράκατε, οὐκ ἔστι τοιοῦτος. ἀλλ' [y] ὦ τάν, εἰς τὰς λειτουργίας ἀποχωρήσεται. τὰς ποτε ἢ ποῦ γεγονυίας; τὰς τοῦ πατρός; [z] ἀλλ' οὐκ εἰσίν. ἀλλὰ τὰς ἑαυτοῦ; φάσεις, ἀπαγωγάς, ἐνδείξεις, οὐχὶ λειτουργίας εὑρήσετε.

[i] ὅταν τὸ] καὶ ὅταν τὸ k.
[k] καὶ post ἄνω om. k.
[l] οὐκ ante ἔχοντες om. v.
[m] κατέφυγον] κατέφευγον v.
[n] ὁρῶ om. v.
[o] πατὴρ] πατὴρ αὐτοῦ F.Y.O.v.
[p] τι om. k.
[q] τουτοισὶ] τούτοις F. v.
[r] αὐτοῦ om. v.
[s] ὡς om. F.
[t] ποῦ] οὐ F. et pr. v. et γρ. Y.
[u] ὃν μὲν] ὃ μὲν O.
[x] ἅπαντες] πάντες F.v.
[y] ὦ τάν] ὅταν S.
[z] ἀλλ' οὐκ εἰσίν om. O.

ἀλλὰ νὴ Δία [a] καὶ χωρὶς [b] τούτων συγγενεῖς πολλοὶ καὶ καλοὶ [c] κἀγαθοὶ παραστάντες αὐτὸν ἐξαιτήσονται. ἀλλ' οὔτ' εἰσὶν οὔτ' ἐγένοντο πώποτε· πῶς γὰρ τῷ γε μηδ' 20
91 ἐλευθέρῳ; πλὴν ἔστι νὴ Δία, ἔστιν ἀδελφός τίς οὗτος αὐτῷ, ὁ παρὼν καὶ τὴν καλὴν δίκην [d] αὐτῷ λαχών. περὶ οὗ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; [e] ἀδελφὸς δ' ἐστὶ [f] τούτου [g] ὁμοπάτριος καὶ ὁμομήτριος καὶ πρὸς τοῖς ἄλλοις κακοῖς δίδυμος. [h] οὑτοσί, [i] καὶ τὰ μὲν [k] ἄλλα σιωπῶ· 25
ἀλλ' ἐφ' οἷς ὑμεῖς τὴν μιαρὰν [l] Θεοδωρίδα, τὴν [m] Λημνίαν, τὴν φαρμακίδα, καὶ αὐτὴν καὶ τὸ γένος ἅπαν [n] ἀπεκτεί-
92 νατε, ταῦτα λαβὼν τὰ φάρμακα καὶ τὰς ἐπῳδὰς παρὰ τῆς θεραπαίνης αὐτῆς, ἣ κατ' ἐκείνης τότ' ἐμήνυσεν, ἐξ 794
ἧσπερ ὁ βάσκανος [o] οὑτοσὶ πεπαιδοποίηται, μαγγανεύει καὶ φενακίζει, καὶ τοὺς ἐπιλήπτους φησὶν ἰᾶσθαι αὐτὸς ὢν ἐπίληπτος πάσῃ πονηρίᾳ. οὗτος οὖν αὐτὸν ἐξαιτήσε- 5
ται ὁ φαρμακός, ὁ λοιμός, ὃν οἰωνίσαιτ' ἄν τις μᾶλλον ἰδὼν ἢ προσειπεῖν βούλοιτο, ὃς αὐτὸς [p] αὐτῷ [q] θανάτου τετίμηκεν, ὅτε τοιαύτην δίκην ἔλαχεν.

93 Τί οὖν λοιπόν, ὦ ἄνδρες Ἀθηναῖοι; ἃ κοινὰ νὴ Δία πᾶσιν ὑπάρχει τοῖς ἀγωνιζομένοις παρὰ τῆς τῶν ἄλλων ὑμῶν φύσεως, καὶ οὐδεὶς αὐτὸς ἑαυτῷ ταῦτα φέρει τῶν 10
κρινομένων, ἀλλ' ὑμῶν ἕκαστος ἔχων οἴκοθεν ἔρχεται, ἔλεον, συγγνώμην, [r] φιλανθρωπίαν. ἀλλὰ τούτων γ' [s] οὔθ'

[a] καὶ ante χωρὶς om. k.
[b] τούτων] τούτου F. v.
[c] κἀγαθοὶ] κἀγαθοποιοὶ v.
[d] αὐτῷ λαχὼν] λαχὼν αὐτῷ Y. O.
[e] ἀδελφὸς δ'] ἀλλ' ἀδελφὸς γ' k.
[f] τούτου] τοῦδε v. τούτῳ k.
[g] ὁμοπάτριος καὶ ὁμομήτριος] ὁμομήτριος καὶ ὁμοπάτριος S. Y. O. k.
[h] οὑτοσί] οὗτος v.
[i] καὶ om. F. k. v.
[k] ἄλλα om. pr. k.
[l] Θεοδωρίδα] θεωρίδα S. Y. O. et correctus k.
[m] Λημνίαν] λημνίδα F.
[n] ἀπεκτείνατε] ἀπεκτείνητε O.
[o] οὑτοσί] οὗτος S.
[p] αὐτῷ] αὐτοῦ F. v. αυτοῦ S. Y.
[q] θανάτου] θανάτῳ v.
[r] φιλανθρωπίαν] καὶ φιλανθρωπίαν F. v.
[s] οὔθ'—οὔτε] οὐδ'—οὐδὲ F. v.

94 ὅσιον οὔτε θέμις τῷ μιαρῷ τούτῳ μεταδοῦναι. διὰ τί; ὅτι, ὃν ἂν αὐτὸς ἕκαστος νόμον τῇ φύσει [t] κατὰ πάντων ἔχῃ, τούτου τυγχάνειν παρ' ἑκάστου δίκαιός ἐστι καὶ αὐτός. τίνα οὖν νόμον ὑμῖν ἢ τίνα βούλησιν ἔχειν Ἀριστογείτων κατὰ πάντων δοκεῖ; [u] πότερον εὐτυχοῦντας ὁρᾶν καὶ ἐν εὐδαιμονίᾳ καὶ χρηστῇ δόξῃ διάγοντας; καὶ τί ποιῶν
95 ζήσεται; τὰ γὰρ τῶν ἄλλων κακὰ τοῦτον τρέφει. οὐκοῦν ἐν κρίσεσι καὶ [x] ἀγῶσι καὶ πονηραῖς αἰτίαις ἅπαντας εἶναι βούλεται· [y] ταῦτα [z] γεωργεῖ, ταῦτα ἐργάζεται. ὁ δὲ [a] δὴ παμπόνηρος [b] ἄνθρωπος ποῖός τις, [c] ὦ ἄνδρες Ἀθηναῖοι, καλοῖτ' ἂν δικαίως; ὁ τρισκατάρατος, ὁ κοινὸς ἐχθρός, ὁ πᾶσι δυσμενής, ὅτῳ μήτε γῆ [d] φέροι καρπὸν μήτ' ἀποθανόντα δέξαιτο; οὐχ ὁ τοιοῦτος; [e] ἔγωγε
96 νομίζω. τίνος δὲ συγγνώμης ἢ ποίων ἐλέων οἱ σεσυκοφαντημένοι [f] τετυχήκασι παρὰ τούτου, οἷς οὗτος θανάτου πᾶσιν ἐτιμᾶτο ἐν τουτοισὶ τοῖς δικαστηρίοις, καὶ ταῦτα 795
πρὶν τὴν [g] πρώτην ψῆφον διενεχθῆναι; [h] καὶ ἐφ' οἷς ὁ βάσκανος οὗτος [i] οὕτως ὠμῶς καὶ πικρῶς εἶχε, τούτους ὑμῶν οἱ λαχόντες, [k] ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιοῦντες [l] ἔσωζον, [m] καὶ τοὺς ὑπὸ τούτου συκοφαντουμένους ἀπεψηφίζοντο, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων οὐ
97 μετεδίδοσαν τούτῳ. ἀλλ' ἴγε τούτου πικρία καὶ μιαι-

[t] κατὰ πάντων ἔχῃ] δῆλος ᾖ καθ' ἁπάντων ἔχων F. v. δῆλος ᾖ κατὰ πάντων ἔχων k.
[u] πότερον] πότερ' k. v.
[x] ἀγῶσι] ἐν ἀγῶσι S. Y.
[y] ταῦτα—ἐργάζεται in margine ponunt S. Y.
[z] γεωργεῖ] γεωργεῖται margo S.
[a] δὴ om. Y. k.
[b] ἄνθρωπος om. S. k.
[c] ὦ om. k. v. ζῶντι
[d] φέροι καρπὸν] φέροι καρπὸν S. καρπὸν φέροι F. v.
[e] ἔγωγε] ἐγὼ k.
[f] τετυχήκασι παρὰ τούτου] παρ' αὐτοῦ τετυχήκασιν F. v.
[g] πρώτην om. O.
[h] καὶ] κἂν correctus k.
[i] οὕτως om. k.
[k] ὦ om. O. k. v.
[l] ἔσωζον] ἐσώζοντο pr. k.
[m] καὶ post συκοφαντουμένους ponunt F. k. v.

φονία καὶ ὠμότης παρῆν καὶ ἐξητάζετο. οὐχὶ παιδία, οὐχὶ μητέρας τῶν χρινομένων ἐνίων γραῦς [n] παρεστώσας [o] ὁρῶν οὗτος ἠλέει. εἶτα [p] σοὶ συγγνώμη; πόθεν [q] ἢ παρὰ τοῦ; ἢ τοῖς σοῖς παισὶν ἔλεος; πολλοῦ γε καὶ δεῖ. σὺ τὸν εἰς ταῦτα ἔλεον [r] προδέδωκας, [s] Ἀριστογείτων, μᾶλλον δ' ἀνήρηκας ὅλως. μὴ [t] δὴ πρὸς οὓς αὐτὸς ἔχωσας λιμένας καὶ προβόλων [u] ἐνέπλησας, πρὸς τούτους προσορμιζου· οὐ γὰρ δίκαιον.

98 Εἰ τοίνυν [x] ἀκούσαιτε [y] καὶ τὰς βλασφημίας ἃς κατὰ τὴν ἀγορὰν περιὼν καθ' ὑμῶν ἔλεγεν, ἔτι μᾶλλον ἂν αὐτὸν [z] μισήσαιτε, καὶ [a] δικαίως. φησὶ γὰρ πολλοὺς ὀφείλειν τῷ δημοσίῳ, τούτους [b] δ' ἅπαντας [c] ὁμοίους ὑπάρχειν ἑαυτῷ. ἐγὼ δὲ πολλοὺς μὲν εἶναι τοὺς ἠτυχηκότας, εἰ καὶ δύ' εἰσὶ [d] μόνοι, συγχωρῶ· παντὶ γὰρ πλείους εἰσὶ τοῦ δέοντος, καὶ οὐδένα τῶν [e] ἄλλων ὀφείλειν
99 ἔδει. οὐ μέντοι μὰ τοὺς θεοὺς τούτῳ γ' ὑπάρχειν [f] ὁμοίους οἶομαι τούτους, οὐδὲ πολλῷ δεῖ, ἀλλὰ [g] καὶ τοὐναντίον. οὕτωσὶ δὲ λογίζεσθε. καὶ μή με [h] ὑπολάβητε, [i] ὦ ἄνδρες Ἀθηναῖοι, ὡς πρὸς ὀφείλοντας ὑμᾶς τῷ δημοσίῳ διαλέγεσθαι· οὔτε γὰρ ἔστι [k] μήτε γένοιτο τοῦτο, οὔτ' ἐγὼ νομίζω. ἀλλ' εἴ τῳ τις ἄρα ἢ φίλος ἢ γνώριμός ἐστιν ἐν

[n] παρεστώσας] προσεστηκυίας F. v.
[o] ὁρῶν om. k.
[p] σοὶ] σου pr. k.
[q] ἢ om. v.
[r] προδέδωκας] ἔδωκας pr. k.
[s] Ἀριστογείτων Y. O. k. v. vulg. Ἀριστόγειτον.
[t] δὴ] δὲ k, v.
[u] ἐνέπλησας] ἀνέπλησας S. Y. ἔπλησας O.
[x] ἀκούσαιτε Reiskius: ἀκούετε pr. k. ἀκούσετε reliqui.
[y] καὶ τὰς] καὶ O. τὰς F. v.
[z] μισήσαιτε] μισήσετε S. et omisso ἂν pr. k. μισήσατε O.
[a] δικαίως] δικαίως ἀποκτείναιτε γρ. Y. δικαίως ἀποκτείνητε γρ. F. S.
[b] δ' ἅπαντας] δὲ πάντας F. v.
[c] ὁμοίους ὑπάρχειν] ὑπάρχειν ὁμοίους F. k. v.
[d] μόνοι] μόνους O.
[e] ἄλλων] ἄλλων πλὴν τούτων v.
[f] ὁμοίους οἶμαι τούτους] οἶμαι τούτους ὁμοίους F. v.
[g] καὶ τοὐναντίον] τἀν τοὐναντίον F. v. τοὐναντίον k.
[h] ὑπολάβητε] ὑπολάβοιτε k.
[i] ὦ om. k. v.
[k] μήτε] μὴ F. et pr. k.

τούτοις, ὡς ὑπὲρ τούτου τοῦτον προσήκει μισεῖν, τοῦτο 796
βούλομαι δεῖξαι. πρῶτον μὲν ὅτι ἀνθρώπους ἐπιεικεῖς,
οἷς [l] ἐγγύαι καὶ φιλανθρωπίαι γίγνονται καὶ ὀφλήματ' [m] ἴδια, οἷς οὐ πρόσεστι κοινὰ ἀδικήματα, ἠτυχηκέναι δὲ συμβέβηκεν, εἰς τὴν ὁμοίαν τάξιν αὐτῷ καὶ βλασφημίαν ἄγει, οὐκ ὀρθῶς οὐδὲ προσηκόντως. οὐ γὰρ [n] ὅμοιόν ἐστιν, [o] Ἀριστογεῖτον, οὐδὲ πολλοῦ δεῖ, γράψαντά σε τῶν πολιτῶν τρεῖς ἀκρίτους ἀποκτεῖναι [p] γραφὴν ἀλῶναι παρανόμων, καὶ δέον [q] σε τεθνάναι ἐπὶ ταύτῃ τιμήματος τυχεῖν, καὶ φίλον ἐγγυησάμενον μὴ δύνασθαι ζημίαν ἀ-
προσδόκητον ἐνεγκεῖν· οὐχ ὅμοιον, οὔ. ἔπειθ' ὅτι τὴν κοινὴν φιλανθρωπίαν, ἣν ὑμεῖς [r] ἔχετ' ἐκ φύσεως πρὸς ἀλλήλους, οὗτος ἀναιρεῖ καὶ διαφθείρει [s] τὸ καθ' αὑτόν, [t] ἴδοιτ' ἂν ἐντεῦθεν. ὑμεῖς γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τῇ τῆς φύσεως [u] πρὸς ἀλλήλους, ὅπερ εἶπον, χρώμενοι φιλανθρωπίᾳ, ὥσπερ αἱ συγγένειαι τὰς ἰδίας οἰκοῦσιν οἰκίας, οὕτω τὴν
πόλιν οἰκεῖτε δημοσίᾳ. πῶς οὖν ἐκεῖναι; ὅπου πατήρ ἐστι καὶ υἱεῖς ἄνδρες, τυχὸν δὲ καὶ τούτων παῖδες, ἐν-
ταῦθ' ἀνάγκη πολλὰς καὶ μηδὲν [x] ὁμοίας εἶναι βουλήσεις· οὐ γὰρ τῶν αὐτῶν οὔτε λόγων οὔτ' ἔργων ἐστὶν ἡ νεότης τῷ γήρᾳ. ἀλλ' ὅμως οἵ [y] τε νέοι πάνθ' ὅσ' ἂν πράττωσιν, ἄνπερ ὦσι μέτριοι, οὕτω ποιοῦσιν ὥστε μάλιστα μὲν πειρᾶσθαι λανθάνειν, εἰ δὲ μή, φανεροί γ' εἶ-
ναι τοῦτο βουλόμενοι ποιεῖν· οἵ τε πρεσβύτεροι πάλιν, ἂν

[l] ἐγγύαι] αἱ ἐγγύαι F. v.
[m] ἴδια] δίκαια γρ. S Y.
[n] ὅμοιόν ἐστιν] ἐστιν ὅμοιον F.v.k.
[o] Ἀριστογεῖτον] ἀριστογείτων S. et pr. v. ἀριστόγειτον F. k.
[p] γραφὴν ἀλῶναι] ἀλῶναι γραφὴν v.
[q] σε τεθνάναι ἐπὶ ταύτῃ] ἐπὶ ταύτῃ σε τεθνάναι k. σε ἐπὶ ταύτῃ τεθνάναι F. v.
[r] ἔχετ' ἐκ φύσεως] ἐκ φύσεως ἔχετε v.
[s] τὸ καθ'—ἐντεῦθεν in γρ. S. τὸ καθ' αὑτόν in margine k.
[t] ἴδοιτ'] ἴδοιτε δ' k. et γρ. S.
[u] πρὸς ἀλλήλους om. F. post χρώμενοι ponit v.
[x] ὁμοίας] ὁμοίους O.
[y] τε om. v.

ἄρ' ἴδωσιν ἢ δαπάνην ἢ πότον ἢ παιδιὰν πλείω τῆς μετρίας, οὕτω ταῦθ' ὁρῶσιν ὥστε μὴ δοκεῖν ἐωρακέναι. ἐκ δὲ τούτων γίγνεταί τε πάνθ' ἃ φέρουσιν αἱ φύσεις, καὶ
103 καλῶς γίγνεται. τὸν αὐτὸν τοίνυν [a] τρόπον [a] καὶ ὑμεῖς, 797
[b] ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πόλιν οἰκεῖτε, συγγενικῶς καὶ φιλανθρώπως, οἱ μὲν οὕτως ὁρῶντες τὰ τῶν ἠτυχηκότων ἔργα [c] ὥστε, τὸ τῆς παροιμίας, [d] ὁρῶντας μὴ ὁρᾶν καὶ 5
ἀκούοντας μὴ ἀκούειν, οἱ δ' οὕτω ποιοῦντες ἃ πράττουσιν, ὥστ' εἶναι φανεροὶ [e] καὶ φυλαττόμενοι καὶ αἰσχυνόμενοι. ἐκ δὲ τούτων ἡ κοινὴ [f] καὶ πάντων τῶν ἀγαθῶν αἰτία τῇ
104 πόλει μένει καὶ συνέστηκεν ὁμόνοια. ταῦτα τοίνυν Ἀριστογείτων τὰ καλῶς οὕτω πεπηγότα τῇ φύσει καὶ τοῖς 10
ἤθεσι τοῖς [g] ὑμετέροις κινεῖ καὶ ἀναιρεῖ καὶ [h] μεταῤῥίπτει, καὶ ἃ τῶν ἄλλων [i] τῶν ἠτυχηκότων ἕκαστος ἀψοφητὶ ποιεῖ, ταῦθ' οὗτος μόνον οὐ κώδωνας ἐξαψάμενος διαπράττεται. οὐ πρύτανις, οὐ κῆρυξ, οὐκ ἐπιστάτης, [k] οὐχ 15
105 ἡ προεδρεύουσα φυλὴ τούτου κρατεῖν δύναται. ἐπειδὰν οὖν τις ὑμῶν ἐφ' οἷς οὗτος ἀσελγαίνει λυπηθεὶς [l] εἴπῃ "τουτονὶ [m] δὲ ταῦτα ποιεῖν, καὶ ταῦτ' ὀφείλοντα τῷ δημοσίῳ," τί δ'; οὐ καὶ ὁ δεῖνα, φησίν, ὀφείλει; τὸν ἐχθρὸν [n] ἕκαστος ὑπειπὼν τὸν ἑαυτοῦ. ὥστε τὴν πονηρίαν τὴν τού- 20
του αἰτίαν εἶναι τῶν βλασφημιῶν, αἱ περὶ τῶν οὐχ ὁμοίων τούτῳ διὰ τοῦτον γίγνονται.

[a] τρόπον] τρόπον τοῦτον F. v.
[a] καὶ om. Y. O.
[b] ὦ om. v.
[c] ὥστε] ὅπερ F. et pr. v. ὥστερ S. O. et correctus v.
[d] ὁρῶντας—ἀκούοντας] ὁρῶντες—ἀκούοντες F. ὁρῶντες—ἀκούοντες v.
[e] καὶ ante φυλαττόμενοι om. F. O. v.
[f] καὶ ante πάντων om. O.
[g] ὑμετέροις] ὑμετέρους k.
[h] μεταῤῥίπτει F. Y. O. v. vulg. μεταῤῥίπτει. S. ut plerumque, accentu caret.
[i] τῶν post ἄλλων om. O.
[k] οὐχ ἡ] οὐχὶ v.
[l] εἴπῃ post ποιεῖν ponunt F. v. k.
[m] δὲ om. F. S. Y. O. v.
[n] ἕκαστος] ἕκαστον S. Y. O. v.

106 Λοιπὸν τοίνυν ἐστίν, [o] ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀπαλλαγῆναι βουλομένοις τούτου, [p] ἀδίκημα σαφὲς καὶ ἐναργὲς ἔχοντας ἐκ τῶν νόμων μάλιστα μὲν [q] αὐτῷ θανάτου τιμῆσαι, εἰ δὲ μή, τοσοῦτον [r] ἐπιθεῖναι τίμημα χρημάτων, ὅσον [s] μὴ δυνήσεται φέρειν· ἄλλη γὰρ οὐκ ἔστιν ἀπαλλαγὴ τού-
107 του, σαφῶς ἐπίστασθε. καὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν μὲν ἄλλων ἀνθρώπων ἄν τις [t] ἴδοι τοὺς μὲν βελτίστους καὶ 798
μετριωτάτους αὐτῇ τῇ φύσει πάντα ποιοῦντας ἐκόντας ἃ δεῖ, τοὺς δὲ χείρους μὲν τούτων, ἔξω δὲ τοῦ πονηροὺς ἄγαν κληθῆναι, τῷ φόβῳ τῷ πρὸς ὑμᾶς καὶ [u] τῷ τοῖς αἰσχροῖς καὶ λόγοις καὶ ὀνείδεσιν ἀλγεῖν εὐλαβουμένους ἐξαμαρτά-
νειν· τοὺς δὲ πονηροτάτους καὶ [x] τοὺς ἐξαγίστους ὀνομα-
108 ζομένους τάς [y] γε συμφορὰς σωφρονίζειν λέγουσιν. οὗτοσὶ τοίνυν Ἀριστογείτων τοσοῦτον ὑπερῆρκεν [z] ἅπαντας ἀνθρώπους πονηρίᾳ, ὥστ' [a] οὐδὲ παθὼν ἐνουθετήθη, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς ἀδικήμασι καὶ πλεονεκτήμασι πάλιν εἴληπται. καὶ [b] τοσούτῳ πλείονος ὀργῆς ἄξιός ἐστι νῦν ἢ πρότερον, ὅσῳ τότε μὲν γράφειν [c] μόνον ᾤετο δεῖν παρὰ τοὺς νόμους, νυνὶ δὲ [d] πάντα ποιεῖν, αἰτιᾶσθαι, λέγειν, διαβάλλειν, [[e] ἄγειν,] βλασφημεῖν, θανάτου τιμᾶσθαι, εἰσαγγέλλειν, καλολογεῖν τοὺς ἐπιτίμους αὐτὸς ὀφείλων τῷ δημοσίῳ·
109 τούτου γὰρ οὐδέν ἐστι δεινότερον. τὸ μὲν οὖν νουθετεῖν τοῦτον μανία· ὃς γάρ, οἷς ὁ δῆμος ἅπας τοὺς ἐνοχλοῦντας ἑαυτὸν νουθετεῖ θορύβοις, μηδὲ πώποθ' ὑπεῖξε μηδὲ δι-

[o] ὦ om. k. v.
[p] ἀδίκημα] παράδειγμα F. v.
[q] αὐτῷ θανάτου] θανάτου αὐτῷ F. v.
[r] ἐπιθεῖναι] ἀναθεῖναι S. ἐπιαναθεῖναι Y.
[s] μὴ] οὐ F. v.
[t] ἴδοι] ἴδῃ v.
[u] τῷ τοῖς] τὸ τοῖς k.
[x] τοὺς ante ἐξαγίστους om. S. Y. O. k.
[y] γε om. S. Y. τε v.
[z] ἅπαντας] πάντας F. k. v.
[a] οὐδὲ] οὔτε k.
[b] τοσούτῳ] τοσοῦτο k.
[c] μόνον] νόμον v.
[d] πάντα] ταῦτα F. v. et γρ. Y.
[e] ἄγειν om. S. k. ἀπάγειν margo k.

τράπη, ταχύ γ' ἂν [f] φροντίσειε τοῦ παρ' ἑνὸς λόγου. ἀνίατον, ἀνίατον, ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμά ἐστι [g] τὸ
110 [h] τούτου. δεῖ δὴ πάντας, ὥσπερ [i] οἱ ἰατροί, ὅταν καρκίνον ἢ φαγέδαιναν ἢ τῶν ἄλλων ἀνιάτων [k] τι κακῶν ἴδωσιν, ἀπέκαυσαν ἢ ὅλως ἀπέκοψαν, οὕτω τοῦτο τὸ θηρίον ὑμᾶς ἐξορίσαι, ῥίψαι ἐκ τῆς πόλεως, ἀνελεῖν, μὴ περιμείναντάς τι παθεῖν, ὃ μήτ' ἰδίᾳ μήτε δημοσίᾳ γένοιτο,
111 ἀλλὰ προευλαβηθέντας. ὠδὶ γὰρ ὁρᾶτε. οὐδένα πώποτ' [l] ἴσως ὑμῶν ἔχις ἔδακεν οὐδὲ φαλάγγιον, [m] μηδὲ [n] δάκοι· ἀλλ' ὅμως [o] ἅπαντα τὰ τοιαῦτα [p] ἐπὰν ἴδητε, [q] εὐθὺς 799
[r] ἀποκτείνετε. τὸν αὐτὸν τοίνυν τρόπον, [s] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὅταν συκοφάντην καὶ πικρὸν καὶ ἔχιν τὴν φύσιν ἀνθρωπον ἴδητε, μὴ πότε ἕκαστον ὑμῶν δήξεται περι- 5
μένετε, ἀλλ' ὁ προστυχὼν [t] ἀεὶ [u] τιμωρείσθω.
112 Λυκοῦργος μὲν οὖν τὴν Ἀθηνᾶν [x] ἐμαρτύρετο καὶ τὴν μητέρα τῶν θεῶν, καὶ καλῶς [y] ἐποίει. ἐγὼ δὲ τοὺς προγόνους τοὺς ὑμετέρους καὶ τὰς ἀρετὰς [z] τὰς ἐκείνων ἀναλαλῶ, ὧν οὐδ' [a] ὁ χρόνος τὴν μνήμην [b] ἠφάνικεν, εἰκότως· 10
ἐπολιτεύοντο γὰρ οὐχὶ τοῖς πονηροτάτοις καὶ [c] συκοφάνταις [d] συνεργεῖν διδοντες ἑαυτούς, οὐδὲ τὸν ἐντὸς τειχους φθόνον ἀσκοῦντες ἐπ' ἀλλήλους, ἀλλὰ καὶ τῶν ῥητόρων

[f] φροντίσειε] φροντίσειέ τι F.v.k.
[g] τὸ post ἔστι om. k.
[h] τούτου] τοῦδε v.
[i] οἱ om. pr. v.
[k] τι om. S. Y. O. k.
[l] ἴσως ὑμῶν] ὑμῶν ἴσως F. v.
[m] μηδὲ] μήτε F. S. O.
[n] δάκοι] δάκοι ποτέ F. O. v.
[o] ἅπαντα] πάντα F. v.
[p] ἐπὰν] ἂν k.
[q] εὐθὺς in γρ. S.
[r] ἀποκτείνετε] ἀποκτεινεῖτε F.
[s] ὦ om. k. v.
[t] ἀεὶ S. Y. O. k. vulg. αἰεί.
[u] τιμωρείσθω] τιμωρησάσθω Y. O.
[x] ἐμαρτύρετο] ἐμαρτύρατο v. ἐμαρτύρατο k.
[y] ἐποίει] γ' ἐποίει F. O. v.
[z] τὰς post ἀρετὰς om. k.
[a] ὁ om. F. v.
[b] ἠφάνικεν] ἠφάνισεν v.
[c] συκοφάνταις] τοῖς συκοφάνταις F. k.
[d] συνεργεῖν] συνερεῖν k.

καὶ τῶν ἰδιωτῶν τοὺς μὲν σώφρονας καὶ χρηστοὺς τιμῶντες, τοὺς δὲ πονηροὺς καὶ θρασεῖς μισοῦντες καὶ κολάζοντες. ἐξ ὧν [e] πάντες ἀθληταὶ τῶν καλῶν ἔργων ἐγένοντο.

113 Ἓν δ' εἰπὼν ἔτι παύσασθαι βούλομαι. ἔξιτε αὐτίκα δὴ μάλα ἐκ τοῦ δικαστηρίου, θεωρήσουσι δ' ὑμᾶς οἱ [f] περιεστηκότες καὶ ξένοι καὶ πολῖται, καὶ κατ' ἄνδρα [g] εἰς ἕκαστον τὸν παριόντα βλέψονται καὶ φυσιογνωμονήσουσι τοὺς [h] ἀποψηφισαμένους. τί οὖν [i] ἐρεῖτε, [k] ὦ ἄνδρες Ἀθηναῖοι, εἰ προέμενοι τοὺς νόμους ἔξιτε; ποίοις [l] προσώποις ἢ τίσιν ὀφθαλμοῖς πρὸς ἕκαστον τούτων [m] ἀντιβλέψετε;

114 πῶς δ' εἰς τὸ μητρῷον βαδιεῖσθε, ἄν τι βούλησθε; οὐ γὰρ δήπου [n] εἷς καθ' ἕνα ὑμῶν ἕκαστος [o] ὥσπερ ἐπὶ κυρίους τοὺς νόμους [p] πορεύσεται, εἰ [q] νῦν μὴ βεβαιώσαντες αὐτοὺς ἔξιτε ἅπαντες κοινῇ. πῶς δὲ ταῖς νουμηνίαις [r] εἰς τὴν ἀκρόπολιν ἀναβαίνοντες τἀγαθὰ τῇ πόλει διδόναι καὶ ἕκαστος ἑαυτῷ τοῖς θεοῖς εὔξεται, ὅταν ὄντος τούτου [s] ἐκεῖ καὶ τῷ [t] πατρὸς αὐτοῦ τοῦ χρηστοῦ τἀναντία τοῖς ὅρκοις

115 καὶ τοῖς ἐκεῖ γράμμασιν ἐγνωκότες [u] ἦτε; [x] ἢ τί ἐρεῖτε, [y] ὦ ἄνδρες Ἀθηναῖοι, τί ἐρεῖτε, ἄν τις ὑμᾶς ἐρωτᾷ γνωρίσας τοὺς [z] ἀποψηφισαμένους; τί φήσετε; ἀρέσκειν τοῦτον ὑμῖν; καὶ τίς ὁ τοῦτο τολμήσων εἰπεῖν; τίς ὁ τῆς τούτου πονηρίας μετ' ἀρᾶς καὶ κακῆς δόξης κληρονομεῖν

[e] πάντες] ἅπαντες k.
[f] περιεστηκότες] προεστηκότες v.
[g] εἰς ἕκαστον τὸν] ἕκαστος S. Y. O. εἷς ἕκαστος τὸν correctus v. εἰς ἕκαστον k.
[h] ἀποψηφισαμένους] ἀπεψηφισμένους k.
[i] ἐρεῖτε] ἐρεῖτε τί ἐρεῖτε k.
[k] ὦ om. k. v.
[l] προσώποις in γρ. S. Y.
[m] ἀντιβλέψετε] ἀντιβλέψεσθε F. v.
[n] εἷς] γε k. om. F. v.
[o] ὥσπερ] ὡς k.
[p] πορεύσεται] πορεύεται k.
[q] νῦν] τοίνυν Y.
[r] εἰς ante ἀκρόπολιν om. pr. k.
[s] ἐκεῖ om. S.
[t] πατρὸς] ἀδελφοῦ correctus k.
[u] ἦτε om. pr. v.
[x] ἢ om. S. k. v.
[y] ὦ om. O. k. v.
[z] ἀποψηφισαμένους] ἀπεψηφισμένους S. Y. O. k.

[a] βουλησόμενος; ἀλλ' οὐκ αὐτὸς [b] ἕκαστος [c] ἀποψηφί- 10
σασθαι; οὐκοῦν [d] καταράσεσθε τοῖς [e] ἀποψηφισαμένοις,
τοῦτο [f] τὸ πιστὸν [g] ἕκαστος διδοὺς ὡς οὐκ αὐτὸς οὗτός
116 ἐστι. καὶ τί δεῖ ταῦτα ποιεῖν, ἐξὸν εὐφημεῖν καὶ ἅπαν-
τας [h] ἅπασι πάντα τἀγαθὰ εὔχεσθαι, καὶ ὑμᾶς ὑμῖν
αὐτοῖς καὶ τοὺς ἄλλους Ἀθηναίους ἅπαντας ὑμῖν, προσ- 15
θήσω δὲ καὶ τοὺς ξένους καὶ παῖδας καὶ γυναῖκας;
ἐφῖκται γάρ, [i] ἐφῖκται πάντων ἡ τούτου κακοπραγμο-
σύνη, [k] καὶ πᾶσι βουλομένοις ἐστὶν ἀπαλλαγῆναι τῆς
τούτου πονηρίας καὶ δίκην δεδωκότα [l] αὐτὸν ἐπιδεῖν.

Κς.

ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ Β.

Ὅτι μὲν τοίνυν [a] καὶ ὀφείλει τῷ δημοσίῳ [b] Ἀριστογεί-
των οὑτοσὶ καὶ οὐκ ἔστιν ἐπίτιμος καὶ οἱ νόμοι διαῤῥήδην
ἀπαγορεύουσιν [c] ἐν τῷ δήμῳ μὴ ἐξεῖναι [d] λέγειν τοῖς
τοιούτοις, φανερῶς ἐπιδέδεικται, [e] ὦ ἄνδρες δικασταί. 801
δεῖ δ' ὑμᾶς [f] ἅπαντας μὲν ἀπείργειν καὶ κωλύειν τοὺς
2 ὄντας καὶ τοὺς πολιτευομένους· διὰ γὰρ τούτους τὰ κοι-

[a] βουλησόμενος] βαλόμενος pr. k.
[b] ἕκαστος] ἕκαστος φήσει γρ. F. Y. et rec. S. k.
[c] ἀποψηφίσασθαι] καταψηφίσασθαι F. om. cum ipsis οὐκοῦν καταράσεσθε τοῖς k.
[d] καταράσεσθε] καταρᾶσθαι F. Y. v.
[e] ἀποψηφισαμένοις] ἀπεψηφισμένοις k. καταψηφισαμένοις O.
[f] τὸ om. k.
[g] ἕκαστος] ἕκαστον v.
[h] ἅπασι] πᾶσι k.
[i] Alterum ἐφῖκται om. F.
[k] καὶ πᾶσι—ἐπιδεῖν om. pr. k.
[l] αὐτὸν ἐπιδεῖν] ἰδεῖν S.
[a] καὶ ante ὀφείλει om. v.
[b] Ἀριστογείτων om. k.
[c] [ἐν τῷ δήμῳ] om. F. k. v.
[d] λέγειν τοῖς τοιούτοις] τοῖς τοιούτοις λέγειν F. v.
[e] ὦ ἄνδρες δικασταί] ὦ δικασταί k. ἄνδρες δικασταί F. v. ὦ ἄνδρες ἀθηναῖοι S. Y. O.
[f] ἅπαντας] πάντας k.

νὰ καὶ βλάπτεσθαι πέφυκεν, [g] ἂν ὧσι φαῦλοι, καὶ τὰ
μέγιστα πάλιν ὠφελεῖσθαι, ἐὰν ὦσιν ἐπιεικεῖς καὶ θέλω-
σιν ἐμμένειν τοῖς νόμοις. ὡς, ἂν ἅπαξ δῶτε τοῖς ὑπὲρ
τῶν κοινῶν ἐγχειροῦσί [h] τι πράττειν τὸ παρανομεῖν καὶ
καταφρονεῖν τῶν ὡρισμένων δικαίων, ἀναγκαῖόν ἐστιν
[i] ἅπαντας ἀπολαύειν [k] τῆς τούτων κακίας] τοὺς μετέχον-
3 τας τῆς πόλεως. ὥσπερ γὰρ τῶν ἐν ταῖς ναυσὶν ἁμαρ-
τημάτων, ἃ συμβαίνει περὶ τοὺς πλοῦς, ὅταν μὲν τῶν
ναυτῶν τις ἁμάρτῃ, βραχεῖαν τὴν βλάβην ἤνεγκέν, ὅταν
δ' ὁ κυβερνήτης [l] ἀποσφαλῇ, [m] κοινὴν τὴν ἀτυχίαν ἅπασι
τοῖς [n] ἐμπλέουσι [o] κατεσκεύασεν, ὡσαύτως τὰ μὲν τῶν
ἰδιωτῶν ἁμαρτήματα οὐκ εἰς τὸ πλῆθος εἰς δ' αὐτοὺς
ἤνεγκε τὰς βλάβας, τὰ δὲ τῶν ἀρχόντων καὶ πολιτευο-
4 μένων εἰς [p] ἅπαντας ἀφικνεῖται. διὸ καὶ τὰς τιμωρίας
ὁ Σόλων τοῖς μὲν ἰδιώταις [q] ἐποίησε βραδείας, ταῖς δ'
ἀρχαῖς καὶ τοῖς δημαγωγοῖς ταχείας, ὑπολαμβάνων
τοῖς μὲν ἐνδέχεσθαι καὶ παρὰ τὸν χρόνον τὸ δίκαιον λα-
βεῖν, τοῖς δ' οὐκ [r] εἶναι περιμεῖναι· τὸ γὰρ τιμωρησόμε-
5 νον οὐχ [s] ὑπέσται τῆς πολιτείας καταλυθείσης. καὶ τού-
τοις τοῖς δικαίοις οὐδεὶς οὔτως οὔτε ἀναιδὴς οὔθ' ὑπὲρ
ὑμᾶς φρονῶν ἐστὶν ὅστις ἀντιλέγειν ἐπιχειρήσει, πλὴν
Ἀριστογείτονος [t] τουτουὶ καὶ τῆς [u] τούτου [x] τόλμης καὶ]
πονηρίας. ἀλλὰ πάσας [y] τὰς ἀρχὰς καὶ τοὺς πολιτευο- 802

[g] ἂν] ἐὰν O. k. Sic et paullo infra.
[h] τι om. F. v.
[i] ἅπαντας om. v.
[k] [τῆς τούτων κακίας] om. O.v. in γρ. habent F.Y. in margine S.k.
[l] ἀποσφαλῇ] ἀποσφαλῇ ἢ διαμάρτῃ F. Y. O. k. v.
[m] κοινὴν] κοινῇ F. O. v.
[n] ἐμπλέουσι] συμπλέουσι F. k. v.
[o] κατεσκεύασεν] παρεσκεύασεν S. Y. O. k.
[p] ἅπαντας] ἅπαντας ὑμᾶς F. O. v. ἅπαντας ὑμῶν k.
[q] ἐποίησε βραδείας] βραδείας ἐποίησε F. v.
[r] εἶναι] ἐνεῖναι Y. O.
[s] ὑπέσται] ὑπολείπεσθαι ἔτι k.
[t] τουτουὶ] τούτου F. v.
[u] τούτου] του S.
[x] [τόλμης καὶ] om. S. k.
[y] τὰς] καὶ τὰς F. S. k. v.

μένους εὑρήσομεν, ἐπειδὰν ἅπαξ [a] τι καταγνῶτε ὑμεῖς,
6 [n] τούτοις ἐμμένοντας. τοῦτο μὲν γὰρ ὅταν ἀποχειροτονηθῶσί τινες τῶν ἐν ταῖς ἀρχαῖς, παραχρῆμα πέπαυνται ἄρχοντες καὶ τοὺς στεφάνους περιῄρηνται· τοῦτο δ' ὅσοις τῶν θεσμοθετῶν εἰς [v] Ἄρειον πάγον οὐχ [b] οἷόν τέ ἐστιν ἀνελθεῖν, παρέντες τὸ βιάζεσθαι στέργουσιν [c] εἴκοντες ταῖς ὑμετέραις γνώσεσι. καὶ [d] ταῦτ' εἰκότως [e] ποιοῦσιν· ὥσπερ γάρ, ὅταν ἄρχωσι, τοὺς ἰδιώτας οἴονται δεῖν [f] αὐτοῖς πειθαρχεῖν, ὡσαύτως, ὅταν αὐτοὶ ἰδιῶται γένωνται πάλιν,
7 [g] τοῖς τῆς πόλεως ἄρχουσι νόμοις δικαίως ἂν ἀκολουθοῖεν. ἔτι τοίνυν [h] οἱ πολιτευόμενοι πάντες, ἐκ τῶν παλαιῶν εἰ βούλεσθε ἀρξάμενοι χρόνων θεωρεῖν, ὡσαύτως [i] φαίνονται εἴκοντες τοῖς ὑμετέροις δικαίοις. Ἀριστείδην [k] μὲν γάρ φασιν ὑπὸ τῶν προγόνων [l] μετασταθέντα ἐν Αἰγίνῃ διατρίβειν, ἕως [m] ὁ δῆμος αὐτὸν κατεδέξατο, Μιλτιάδην δὲ καὶ Περικλέα [n] ὀφλόντας, τὸν μὲν τριάκοντα τὸν δὲ πεντήκοντα [o] τάλαντα, ἐκτίσαντας οὕτω δημηγο-
8 ρεῖν. [p] ὃ καὶ δεινότατον ἂν [q] εἴη συμβαῖνον, τοὺς μὲν πολλὰ καὶ μεγάλα ποιήσαντας ὑμᾶς ἀγαθὰ μὴ [r] τυχεῖν ταύτης τῆς δωρεᾶς, ὥστε παρὰ τοὺς νόμους τι [s] τοὺς κειμένους [t] ὑμῖν πρᾶξαι, τὸν δὲ μηδὲν [u] μὲν ἀγαθὸν εἰργασ-

[a] τι] τινὸς k.
[n] τούτοις] τούτους F.
[b] οἷόν τε] οἷον F. v.
[c] εἴκοντες] ἐμμένοντες F.v. om. k.
[d] ταῦτ'] τοῦτο S. Y. O. k.
[e] ποιοῦσιν om. O in γρ. habet Y.
[f] αὐτοῖς] αὐτοὺς S.
[g] τοῖς om. O.
[h] οἱ om. pr. Y.
[i] φαίνονται] αὐτοὶ φαίνονται k. φαίνονται καὶ αὐτοὶ F. v.
[k] μὲν γάρ] μὲν γέ Y. O. k.
[l] μετασταθέντα] μεταθέντα k. Conf. Valcken. ad Herodot. 8, 81.
[m] ὁ δῆμος αὐτὸν] αὐτὸν ὁ δῆμος F. v.
[n] ὀφλόντας] ὀφείλοντας S. Y. O.
[o] τάλαντα om. S. in margine habet Y.
[p] ὃ καὶ δεινότατον] καὶ δεινὸν S. et pr. Y.
[q] εἴη] εἴη γε Y. O.
[r] τυχεῖν] μετέχειν S. Y. O.
[s] τοὺς κειμένους om. F. v.
[t] ὑμῖν] παρ' ὑμῖν F. v.
[u] μὲν om. S. Y. v.

μένον, [x] ὑπερπλήθη δ' ἐξημαρτηκότα, τοῦτον οὕτω προχείρως φαίνεσθαι καὶ παρὰ τὸ συμφέρον καὶ [y] τὸ δίκαιον ἐξουσίαν παρ' ὑμῶν τοῦ παρανομεῖν εἰληφότα. καὶ τί δεῖ λέγειν περὶ τῶν παλαιῶν; ἀλλὰ τοὺς ἐφ' ὑμῶν αὐτῶν ἀναλογίσασθε, εἴ τις οὕτως ἀναιδὴς γέγονε πώποτε 803
οὐδένα [z] γὰρ ἂν [a] εὕροιτε, εἰ [b] βούλοισθε ἀκριβῶς ἐξετά-
9 ζειν. χωρὶς τοίνυν τούτων, ὅταν τις ψηφίσματος ἢ νόμου γραφὴν ἀπενέγκῃ πρὸς τοὺς θεσμοθέτας, ὁ μὲν νόμος ἢ τὸ ψήφισμα ἄκυρόν ἐστιν, ὁ δὲ θεὶς ἢ γράψας οὐδὲν ἀναισχυντεῖ βιαζόμενος, ἀλλ' ὅ τι ἂν ὑμεῖς ψηφίσησθε, τούτῳ ἐμμένει, κἂν ᾖ πρῶτος [c] τὸ δύνασθαι λέγειν ἢ πράττειν ἐν ὑμῖν. καίτοι πῶς οὐκ ἄτοπον, ἃ μὲν [d] ἅπαντες ὑμεῖς συλλεγέντες ἐψηφίσασθε [e] κατὰ τοὺς νόμους, ἄκυρα εἶναι, τὴν δὲ Ἀριστογείτονος βούλησιν εἰς τὸ παρανομεῖν κυριωτέραν [f] οἴεσθαι δεῖν τῶν νόμων αὐτῶν καταστῆ-
10 σαι; πάλιν τοίνυν ὅταν τις ἐπεξιὼν [g] μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἐφ' οἷς οἱ νόμοι κελεύουσι τὸ λοιπὸν μὴ γράφεσθαι μηδ' ἀπάγειν μηδ' [h] ἐφηγεῖσθαι, τὸν αὐτὸν τρόπον παρὰ ταῦτ' οὐδεὶς οἴεται δεῖν πράττειν τῶν ἐνόχων ὄντων τούτοις τοῖς ἐπιτιμίοις. Ἀριστογείτονι δ', ὡς ἔοικε, μόνῳ τῶν [i] ἁπάντων οὐδὲν οὔτε δικαστήριον
11 οὔτε νόμος [k] κυριώτερόν ἐστι τῆς αὐτοῦ βουλήσεως. καὶ ταῦτα πάντα οὕτω διαφυλάττουσιν οὐδὲ πώποτε οὔθ' ὑμῖν οὔτε τοῖς προγόνοις μετεμέλησεν. ἔστι γὰρ δημο-

[x] ὑπερπλήθη] παμπληθῆ F. v.
[y] τὸ δίκαιον] παρὰ τὸ δίκαιον v.
[z] γὰρ ἂν om. pr. Y. ἂν om. F. S. v.
[a] εὕροιτε] εὑρήσετε v.
[b] βούλοισθε] βούλεσθε k. βουλήσεσθε S. Y. O.
[c] τὸ δύνασθαι] τῷ δύνασθαι S. Y. et correctus k.
[d] ἅπαντες ὑμεῖς] ἅπαντες οἱ γρ. k.
[e] κατὰ] διὰ S. Y. O. k.
[f] οἴεσθαι] οἴεσθε v.
[g] μὴ om. S.
[h] ἐφηγεῖσθαι] ἀφηγεῖσθαι F. v.
[i] ἁπάντων] πάντων F. v.
[k] κυριώτερόν] κυριώτερός O. k. v.

κρατίας φυλακὴ [l] τὸ τῶν μὲν ἐχθρῶν ἢ [m] βουλευομένους
ἢ μαχομένους περιεῖναι, τῶν δὲ νόμων ἢ προαιρουμένους ἢ
[n] συναναγκαζομένους ἡττᾶσθαι. καὶ ταῦθ' ὅτι τοῦτον τὸν 15
τρόπον προσήκει πράττεσθαι, καὶ παρ' αὐτοῦ τούτου
12 [o] συνωμολόγηται. ὅτε γὰρ Ὑπερίδης ἔγραψε, τῶν περὶ
[p] Χαιρώνειαν ἀτυχημάτων τοῖς Ἕλλησι [q] γενομένων καὶ
τῆς πόλεως ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν εἰς κίνδυνον [r] μέγι-
στον [s] κατακεχλειμένης, εἶναι τοὺς ἀτίμους ἐπιτίμους,
ἵν' ὁμοσοῦντες ἅπαντες ὑπὲρ τῆς ἐλευθερίας προθύμως 804
ἀγωνίζωνται, [t] ἐάν τις κίνδυνος τηλικοῦτος καταλαμβάνῃ
τὴν πόλιν, τούτου τοῦ ψηφίσματος γραφὴν παρανόμων
13 ἀπενέγκας ἠγωνίζετο ἐν τῷ δικαστηρίῳ. καίτοι πῶς οὐ 5
δεινὸν εἰς μὲν τὴν ὑπὲρ τῆς πατρίδος σωτηρίαν μηδενὶ τῶν
πολιτῶν Ἀριστογείτονα τουτονὶ συγχωρῆσαι τυχεῖν τῆς
ἐπιτιμίας, εἰς δὲ τὴν [u] αὐτοῦ παρανομίαν παρὰ πάντων
ὑμῶν ἀξιοῦν λαμβάνειν τὴν αὐτὴν δωρεάν; καίτοι πολύ
γε νομιμώτερον καὶ δικαιότερον τὸ ψήφισμα ἐκεῖνο ἦν οὗ 10
14 σὺ νῦν ἀξιοῖς ψηφίσασθαί σοι τουτουσί. τὸ μὲν γὰρ ἴσον
καὶ κοινὸν ἅπασι τοῖς πολίταις ἦν, τὸ δ' ἄνισον καὶ σοὶ
μόνῳ [x] τῶν ἐν τῇ πόλει τὴν πλεονεξίαν κατασκευάζον·
καὶ τὸ μὲν ὑπὲρ τοῦ μὴ γενέσθαι τὴν εἰρήνην ἐφ' ᾧ τε ἕνα
κύριον [y] τῆς ὅλης πολιτείας καταστῆναι, τὸ δ' ὑπὲρ τοῦ 15
τὰ [z] τουτωνὶ δόγματα καὶ νόμιμα ἐκ παλαιοῦ παραδο-

[l] τὸ om. S. Y. O. k.
[m] βουλευομένους] βουλομένους O.
[n] συναναγκαζομένους] συναγωνιζομένους F. et γρ. Y.
[o] συνωμολόγηται] φανερῶς συνωμολόγηται F. k. v. φανερῶς συνομολογήσηται O.
[p] Χαιρώνειαν] χέρσων F.
[q] γενομένων] γινομένων O.
[r] μέγιστον] τὸν μέγιστον k.
[s] κατακεκλειμένης] κατακεκλειμένης k. κατακεκλιμένης F. et pr. v. κατακεκλεισμένης S. et correctus v.
[t] ἐάν] ὅταν F. O. k.
[u] αὐτοῦ] τούτου F. v.
[x] τῶν] τῶι O.
[y] τῆς ὅλης πολιτείας] τῆς πολιτείας ὅλης v.
[z] τουτωνὶ] τούτων k.

θέντα ὑπὸ τῶν προγόνων σοὶ μόνῳ δεδόσθαι ἐξουσίαν ἀδεῶς
15 παραβαίνοντι καὶ πράττοντι ὅ τι ἂν βουληθῇς. ἡδέως [a] δ' ἂν ἔγωγ' αὐτὸν ἐρωτήσαιμι, πότερα ἔννομον καὶ δικαίαν 20
ἐποιήσατο τοῦ ψηφίσματος τὴν γραφὴν ἢ τοὐναντίον ἄδικον καὶ παράνομον. εἰ μὲν γὰρ ἀσύμφορον [b] καὶ τῷ δήμῳ βλαβερὰν, [c] δι' αὐτὸ τοῦτο δικαίως ἂν [d] ἀποθάνοι· εἰ δὲ συμφέρουσαν καὶ τοῖς πολλοῖς ὠφέλιμον, διὰ τί 25
νῦν τἀναντία οἷς αὐτὸς ἔγραψας [e] ψηφίζεσθαι τούτους ἀξιοῖς; ἀλλ' οὔτ' ἐκεῖνα δίκαια οὔτε ταῦτ' ἔννομα οὐδὲ
16 συμφέροντά ἐστιν ὑμῖν. ὁρῶ δ' [f] ὑμᾶς ἔγωγε, [g] ὦ ἄνδρες δικασταί, ταύτην ἔχοντας τὴν γνώμην καὶ περὶ ὑμῶν αὐ-
τῶν· πολλὰς γὰρ ἐνδείξεις ἤδη κατεψηφίσασθε ἰδιω- 805
τῶν ἀνθρώπων. καίτοι πῶς οὐ δεινὸν ἐφ' ὑμῶν [h] μὲν αὐτῶν ἐξετάζεσθαι ἀκριβῶς τοὺς νόμους, ἐπὶ δὲ τῶν πε-
ριεργαζομένων [i] τε καὶ κοινῇ πάντας ἐνοχλούντων καὶ προσποιουμένων ὑπὲρ τοὺς ἄλλους εἶναι ῥᾳθύμως οὕτως 5
ἔχειν;

17 Οὐ γὰρ δή τινες ὑμῶν οὕτως ἔχουσιν, ὡς [k] προσήκειν μὲν ταῦθ' οὕτως ἔχειν ὡς ἐγὼ λέγω, διὰ δὲ τὴν ἐπιείκειαν τὴν Ἀριστογείτονος καὶ τὸ χρήσιμον αὐτὸν ὑμῖν εἶναι πα-
ροπτέον τι καὶ παρανομοῦντα αὐτόν. ὅτι μὲν γὰρ πονη- 10
ρὸς καὶ τὸν τρόπον [l] ἄδικος, ἱκανῶς ὑμῖν, ὡς ἔγωγ' οἶ-
18 μαι, ἐκ τῶν προειρημένων Λυκοῦργος [m] ἐπιδέδειχεν· ὅτι δ' οὐδὲ χρήσιμος, ἐξ αὐτῶν τῶν πολιτευμάτων ἄν τις αὐτὸν θεωρήσειεν. τίνα γὰρ παραγαγὼν εἰς τὸ δικαστή-

[a] δ' om. pr. k.
[b] καὶ ante τῷ om. O.
[c] δι' αὐτὸ] διὰ F. v.
[d] ἀποθάνοι] ἀποθάνοις F. v.
[e] ψηφίζεσθαι] ψηφίσασθαι k.
[f] ὑμᾶς ἔγωγε] ἔγωγε ὑμᾶς k.
[g] ὦ ἄνδρες δικασταί] ὦ δικασταί k. ἄνδρες δικασταί F. v. ὦ ἄνδρες ἀθηναῖοι S. Y. O.
[h] μὲν om. O.
[i] τε] τι S. et pr. Y.
[k] προσήκειν] προσήκει k.
[l] ἄδικος] δεινῶς ἄδικος S.
[m] ἐπιδέδειχεν] ἐπέδειξεν F. v.

ριεν, ὧν [n] αἰτιᾶται, [o] τούτων [p] ἤρηκε κατηγορῶν; ἢ ποῖον πόρον ὑμῖν πεπόρικεν; ἢ τί ψήφισμα γέγραφεν, ᾧ πει-
19 σθέντες ὑμεῖς οὐ πάλιν μετανοῆσαι προείλεσθε; καὶ γὰρ ταῦθ' οὕτω σκαιός ἐστι καὶ βάρβαρος τὸν τρόπον, ὥσθ' ὅταν ὑμᾶς ἴδῃ [q] παροργισθέντας τι πρός τινας καὶ μᾶλ-
20 λον τοῦ δέοντος παροξυνθέντας, τηνικαῦτα παρὰ τὴν ὀργὴν ὑμῶν τὰ βουλήματα λαβὼν τοῖς καιροῖς ἐναντιοῦται. δεῖ δὲ τὸν πολιτευόμενον ὑπὲρ ὑμῶν οὐχὶ τοῖς ἐξαίφνης μετ' ὀργῆς πάθεσιν ὑμῖν συμπίπτουσιν ἑπακολουθεῖν, ἀλλὰ τοῖς λογισμοῖς καὶ τοῖς πράγμασι καὶ τοῖς ὑπάρ-
20 χουσι [r] καιροῖς· τὰ μὲν γὰρ ταχὺ μεταπίπτειν εἴθισται, τὰ δὲ διαμένειν καὶ [s] πλείω χρόνον ὑπάρχειν. ὧν οὗτος οὐδὲν ἐνθυμούμενος [t] ἐλέγχει τὰ ἀπόρρητα τῆς πολιτείας, ὥστε ταὐτὰ ἀναγκάζεσθαι καὶ κύρια καὶ πάλιν ἄκυρα 806
ποιεῖν.

21 Ἀλλ' ἴσως ὅτι πρὸς ἅπαντας [u] ἀεὶ προαιρεῖται λοιδορεῖσθαι [x] καὶ διαβοᾶσθαι καὶ μέμφεσθαι τὰ λεγόμενα, [y] διὰ ταῦτα περιποιῆσαι ἂν αὐτὸν ἁρμόττει; ἀλλὰ ταῦτά γε νὴ τὴν Ἀθηνᾶν ὀνειδός ἐστιν, ἄνδρες δικασταί, 5
[z] τὰ γιγνόμενα τῇ πόλει ἐπὶ τοῦ βήματος, καὶ διὰ τὰς [a] τούτων ἀπονοίας ἐπονείδιστον ἤδη τὸ πολιτεύεσθαι παρὰ
22 τοῖς ἐπιεικέσιν ὑμῶν ἐστίν. εἰ δ' οὖν [b] τινὶ τοῦθ' ὑμῶν ἐν

[n] αἰτιᾶται] ἠτιᾶτο F. v.

[o] τούτων] τούτων Y. τούτω corrector v. τοῦτον k.

[p] κατηγόρηκε καὶ εἶλε S. Y. O. et corrector v. ἤρηκε κατηγορῶν k. εἴρηκε κατηγορῶν F.

[q] παροργισθέντας τι πρός τινας] πρός τινος ὀργισθέντας k. τί om. etiam v.

[r] καιροῖς] καιροῖς ἀπολαυθεῖν F. v.

[s] πλείν] πλείονα F. v.

[t] ἐλέγχει] ἐλέγχεται S. et pr. Y.

[u] ἀεὶ] αἰεὶ k. v.

[x] καὶ διαβοᾶσθαι καὶ μέμφεσθαι] διαβοᾶσθαι μέμφεσθαι k. καὶ μέμφεσθαι καὶ διασπᾶσθαι F. et pr. v. καὶ διαβάλλεσθαι γρ. S.

[y] διὰ ταῦτα] διὰ ταῦτα μὲν O.

[z] τὰ γιγνόμενα τῇ πόλει S. Y. O. corrector v. γιγνόμενα τῇ πόλει F. τῇ πόλει γρ. k.

[a] τούτων] τῶν τοιούτων k.

[b] τινὶ τοῦθ'] τινὶ F. v. ταῦτά τισιν k.

ἡδονῇ συμβέβηκεν, οὐκ ἀπορήσετε τῶν [c] τοιαῦτα ποιησάντων, ἐπεὶ καὶ νῦν μεστὸν τὸ βῆμ' ἐστίν. οὐ γὰρ ἐπιτιμᾶν τοῖς [d] συμβεβουλευμένοις χαλεπόν, ἀλλὰ [e] συμβουλεῦσαι καὶ πεῖσαί [f] τι τῶν δεόντων ὑμᾶς ψηφίσασθαι. πρὸς δὲ τούτοις, εἰ μὲν μὴ καὶ πρότερον τοῖς αὐτοῖς τούτοις χρώμενος [g] λόγοις ἐξηπάτησεν ὑμᾶς, ὅτ' [h] ἠγωνίσατο τὴν προτέραν ἔνδειξιν, ἦν μὲν οὐδ' οὕτω δίκαιον [i] παρὰ τοὺς ὑπάρχοντας νόμους [k] τι συγχωρεῖν (οὐ δεῖ [l] γὰρ παρανομεῖν δάντας τισὶ τοὺς ἄλλους κατὰ [m] τοὺς νόμους ἀξιοῦν πράττειν,) οὐ μὴν ἀλλ' ἴσως γε εὐλογώτερόν ἦν τὸ πιστεῦσαι καὶ καταχαρίσασθαι καὶ προέσθαί τι τῶν [n] τοιούτων. ἐπειδὴ δὲ τότ' ἀφέντες ἐπὶ ταῖς [o] μελλούσαις ἐλπίσι μικρὸν ὕστερον τὸν αὐτὸν τοῦτον, ὡς πράττοντα καὶ λέγοντα μὴ τὰ ἄριστα τῷ δήμῳ, πάλιν ἐκολάσατε, τίς ὑπολείπεται σκῆψις ὑμῖν ἁρμόττουσα, [p] ἂν [q] νῦν παρακρουσθῆτε; ὧν μὲν γὰρ ἔργῳ πεῖραν εἰλήφατε, τί δεῖ τοῖς λόγοις πιστεύειν; ὧν δὲ μηδέπω τὴν δοκιμασίαν ἔχετε ἀκριβῆ παρ' ὑμῖν αὐτοῖς, ἐκ τῶν λεγομένων ἴσως ἀναγκαῖόν ἐστι κρίνειν. θαυμάζω δ' ἔγωγε τῶν οὕτως ἐχόντων ὥστε τὰ μὲν ἴδια τοῖς ἐκ τῶν [r] παρελθόντων χρόνων οὖσιν ἐπιεικέσι, [s] τούτοις [t] παρακατατίθεσθαι, τὰ δ' ἐν τῇ πολιτείᾳ κοινὰ τοῖς [u] ὁμολογουμένως ἐξεληλεγ-

[c] τοιαῦτα] τὰ τοιαῦτα k.
[d] συμβεβουλευμένοις] συμβουλευομένοις k.
[e] συμβουλεῦσαι] καὶ συμβουλεῦσαι Y. O. συμβεβουλευσαι S.
[f] τι ante καὶ ponunt F. k. v.
[g] λόγοις] λογισμοῖς v.
[h] ἠγωνίσατο] ἠγωνίζετο F. k. v.
[i] παρὰ] τὸ παρὰ F. k. v.
[k] τι om. Y. post συγχωρεῖν ponit v.
[l] γὰρ] γὰρ τὸ k.
[m] τοὺς νόμους] τὸν νόμον k.
[n] τοιούτων] ποιούντων v.
[o] μελλούσαις] ὁμολογουμέναις S. Y. O. k.
[p] ἂν] ἐὰν k.
[q] νῦν] νυνὶ Y. O.
[r] παρελθόντων] παρελθότων S. παρεληλιθότων F. k. v.
[s] τούτοις] τούτους F. et pr. v.
[t] παρακατατίθεσθαι] παρακατατιθεμένων F. k. v.
[u] ὁμολογουμένως] ὁμολογουμένοις καὶ F. v.

μένοις οὖσι [x] φαύλοις [y] ἐπιτρέπειν. καὶ κύνα μὲν ἐπὶ [z] ποίμνην [a] ἀγεννῆ καὶ φαῦλον οὐδ' ἂν εἷς ἐπιστήσειε φυλάττειν· ἐπὶ δὲ τοὺς τὰ κοινὰ πράττοντας τοὺς τυχόντας ἀνθρώπους φασὶν [b] ἔνιοι [c] φύλακας δεῖν [d] ἐπιπέμπειν, οἳ προσποιούμενοι μηνύειν τοὺς [e] ἁμαρτάνοντας αὐτοὶ τῆς μεγίστης εἰσὶ φυλακῆς δεόμενοι.

26 Ὧν, ἐὰν ἔχητε νοῦν, ἐνθυμούμενοι τοὺς μὲν φάσκοντας [f] τούτους τῷ λόγῳ φιλεῖν ὑμᾶς χαίρειν ἐάσατε, αὐτοὶ δὲ τοῦτ' ἐκ παντὸς τρόπου παραφυλάξατε, ὅπως μηδενὶ δῶτ' ἐξουσίαν ἀκύρους τοὺς νόμους ποιεῖν, ἄλλως τε καὶ τῶν πολλῶν ὑπὲρ τοῦ πλήθους καὶ λέγειν καὶ γράφειν 27 δύνασθαι προσποιουμένων. ὡς πάνδεινόν ἐστι τοὺς μὲν προγόνους ὑπὲρ τοῦ μὴ καταλυθῆναι τοὺς νόμους ἀποθνήσκειν τολμᾶν, ὑμᾶς δὲ μηδὲ τοὺς [g] ἁμαρτάνοντας εἰς αὐτοὺς [h] τιμωρεῖσθαι, καὶ τὸν μὲν γράψαντα τοὺς νόμους Σόλωνα [i] ἐψηφίσθαι χαλκοῦν ἐν ἀγορᾷ στῆσαι, αὐτῶν δὲ τῶν νόμων οὕτως ὀλιγωροῦντας φαίνεσθαι, δι' οὓς κἀκεῖ- 28 νον ὑπερβαλλόντως συμβέβηκε τιμᾶσθαι. πῶς δ' οὐκ ἂν εἴη τὸ συμβαῖνον ἄλογον, εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, ἐπ' αὐτοφώρῳ δέ τινας εἰληφότες ἀθῴους ἐάσετε; καὶ τὸν μὲν νομοθέτην ἕνα ὄντα πᾶσιν ὑπὲρ ὑμῶν ἀπεχθάνεσθαι τοῖς φαύλοις, ὑμᾶς δὲ μηδ' ὑπὲρ ὑμῶν αὐτῶν κοινῇ [k] συλλεγέντας ἐπιδείξασθαι μι-

[x] φαύλοις] φαύλοις τούτοις k.
[y] ἐπιτρέπειν] ἐπιτρεπόντων F. k. v.
[z] ποίμνην] ποίμνιον F. k. v.
[a] ἀγεννῆ καὶ φαῦλον ante ἐπὶ ponit k.
[b] ἔνιοι] ἔνιοί τινες F. k. v.
[c] φύλακας δεῖν] δεῖν φύλακας F. k. v.
[d] ἐπιπέμπειν] ἐφιστάναι F. v.
[e] ἁμαρτάνοντας] ἐξαμαρτάνοντας k.
[f] τούτους] τούτῳ S. Y. O. v.
[g] ἁμαρτάνοντας] ἐξαμαρτάνοντας Y. O. k.
[h] τιμωρεῖσθαι] τιμωρῆσαι pr. k. τιμωρήσασθαι rec. k. quod addebatur προελέσθαι, omisi cum S. Y. O.
[i] ἐψηφίσθαι v. ἐψηφίσθαι F. ἐψηφίσασθαι S. ψηφίσασθαι reliqui.
[k] συλλεγέντας] συλλέγοντας S.

σοῦντας τοὺς πονηρούς, ἀλλ' ὑφ' ἑνὸς ἀνδρὸς πονηρίας ἡττηθῆναι; καὶ θάνατον μὲν ὠρικέναι [l] τὴν ζημίαν, ἐάν τις οὐκ ὄντα νόμον παράσχηται, τοὺς δὲ [m] τοὺς ὄντας νόμους 808
εἰς τὴν τῶν [n] οὐκ ὄντων νόμων τάξιν ἄγοντας, τούτους ἀτιμωρήτους περιορᾶν;

29 Οὕτω δ' ἂν ἀκριβέστατα [o] συνθεωρήσαιτε τὸ τοῖς κειμένοις νόμοις πείθεσθαι ἡλίκον ἀγαθόν ἐστι, καὶ τὸ [p] καταφρονεῖν καὶ [q] μὴ πειθαρχεῖν αὐτοῖς ἡλίκον κακόν, εἰ [r] τά τε ἐκ τῶν νόμων ἀγαθὰ χωρὶς καὶ τὰ διὰ τῆς παρανομίας συμβαίνοντα πρὸ [s] ὀφθαλμῶν ὑμῖν αὐτοῖς ποιησάμενοι [t] θεωρήσαιτε. εὑρήσετε γὰρ τὴν μὲν τὰ τῆς μανίας καὶ [u] τῆς ἀκρασίας καὶ τῆς πλεονεξίας, [x] τοὺς δὲ [y] τὰ
[z] τῆς [a] φρονήσεως [b] καὶ σωφροσύνης καὶ δικαιοσύνης ἔργα
30 [c] διαπραττομένους. δῆλον δέ· τῶν γὰρ πόλεων ταύτας [d] ἄριστ' οἰκουμένας [e] ἴδοιμεν ἄν, ἐν αἷς ἄριστοι νομοθέται γεγόνασιν. τὰ μὲν γὰρ ἐν τοῖς σώμασιν [f] ἀῤῥωστήματα τοῖς τῶν ἰατρῶν εὑρήμασι καταπαύεται, τὰς δ' ἐν ταῖς
ψυχαῖς ἀγριότητας αἱ τῶν νομοθετῶν ἐξορίζουσι διάνοιαι. ὅλως δ' οὐδὲν οὔτε σεμνὸν οὔτε σπουδαῖον [g] εὑρήσομεν, ὃ
31 μὴ νόμου κεκοινώνηκεν, ἐπεὶ καὶ τὸν ὅλον κόσμον καὶ τὰ θεῖα καὶ τὰς καλουμένας ὥρας νόμος καὶ τάξις, εἰ χρὴ

[l] τὴν om. F. k. v.
[m] τοὺς ὄντας νόμους] ὄντας F. S. Y. O. v.
[n] οὐκ] ὥσπερ οὐκ S. Y. et rec. k.
[o] συνθεωρήσαιτε] συνθεωρήσετε F. S. Y. et pr. v.
[p] καταφρονεῖν] μὴ καταφρονεῖν Y.
[q] μὴ] τὸ μὴ S. Y.
[r] τά τε ἐκ] τἀκ Y. O. v.
[s] ὀφθαλμῶν] τῶν ὀφθαλμῶν k.
[t] θεωρήσαιτε] θεωρήσετε F. S. Y. O. v.
[u] τῆς ante ἀκρασίας om. F. v. ante πλεονεξίας S. Y.
[x] τοὺς δὲ] τὸν δὲ F. Y. O. v. et pr. S.
[y] τὰ om. pr. Y.
[z] τῆς om. v.
[a] φρονήσεως] φρονήσεώς τε S. Y. O.
[b] καὶ σωφροσύνης om. k.
[c] διαπραττομένους] διαπραττόμενον F. S. Y. O. v.
[d] ἄριστ'] ἄριστ' ἂν O. v.
[e] ἴδοιμεν ἄν ante ἄριστα ponit k.
[f] ἀῤῥωστήματα τοῖς τῶν in margine ponit Y.
[g] εὑρήσομεν] εὑρήσαιμεν S.

[h] τοῖς ὀρωμένοις πιστεύειν, δικαιοῦν φαίνεται. παρακαλέ- 10
σαντες οὖν ὑμᾶς αὐτούς, [i] ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσατε
μὲν τοῖς νόμοις, καταψηφίσασθε δὲ τῶν εἰς τὸ θεῖον ἀσε-
βεῖν [k] προῃρημένων. καὶ ταῦτ' ἐὰν πράξητε, τὰ δίκαια
ποιήσετε καὶ τὰ κράτιστα [l] ψηφιεῖσθε.

[h] τοῖς om. pr. k.
[i] ὦ om. O. v. k.
[k] προῃρημένων] πρωιρημένων k.
[l] ψηφιεῖσθε] ψηφίσεσθε F. v.